49

Αὔξ. Ἀρ.

ΒΙΒΛΙΟΘΗΚΗ

ΚΡΑΤΙΚΟΥ ΝΟΣΟΚΟΜ. ΒΕΡΟΙΑΣ

ΕΚ ΔΩΡΕΑΣ

ΙΑΤΡΟΥ ΑΝΤΩΝΙΟΥ ΤΣΟΥΠΕΛΗ

Ἐν Βεροίᾳ τῇ 19

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
ΒΕΡΟΙΑΣ
4056
+200
Αριθ. εισ.
ΔΩΡΕΑ Τραπέζη
1955
GRVGR-01911



Α 49

Βέροια 10/5/1977



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Η
ΚΑΙΝΗ ΔΙΑΘΗΚΗ.

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

Η ΚΑΙΝΗ ΔΙΑΘΗΚΗ

ΜΕΤΑ

ΥΠΟΜΝΗΜΑΤΩΝ ΑΡΧΑΙΩΝ,

ΕΚΔΙΔΟΜΕΝΗ

ΥΠΟ

ΘΕΟΚΛΗΤΟΥ ΦΑΡΜΑΚΙΔΟΥ.

ΤΟΜΟΣ ΕΚΤΟΣ,

ΠΕΡΙΕΧΩΝ

ΤΗΝ ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ

ΚΑΙ ΤΑΣ ΕΠΤΑ ΚΑΘΟΛΙΚΑΣ.

ΕΝ ΑΘΗΝΑΙΣ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΝΙΚΟΛΑΟΥ ΑΓΓΕΛΙΔΟΥ

ΚΑΤΑ ΤΗΝ ΟΔΟΝ ΕΡΜΟΥ ΠΑΡΑ ΤΗ ΚΑΠΝΙΚΑΡΕΑ

1844.

Αρ. Εισ 4056

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΟΙΚΟΥΜΕΝΙΟΥ ΕΞΗΓΗΣΙΣ

ΕΙΣ ΤΑΣ

ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ

ΚΑΙ ΕΙΣ ΤΑΣ

ΕΠΙΣΤΟΛΑΣ ΤΟΥ ΠΑΥΛΟΥ.

ΤΟΜΟΣ ΤΕΤΑΡΤΟΣ,

ΠΕΡΙΕΧΩΝ

ΤΗΝ ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ

ΚΑΙ ΤΑΣ ΕΠΤΑ ΚΑΘΟΛΙΚΑΣ.

ΕΝ ΑΘΗΝΑΙΣ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΝΙΚΟΛΑΟΥ ΑΓΓΕΛΙΔΟΥ

ΚΑΤΑ ΤΗΝ ΟΔΟΝ ΕΡΜΟΥ ΠΑΡΑ ΤΗ ΚΑΠΝΙΚΑΡΕΑ

1844.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὅτε πρῶτον ἐγεννήθη εἰς τὴν κεφαλήν μου ἡ ἰδέα τῆς ἐκδόσεως τῆς Ἑλληνικῆς Διαθήκης μετὰ ὑπομνημάτων ἀρχαίων, μοὶ ἐφάνη τὸ ἔργον ὄχι μόνον χρήσιμον καὶ ὠφέλιμον, ἀλλὰ καὶ ἀναγκαιότατον διὰ πολλοὺς λόγους. Δὲν ἠγνόουν ὅμως καὶ ὅτι, ἐπιχειρῶν τοιοῦτον πολύμοχθον καὶ πολυδάπανον ἔργον, ἔμελλον ν' ἀπαντήσω δυσκολίας καὶ νὰ ὑποφέρω ἀηδίας. Ἀλλ' εἶχον ἐν ταὐτῷ καί τινα ἐλπίδα, ὅτι διὰ τῆς συνδρομῆς τῶν πολλῶν εἰδημόνων τῆς χρησιμότητος τοῦ ἔργου ἤθελον ὑπερνικήσει τὰς δυσκολίας καὶ μετριάσει τὰς ἀηδίας. Πλὴν μόλις ἐξεδόθησαν οἱ δύο πρῶτοι τόμοι, καὶ ἀμέσως ἐγνώρισα ἐκ τῆς πείρας αὐτῆς τὴν εἰς ἣν εὑρισκόμην ἀπάτην· καὶ φρόνιμον ἦτον νὰ μείνω ἕως ἐκεῖ, καὶ νὰ μὴ προχωρήσω περαιτέρω· ἀλλ' ἡ φιλοτιμία μ' ἐμπόδισεν ἀπὸ τοῦ νὰ παραδῶ δι' ὑποψίαν ζημίας τὸν δοθέντα λόγον μου. Ἐξεδόθη καὶ ὁ τρίτος τόμος, καὶ τότε ἐπείσθην ἐντελῶς ἐξ αὐτῶν τῶν πραγμάτων, ὅτι δὲν ἔπρεπεν οὔτε κἂν νὰ μελετήσω εἰς τὸν νοῦν μου τοιοῦτον ἐπιχείρημα.

Πεποιθὼς εἰς τὸν ἐγγράφως παρ' ἑνὸς ἑκάστου τῶν συνδρομητῶν, καὶ μάλιστα τῶν κληρικῶν, δοθέντα λόγον, καὶ νομίζων τοῦτον καὶ κατὰ τοὺς πολιτικοὺς καὶ κατὰ τοὺς ἠθικοὺς νόμους ἱερόν, ἐπεχείρησα τὸ ἔργον. Ἀλλ' ἡ ἱερότης τοῦ λόγου πρεσβεύεται μόνον παρὰ τῶν πρεσβευόντων ἀρχὰς ἠθικῆς, καὶ γνωριζόντων, ὅτι ἡ παράβασις αὐτοῦ εἶναι ἔργον ἄτιμον. Ἐκ τῶν ἰδίᾳ χειρὶ καὶ αὐτοπροαιρέτῳ διαθέσει ὑπογεγραμμένων συνδρομητῶν, ἄλλοι μὲν δὲν ἠθέλησαν νὰ λάβωσιν οὐδόλως τὸ σύγγραμμα, ὁ μὲν προφασιζόμενος τοῦτο, ὁ δὲ, ἐκεῖνο· (καὶ ὁ εἷς παρελογίζετο χειρότερον τοῦ ἑτέρου!) μὴ ἐνθυμούμενοι, ὅτι ἐπὶ τῷ δοθέντι παρ' αὐτῶν λόγῳ στηριζόμενος ἐπεχείρησα ἔργον πολύμοχθον καὶ πολυδάπανον· ἄλλοι δὲ, μόλις ἐννοήσαντες τὸ ἄτιμον τῆς παραβάσεως τοῦ δοθέντος λόγου, καὶ τὸ ἄδικον, ἐδέχθησαν, οἱ μὲν τοὺς δύο πρώτους τόμους, οἱ δὲ, καὶ τὸν τρίτον, καὶ οὕτω, νομίζοντες, ὅτι ἀπολύονται τῆς περαιτέρω ὑποχρεώσεως, δὲν ἠθέλησαν νὰ δεχθῶσι τοὺς ἄλλους. Γίνεται δὲ τὸ κακὸν τοῦτο—τὸ ὁμολογῶ μετὰ μεγάλης τῆς ψυχῆς μου λύπης—ἐντὸς τῆς ἐλευθέρας Ἑλλάδος, οὐχὶ δὲ καὶ ἐκτὸς αὐτῆς. Ἀλλὰ δὲν δύναμαι ν' ἀποσιωπήσω, ὅτι καὶ ἐξ αὐτῶν τῶν προθύμως δεχομένων τὸ σύγγραμμα οἱ πλεῖστοι δυσκόλως ἀποτίνουσι τὴν τιμὴν ἑκάστου τόμου· καὶ ἐγὼ γνωρίζω πόσην ὑποφέρω ζημίαν ἐκ τῆς μὴ ἐγκαίρου ταύτης ἀποτίσεως. Προέρχεται δὲ τὸ κακὸν τοῦτο,

ὄχι τόσον ἐκ τῆς ἀχρηματίας, ὅσον ἐκ τῆς ἀμελείας καὶ ἀδιαφορίας, ἂν ὄχι καὶ ἐξ ἄλλου τινὸς χειροτέρου αἰτίου. Ἐξ δραχμαὶ, διδόμεναι μεθ' ἱκανὸν χρόνον ἀπὸ τῆς ἐκδόσεως ἑνὸς τόμου μέχρι τῆς ἐκδόσεως ἑτέρου, δὲν εἶναι βέβαια μεγάλη δαπάνη. Ἀλλὰ καὶ αὐτὴν τὴν τόσον μικρὰν δυσκόλως ἀποτίνουσιν ὅσοι δὲν αἰσθάνονται τὴν ὁποίαν μοὶ προξενοῦσι μεγάλην ζημίαν.

Ἐξεδόθησαν οἱ ἓξ τόμοι τοῦ ὅλου συγγράμματος, καὶ δὲν λείπει εἰμὴ ὁ ἕβδομος· καὶ οὕτω συμπληροῦται τὸ ὅλον, καθ' ἣν ἔδωκα ὑπόσχεσιν καὶ ἐφιλοτιμήθην νὰ φυλάξω, ἀναλογιζόμενος τὴν ἐκ τοῦ ἔργου προελευσομένην κοινὴν ὠφέλειαν. Παρακαλῶ δὲ ὅλους τοὺς ἐν ταῖς ἐπαρχίαις τῆς Ἑλλάδος εἴτε χάριν φιλίας καὶ ἀγάπης, εἴτε χάριν τῆς ἐκ τοῦ ἔργου ὠφελείας ἀναδεχθέντας τὴν ἐπιστασίαν τῆς συνδρομῆς, νὰ μοὶ γράψωσιν, ὅσον ἐνδέχεται ταχύτερον, πόσοι καὶ ποῖοι, ἐμμείναντες πιστοὶ εἰς τὸν ὁποῖον ἐγγράφως ἔδωκαν λόγον, λαμβάνουσι τὸ ὅλον σύγγραμμα, καὶ πόσοι καὶ ποῖοι, παραβάντες τὸν λόγον των, παρητήθησαν· διότι εἰς τὸ τέλος τοῦ ἑβδόμου τόμου θέλουσι γενῆ γνωστὰ καὶ τῶν πρώτων καὶ τῶν δευτέρων τὰ ὀνόματα, ἂν καὶ οὗτοι, λαμβάνοντες εἰς νοῦν τὸ ἄτιμον καὶ ἄδικον, δὲν προλάβωσι τὴν διόρθωσιν τοῦ ἁμαρτήματος. Παρακαλῶ δὲ αὐτοὺς καὶ νὰ ἐπιμεληθῶσι νὰ συνάξωσι καὶ μοὶ πέμψωσιν ὅσον τάχιστα τὰ χρήματα, διὰ νὰ ἐκπληρώσω καὶ ἐγὼ τὰ χρέη μου. Ἐπειδὴ δὲ ἐν τῷ μεταξὺ ἐκ τῶν ὑπαλλήλων, πολιτικῶν τε καὶ δικαστικῶν, μετετέθησαν ἐκ τῶν τόπων, ἐν οἷς εὑρισκόμενοι κατεγράφησαν συνδρομηταί, ἐπιθυμῶ νὰ μάθω τὸ, ποῦ εὑρίσκεται ἕκαστος αὐτῶν ἤδη, διὰ νὰ πέμψω πρὸς αὐτοὺς καὶ τοὺς ἀπὸ τῆς μεταθέσεως αὐτῶν ἐκδοθέντας τόμους.

Γνωρίζω, ὅτι γίνομαι ὀχληρὸς πρὸς τοὺς ἀξιοτίμους φίλους μου καὶ φίλους τῶν καλῶν καὶ ὠφελίμων· ἀλλ' ἂς μοὶ συγχωρήσωσι τὴν ἐξ ἀνάγκης ἀδιακρισίαν αὐτήν.

Ἐν Ἀθήναις, 1844 Φεβρουαρίου 1.

Θ. ΦΑΡΜΑΚΙΔΗΣ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΑ

ΤΗΣ

ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ

ΕΠΙΣΤΟΛΗΣ.

Σελ.

Α. Θεολογία Χριστοῦ ἐν δόξῃ πατρὸς, καὶ ἐξουσίᾳ τῶν πάντων, μετὰ τῆς καθάρσεως τῶν ἐπὶ γῆς, ἀφ' ἧς ἀνέβη εἰς τὴν ἐπουράνιον δόξαν. 7

Β. Ὅτι οὐ λειτουργικὴ ἡ δόξα Χριστοῦ, ἀλλὰ θεϊκὴ καὶ ποιητική. Διὸ οὐκ ἐπὶ τοῦ παρόντος αἰῶνος, ἐν ᾧ οἱ λειτουργοὶ, ἀλλ' ἐπὶ τῆς μελλούσης οἰκουμένης 13

Γ. Ὅτι ἐσαρκώθη κατὰ διάθεσιν καὶ συμπάθειαν καὶ οἰκειότητα τὴν πρὸς ἡμᾶς ἐπὶ σωτηρίᾳ ἀνθρώπων τῇ ἐκ θανάτου, διὰ τῆς πρὸς αὐτὸν οἰκειώσεως. 23

Δ. Ὅτι πιστευτέον Χριστῷ, ὡς Μωσεῖ ἐπίστευσαν, καθ' ὑπεροχὴν δὲ τὴν τοῦ θεοῦ πρὸς ἄνθρωπον· ἐν ᾧ, ὅτι φοβητέον τῶν πάλαι τὴν ἔκπτωσιν. 31

Ε. Προτροπὴ σπουδάσαι εἰς τὴν προδηλουμένην κατάπαυσιν. 39

Ϛ. Τὸ φοβερὸν τῆς κρίσεως παρὰ τῷ λόγῳ τῷ διὰ πάντων, καὶ τὸ χρηστὸν τῆς χάριτος τῆς ἱερατικῆς παρὰ τῷ ὁμοιοπαθήσαντι ἡμῖν ἀνθρωπίνως. . 44

Ζ. Ἐπιτίμησις τοῖς ἔτι δεομένοις τῆς στοιχειώδους εἰσαγωγῆς· ἐν ᾧ, προτροπὴ εἰς ἐπίδοσιν, ὡς οὐκ οὔσης δευτέρας ἀρχῆς· παράκλησις σὺν ἐπαίνῳ. . . 55

Η. Ὅτι βεβαία ἡ ἐπαγγελία τοῦ θεοῦ, καὶ ταῦτα σὺν ὅρκῳ 69

Θ. Περὶ τοῦ Μελχισεδὲκ, τοῦ εἰς Χριστὸν τύπου κατὰ τὸ ὄνομα, καὶ τὴν πόλιν, καὶ τὴν ζωὴν, καὶ τὴν ἱερωσύνην· ἐν ᾧ, ὅτι καὶ τοῦ Ἀβραὰμ προετιμήθη. 74

Ι. Ὅτι παύσεται ἡ τοῦ Ἀαρὼν ἱερωσύνη ἐπὶ γῆς οὖσα·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σελ.

ἵσταται δὲ ἡ ἐπουράνιος, ἡ Χριστοῦ, ἐξ ἑτέρου γένους, οὐ κατὰ σάρκα, οὐδὲ διὰ νόμου σαρκίνου. 82

ΙΑ. Ὑπεροχὴ τῆς δευτέρας διαθήκης ὑπὲρ τὴν προτέραν, ἐν ἱλασμῷ καὶ ἁγιασμῷ. 93

ΙΒ. Περὶ τοῦ αἵματος τοῦ Χριστοῦ, ἐν ᾧ ἦν ἡ νέα διαθήκη, ὅτι τοῦτο ἀληθὲς καθάρσιον εἰσάγει, οὐ τὰ ἐν αἵμασι ζώων πολλάκις προσφερόμενα. . 104

ΙΓ. Μαρτυρία περὶ τῆς μόνης καθάρσεως καὶ προσαγωγῆς πρὸς θεόν· ἐν ᾧ, προτροπὴ τῆς ἐν πίστει προσόδου. 119

ΙΔ. Προτροπὴ σπουδῆς κατὰ φόβον τῆς μελλούσης κρίσεως 127

ΙΕ. Περὶ τοῦ καλὴν ἀρχὴν εἰς καλὸν τέλος προαγαγεῖν. 131

ΙϚ. Περὶ πίστεως τῆς καὶ τοὺς παλαιοὺς δοξασάσης. . 135

ΙΖ. Περὶ ὑπομονῆς τῆς ἐν ἀκολουθήσει Χριστοῦ. . . 158

ΙΗ. Περὶ σωφροσύνης, ἕως καιροῦ κατορθώσεως, μὴ ἀποτύχωμεν αὐτῆς, ὡς Ἡσαῦ, μὴ εὑρὼν τόπον μετανοίας 164

ΙΘ. Ὅτι φοβερώτερα τῶν ἐπὶ Μωϋσέως τὰ μέλλοντα, καὶ πλείονος ἄξια σπουδῆς τὰ νῦν. . . . 163

Κ. Περὶ φιλαδελφίας καὶ φιλοξενίας· ἐν ᾧ, περὶ σωφροσύνης, περὶ αὐταρκίας, περὶ μιμήσεως πατέρων. 175

ΚΑ. Περὶ τοῦ μὴ σωματικῶς ζῆν κατὰ νόμον, ἀλλὰ πνευματικῶς κατὰ Χριστὸν ἐν ἀρετῇ. . . . 178

ΚΒ. Εὐχὴ πρὸς τὸν θεὸν περὶ τῆς εἰς ἀρετὴν ἀγωγῆς καὶ οἰκονομίας. 185

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΑ
ΤΗΣ
ΙΑΚΩΒΟΥ ΚΑΘΟΛΙΚΗΣ
ΕΠΙΣΤΟΛΗΣ.

Α. Περὶ ὑπομονῆς καὶ πίστεως ἀδιακρίτου· καὶ περὶ ταπεινοφροσύνης πρὸς πλουσίους· ἐν ᾧ, περὶ τῆς ἐν ἡμῖν πυρώσεως καὶ τῶν ἐξ αὐτῆς παθῶν, ὅτι οὐ παρὰ θεοῦ τὸ αἴτιον· εἴ τι γὰρ ἀγαθὸν ἡμῖν, παρ' αὐτοῦ. 193

Β. Περὶ πραότητος καὶ ἀγνείας καὶ πράξεως ἀγαθῆς, μεταδοτικῆς ἐπὶ μακαρισμῷ, καὶ περὶ ἐπιστήμης καὶ συμμετρίας λόγου. 203

Γ. Περὶ τῆς πρὸς ἕκαστον ἀγάπης ἀπροσωπολήπτου κατὰ νόμον 208

Δ. Ὅτι οὐκ ἐκ πίστεως μόνον, ἀλλὰ καὶ ἐξ ἔργων, καὶ οὐκ ἐκ θατέρου ἰδικῶς, ἀλλ' ἐξ ἀμφοῖν ἅμα δικαιοῦται ἄνθρωπος 212

Ε. Ὅτι ἡ προπετὴς καὶ ἄτακτος γλῶττα θανατοῖ τὸν κεκτημένον, ἧς κρατεῖν ἀνάγκη εἰς εὐφημίαν καὶ δόξαν τοῦ θεοῦ· ἐν ᾧ, περὶ ἀναστρυφῆς ἀγαθῆς καὶ ἀμάχου πρὸς ἀλλήλους ἐκ φιλοδοξίας τῆς ἐπὶ σοφίᾳ ἀνθρωπίνῃ· καὶ περὶ θείας σοφίας· καὶ ὅτι ἐκ ῥαθυμίας καὶ φιληδονίας ἔρις, καὶ ἀκαταστασία, καὶ ἡ πρὸς θεὸν ἔχθρα γίνεται· καὶ περὶ μετανοίας εἰς σωτηρίαν, καὶ περὶ τοῦ μὴ κρίνειν τὸν πλησίον. 216

Ϛ. Ὅτι οὐκ ἐν ἀνθρώπῳ, ἀλλ' ἐν θεῷ τὰ διαβήματα ἀνδρὸς κατευθύνεται· ἐν ᾧ, περὶ πλεονεξίας πλουσίων, καὶ τῆς ἐν κόσμῳ τρυφῆς αὐτῶν, καὶ περὶ δικαιοκρισίας τοῦ θεοῦ. 229

Ζ. Περὶ μακροθυμίας καὶ ὑπομονῆς παθημάτων, καὶ περὶ ἀληθείας· ἐν ᾧ, παραινέσεις ἰδικαὶ ἑκάστῳ προσήκουσαι μετὰ πίστεως· καὶ ὅτι διακονητέον τῇ τοῦ πλησίον σωτηρίᾳ. 234

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΑ
ΤΗΣ
ΠΕΤΡΟΥ ΚΑΘΟΛΙΚΗΣ
ΠΡΩΤΗΣ ΕΠΙΣΤΟΛΗΣ

Α. Περὶ τῆς ἐν Χριστῷ ἀναγεννήσεως, καὶ περὶ ὑπομονῆς πειρασμῶν, καὶ περὶ σωτηριώδους πίστεως προκατηγγελμένης ὑπὸ τῶν προφητῶν. . . 243

Β. Περὶ ἐλπίδος καὶ ἁγιασμοῦ, τῆς τε ὀφειλομένης ἐπὶ τῇ υἱοθεσίᾳ ἀσφαλοῦς ἀναστροφῆς 251

Γ. Περὶ τοῦ ἐπαξίως τῆς υἱοθεσίας ζῆν ἐν Χριστῷ, πρὸς ὠφέλειαν καὶ τῶν ἔξωθεν, πρὸς δόξαν θεοῦ. . 257

Δ. Περὶ τῆς πρὸς ἄρχοντας ὑποταγῆς, καὶ φιλαδελφίας καὶ θεοσεβείας· ἐν ᾧ, περὶ δούλων ὑποταγῆς καὶ ἀνεξικάκου ὑπομονῆς διὰ Χριστόν· περὶ ὑπακοῆς γυναικῶν καὶ ὁμονοίας τῆς πρὸς τοὺς ἄνδρας, ἐπὶ σωτηρίᾳ τῇ ἐν πνεύματι, εἰς τύπον Σάρρας· περὶ τῆς ἀνδρῶν πρὸς γυναῖκας συμπεριφορᾶς· περὶ τῆς πρὸς ἅπαντας ἐπιεικοῦς ἀνεξικακίας, ἧς τύπος ἡ ἐπὶ Νῶε τοῦ θεοῦ φιλανθρωπία, ἐφ' ἡμᾶς δὲ ἡ διὰ βαπτίσματος τοῦ Χριστοῦ συμπάθεια 264

Ε. Περὶ ἀποθέσεως φαύλων πράξεων καὶ ἐπαναλήψεως τῶν ἐν πνεύματι καρπῶν, κατὰ τὴν διαφορὰν τῶν χαρισμάτων. 282

Ϛ. Ὅτι κοινωνίᾳ τῇ πρὸς Χριστὸν κρατεῖν χρεὼν τῶν φυσικῶν παθῶν· ἐλπίδι δὲ τῇ εἰς αὐτὸν φέρειν τὰς παρ' ἑτέρων βλάβας. 288

Ζ. Παραίνεσις πρεσβυτέρων περὶ ἐπισκοπῆς τοῦ ποιμνίου· ἐν ᾧ, περὶ κοινῆς πάντων πρὸς ἕκαστον ταπεινοφροσύνης, εἰς νίκην τὴν κατὰ τοῦ διαβόλου. . 291

Η. Εὐχὴ ὑπὲρ τελειώσεως τῶν πιστευόντων. . . . 295

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΑ
ΤΗΣ
ΠΕΤΡΟΥ ΚΑΘΟΛΙΚΗΣ
ΔΕΥΤΕΡΑΣ ΕΠΙΣΤΟΛΗΣ.

Α. Περὶ κλήσεως, τῆς ἐν πίστει, ἔργοις βεβαιουμένης τοῖς τῆς ἀρετῆς, ἐλπίδι τῶν μελλόντων ἀγαθῶν. 303

Β. Παραγγελία εἰς ὑπόμνησιν τῆς διδασκαλίας μετὰ τὴν ἀνάλυσιν αὐτοῦ, καὶ ὅπως ἐν ὄρει Θαβὼρ τῆς τοῦ θεοῦ περὶ τοῦ υἱοῦ ἐπήκουσε φωνῆς. . . . 307

Γ. Πρόῤῥησις ἀπατηλῆς ἐπαναστάσεως αἱρετικῶν, ἀσεβείας τε αὐτῶν, καὶ μελλούσης κολάσεως. . . 313

Δ. Ἐπανάληψις περὶ κακίας ἀνθρώπων αἱρετικῶν· ἐν ᾧ, περὶ τοῦ πῶς αἰφνιδίως ἥξει ὁ Χριστὸς ἐπὶ συντελείᾳ τοῦδε τοῦ αἰῶνος· ὥστε δεῖν εὐτρεπίζεσθαι πάσῃ ἀρετῇ 325

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΑ

ΤΗΣ

ΙΩΑΝΝΟΥ ΚΑΘΟΛΙΚΗΣ

ΠΡΩΤΗΣ ΕΠΙΣΤΟΛΗΣ.

Α. Εὐαγγελικὴ θεολογία περὶ Χριστοῦ· ἐν ᾧ, περὶ ἐξομολογήσεως καὶ προσοχῆς εἰς τὸ μὴ ἁμαρτάνειν· ὅτι ἡ τήρησις τῶν ἐντολῶν τοῦ θεοῦ τὴν γνῶσιν βεβαιοῖ. 339

Β. Περὶ ἀγάπης, ἧς ἄνευ ἀσέβεια· ἐν ᾧ, παραίνεσις περὶ χάριτος ἑκάστου καθ' ἡλικίαν· καὶ περὶ ἀποτροπῆς τῆς πρὸς τὸν κόσμον ἀγάπης. . . . 348

Γ. Περὶ ψευδαδέλφων ἀρνησιθέων· καὶ ὅτι ἡ εἰς Χριστὸν εὐσέβεια, πατρὸς ὁμολογία· ἡ γὰρ τοῦ πατρὸς δοξολογία, τοῦ υἱοῦ ἐστὶ θεολογία· ἐν ᾧ, περὶ θείου καὶ πνευματικοῦ χαρίσματος ἐν ἁγιασμῷ, ἐπ' ἐλπίδι, εἰς γνῶσιν θεοῦ· ὅτι πᾶς ὁ ἐν Χριστῷ, ἐκτὸς ἁμαρτίας· ὁ γὰρ ἁμαρτάνων ἐκ τοῦ διαβόλου ἐστίν 354

Δ. Περὶ ἀγάπης τῆς εἰς τὸν πλησίον καὶ δεαθέσεως μεταδοτικῆς· ἐν ᾧ, πεῖρι συνειδήσεως ἀγαθῆς τῆς ἐν πίστει Ἰησοῦ Χριστοῦ· περὶ διακρίσεως πνευμάτων ἐφ' ὁμολογίᾳ τῆς τοῦ Χριστοῦ ἐνανθρωπήσεως. 364

Ε. Περὶ φιλαδελφίας εἰς θεοσέβειαν. 374

Ϛ. Περὶ θεολογίας υἱοῦ ἐν δόξῃ πατρὸς, καὶ περὶ νίκης τῆς κατὰ τοῦ πονηροῦ διὰ πίστεως Ἰησοῦ Χριστοῦ εἰς ζωήν. 382

Ζ. Περὶ ἀντιλήψεως τοῦ ἁμαρτάνοντος ἀδελφοῦ διὰ προσευχῆς, καὶ περὶ τοῦ μὴ ἁμαρτάνειν· ἐν ᾧ, περὶ ἀποχῆς δαιμονικοῦ σεβάσματος. . . . 389

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΑ

ΤΗΣ

ΙΩΑΝΝΟΥ ΚΑΘΟΛΙΚΗΣ

ΔΕΥΤΕΡΑΣ ΕΠΙΣΤΟΛΗΣ.

Α. Μετὰ τὸ προοίμιον περὶ ὀρθοῦ βίου ἐν ἀγάπῃ θεοῦ, διὰ πίστεως εὐσεβοῦς ἀμεταθέτου· ἐν ᾧ, ὅτι οὐ δεῖ αἱρετικὸν εἰσοικίζειν ἢ χαιρετίζειν ἐφ' ἁμαρτίᾳ 399

Β Ἐπαγγελία παρουσίας αὐτοῦ ἐπ' ἐλπίδι πρὸς ὠφέλειαν. 405

ΚΕΦΑΛΑΙΑ

ΤΗΣ

ΙΩΑΝΝΟΥ ΚΑΘΟΛΙΚΗΣ

ΤΡΙΤΗΣ ΕΠΙΣΤΟΛΗΣ.

Α. Εὐχὴ ὑπὲρ τελειώσεως, καὶ εὐχαριστία ἐφ' ὁμολογίᾳ φιλοξενίας τῶν ἀδελφῶν διὰ Χριστόν· ἐν ᾧ, περὶ τῆς Διοτρεφοῦς φαυλότητος καὶ μισαδελφίας. . 411

Β. Περὶ Δημητρίου, ᾧ μαρτυρεῖ τὰ κάλλιστα. . . . 414

Γ. Περὶ ἀφίξεως αὐτοῦ πρὸς αὐτοὺς ἐν τάχει ἐπ' ὠφελείᾳ. 414

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΑ
ΤΗΣ
ΙΟΥΔΑ ΚΑΘΟΛΙΚΗΣ
ΕΠΙΣΤΟΛΗΣ.

Α. Περὶ προσοχῆς τῆς εἰς Χριστὸν πίστεως διὰ τὴν ἐπανάστασιν τῶν ἀσεβῶν καὶ ἀσελγῶν ἀνδρῶν· ἐν ᾧ, περὶ μελλούσης αὐτῶν κολάσεως καθ' ὁμοίωσιν τῶν πάλαι ἁμαρτησάντων καὶ πονηρῶν. 420

Β. Ταλανισμὸς αὐτῶν ἐπὶ τῇ πλάνῃ καὶ ἀσεβείᾳ καὶ ἀσελγείᾳ καὶ βλασφημίᾳ, καὶ ἐπιπλάστῳ ὑποκρίσει τῆς εἰς ἀπάτην δωροδοκίας 427

Γ. Περὶ ἀσφαλείας αὐτῶν ἐπὶ τῇ πίστει, συμπαθείας τε καὶ φειδοῦς εἰς τὸν πλησίον ἐπὶ σωτηρίᾳ ἐν ἁγιασμῷ· εὐχὴ ὑπὲρ αὐτῶν εἰς ἁγιασμὸν καὶ παῤῥησίαν καθαρὰν σὺν δοξολογίᾳ θεοῦ. 431

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Η
ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ
ΕΠΙΣΤΟΛΗ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΥΠΟΘΕΣΙΣ
ΤΗΣ
ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ
ΕΠΙΣΤΟΛΗΣ.

ΤΑΥΤΗΝ ἐπιστέλλει ἀπὸ Ἰταλίας· ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη· Ἐπειδὴ οἱ Ἰουδαῖοι ἐνίσταντο τῷ νόμῳ καὶ ταῖς σκιαῖς, διὰ τοῦτο ὁ ἀπόστολος Παῦλος, διδάσκαλος ἐθνῶν γενόμενος, καὶ εἰς τὰ ἔθνη ἀποσταλεὶς κηρύττειν τὸ εὐαγγέλιον, γράψας τε πᾶσι τοῖς ἔθνεσι, γράφει λοιπὸν καὶ πᾶσι τοῖς ἐκ περιτομῆς πιστεύσασιν Ἑβραίοις ἀποδεικτικὴν ταύτην ἐπιστολὴν περὶ τῆς τοῦ Χριστοῦ παρουσίας καὶ τοῦ πεπαῦσθαι τὴν σκιὰν τοῦ νόμου. Καὶ πρῶτον μὲν ἀποδείκνυσι τοὺς προφήτας διὰ τοῦτο ἀπεστάλθαι, ἵνα περὶ τοῦ Σωτῆρος ἀπαγγείλωσι, καὶ μετ' αὐτοὺς αὐτὸς ἔλθῃ, δούλους τε εἶναι τοὺς προφήτας καὶ μηνυτὰς τῆς αὐτοῦ παρουσίας· αὐτὸν δὲ τὸν Χριστὸν υἱὸν εἶναι θεοῦ, δι' οὗ τὰ πάντα γέγονε· καὶ ὅτι τοῦτον τὸν υἱὸν ἔδει ἄνθρωπον γενέσθαι, ἵνα διὰ τῆς τοῦ σώματος αὐτοῦ θυσίας καταργήσῃ τὸν θάνατον. Οὐ γὰρ δι' αἵματος μόσχου καὶ τράγου, ἀλλὰ δι' αἵματος Χριστοῦ ἔσεσθαι τοῖς ἀνθρώποις τὴν σωτηρίαν. Ἀποδείκνυσι δὲ, ὅτι ὁ νόμος οὐδένα ἐτελείωσεν, ἀλλὰ σκιὰν εἶχε τῶν μελλόντων ἀγαθῶν· καὶ οὐ κατέπαυσεν ὁ λαὸς, ἀλλὰ κοινὴ πᾶσιν ἡμῖν ἀπολέλειπται ἡ ἡμέρα τῆς καταπαύσεως. Πάλιν δὲ ἀποδείκνυσιν, ὅτι ἡ ἀρχιερατικὴ λειτουργία μετετέθη ἀπὸ Ἀαρὼν εἰς τὸν Χριστὸν, οὗ τύπος ἦν ὁ Μελχισεδὲκ, οὐκ ὢν ἐκ τοῦ Λευΐ· πίστει τε δεδικαιῶσθαι τοὺς πα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τέρας σημαίνει, καὶ οὐκ ἐξ ἔργων νόμου. Εἶτα πάλιν, εἰς τὰ ἤθη προτρεψάμενος καὶ τούτους, καὶ ἀποδεξάμενος αὐτῶν τὴν διὰ Χριστὸν ὑπομονήν, καὶ πείσας τιμᾶν τοὺς πρεσβυτέρους, τελειοῖ τὴν ἐπιστολήν.

Αὕτη δὲ ἡ πρὸς Ἑβραίους ἐπιστολή, δοκεῖ μὲν οὐκ εἶναι Παύλου, διά τε τὸν χαρακτῆρα, καὶ τὸ μὴ προγράφειν τὸ ἑαυτοῦ ὄνομα ὡς ἐν ἁπάσαις ταῖς ἄλλαις ἐπιστολαῖς, καὶ τὸ λέγειν· « Πῶς ἡμεῖς ἐκφευξόμεθα, τηλικαύτης ἀμελήσαντες σωτηρίας; ἥτις, ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη, συνεπιμαρτυροῦντος τοῦ θεοῦ σημείοις καὶ τέρασι (α). » Τοῦ μὲν οὖν ἠλλάχθαι τὸν χαρακτῆρα τῆς ἐπιστολῆς, φανερὰ ἡ αἰτία· πρὸς γὰρ Ἑβραίους τῇ σφῶν διαλέκτῳ γραφεῖσα, ὕστερον μεθερμηνευθῆναι λέγεται, ὡς μέν τινες, ὑπὸ Λουκᾶ, ὡς δὲ οἱ πολλοί, ὑπὸ Κλήμεντος (ι)· τούτου γὰρ καὶ σώζει τὸν χαρακτῆρα. Τοῦ δὲ μὴ προγράφειν τῇ ἐπιστολῇ τὸ ἑαυτοῦ ὄνομα, αἴτιον ἡ ἀκολουθία· ἀπόστολος γὰρ ἐθνῶν ὑπῆρχεν ὁ Παῦλος, ἀλλ' οὐχὶ Ἰουδαίων· ἐπεὶ δεξιὰς ἔδωκε τῷ Πέτρῳ καὶ τοῖς ἀποστόλοις κοινωνίας, ἵνα αὐτὸς μὲν σὺν Βαρνάβᾳ εἰς τὰ ἔθνη, οἱ δὲ περὶ τὸν Πέτρον, εἰς τὴν περιτομήν (β). Ἐπειδὴ δὲ κοινωνία τὸ κήρυγμα, καὶ κατηχηθέντες ὑπῆρχον οἱ ἐξ Ἰουδαίων, ὡς ἀποστασίαν διδάσκει Παῦλος, εἰκότως τοῦ γνωρίσαι χάριν τὴν συμφωνίαν Ἑβραίοις ἐπιστέλλει. Γράφοντα δὲ πρὸς τούτους, προγράφειν *Ἀπόστολον*, οὐ θέμις. Μαρτυρεῖται δὲ καὶ ἐν τοῖς ἑξῆς ἡ ἐπιστολὴ ὑπάρχουσα Παύλου, τῷ γράφειν· Ὅτι καὶ τοῖς δεσμοῖς μου συνεπαθήσατε (γ)· καὶ ἐκ τοῦ λέγειν· Περισσότερον εὔχεσθε, ἵνα τάχιον ἀποκατασταθῶ ὑμῖν (δ)· καὶ ἐκ τοῦ λέγειν· Γινώσκετε τὸν ἀδελφὸν ἡμῶν Τιμόθεον ἀπολελυμένον· μεθ' οὗ, ἐὰν τάχιον ἔρχηται, ὄψομαι ὑμᾶς (ε). Οὐδεὶς γὰρ, οἶμαι, ἀπέλυσεν εἰς

(α) Ἑβρ. Β', 3. 4. (ι) Εὐσεβ. Ἐκκλ. Ἱστ. Βιβλ. Γ'. Κεφ. λή.
(β) Γαλ. Β', 9. (γ) Ἑβρ. Ι', 34. (δ) Ἑβρ ΙΓ', 19.
(ε) Ἑβρ. ΙΓ', 23.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διακονίαν Τιμόθεον, εἰ μὴ Παῦλος· καὶ τοῦτον τάχιον προσδοκῶν, τὴν ἰδίαν αὐτοῖς, ὡς ἔθος πολλαχοῦ, σὺν αὐτῷ παρουσίαν ἐπαγγέλλεται. Πολλὰ δὲ καὶ ἄλλα γνωρίζουσιν ἡμῖν, αὐτοῦ τυγχάνειν τὴν ἐπιστολήν, ὡς καὶ ἡ ἀνάγνωσις αὐτὴ προϊοῦσα διδάσκει.

ΑΛΛΗ.

Τίνος ἕνεκεν, ἐθνῶν ἀπόστολος ὑπάρχων ὁ Παῦλος, Ἑβραίοις ἐπιστέλλει, καὶ ταῦτα ἀπεχθῶς ἔχουσι πρὸς αὐτὸν τῷ τὸν νόμον παραλύειν; οἱ γὰρ ἀμφὶ Πέτρον συγκαταβαίνοντες αὐτοῖς, ἠρέμα εἶχοντο καὶ τοῦ νόμου. Φαμὲν, ὅτι, ὥσπερ βαπτίζειν οὐκ ἐπιτεταγμένος, ἐκ περιουσίας ἐβάπτιζεν (1)· οὕτω καὶ Ἑβραίοις ἐπιστέλλει, πρὸς τὰ ἔθνη ἀποσταλείς. Ἐκήδετο γὰρ αὐτῶν, ὡς καὶ λέγειν· Ἤθελον, ἀνάθεμα εἶναι ὑπὲρ αὐτῶν (α)· καὶ πάλιν· Πορεύομαι εἰς Ἱεροσόλυμα, διακονήσων τοῖς ἁγίοις (β). Ἐπιστέλλει μὲν οὖν τοῖς ἤδη πεπιστευκόσιν ἐν τῇ Ἱερουσαλὴμ καὶ Παλαιστίνῃ· ἐπιστέλλει δὲ, παραμυθούμενος αὐτοὺς, πλεῖστα κακὰ πεπονθότας ὑπὸ τῶν ἰδίων συμφυλετῶν, τῶν μὴ πεπιστευκότων, καὶ ἀπεγνωκότας ταῖς πολλαῖς θλίψεσιν, ὡς καὶ αὐτὸς δηλοῖ, λέγων· Διὸ τὰς παρειμένας χεῖρας, καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε (γ). Δύο δὲ μάλιστα κατασκευάζει ἐν τῇ ἐπιστολῇ· παραμυθεῖται αὐτοὺς τοῦ φέρειν γενναίως τοὺς πειρασμοὺς, καὶ ὅτι ἔσται τούτων ἀντίδοσις ἀγαθή. Πολλὰ δὲ περὶ τῆς πίστεως φιλοσοφεῖ, δεικνὺς, τὰ μὲν Ἰουδαϊκὰ μηκέτι ἀναγκαῖα, ὡς τύπον ὄντα τῆς ἀληθείας· τὰ δὲ ἡμέτερα ἀναγκαῖα, ὡς ὄντα ἀληθειαν. Διὰ τί δὲ οὐκ ἔθηκε τὴν ἰδίαν ὀνο-

(1) Α΄ Κορ. Α΄, 14—17. (α) Ῥωμ. Θ΄, 3. (β) Ῥωμ. ΙΕ΄, 25.
(γ) Ἑβρ. ΙΒ΄, 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μασίαν, Ἑβραίοις γράφων, Κλήμης ἐν ταῖς Ὑποτυπώσεσι γράφει, λέγων οὕτως· « Ἤδη δὲ, ὡς ὁ μακάριος ἔλεγε πρεσβύτερος, ἐπεὶ ὁ Κύριος ἀπόστολος ὢν τοῦ παντοκράτορος, ἀπεστάλη πρὸς Ἑβραίους, διὰ μετριότητα ὁ Παῦλος, ὡς ἂν εἰς τὰ ἔθνη ἀπεσταλμένος, οὐκ ἐγγράφει ἑαυτὸν Ἑβραίων ἀπόστολον, διά τε τὴν πρὸς τὸν Κύριον τιμὴν, διά τε τὸ ἐκ περιουσίας καὶ τοῖς Ἑβραίοις ἐπιστέλλειν, ἐθνῶν κήρυκα καὶ ἀπόστολον ὄντα (1). »

(1) Εὐσεβ. Ἐκκλ. Ἱστ. Βιβλ. ϛ'. Κεφ. ιδ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η

ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ

ΕΠΙΣΤΟΛΗ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Θεολογία Χριστοῦ ἐν δόξῃ πατρὸς καὶ ἐξουσίᾳ τῶν πάντων, μετὰ τῆς καθάρσεως τῶν ἐπὶ γῆς, ἀφ' ἧς ἀνέβη εἰς τὴν ἐπουράνιον δόξαν.

ΚΕΦ. Ι, 1 ΠΟΛΥΜΕΡΩΣ καὶ πολυτρόπως πάλαι ὁ θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις,
ἐπ' ἐσχάτων (1) τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡ-
2 μῖν ἐν υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων, (δι' οὗ
3 καὶ τοὺς αἰῶνας ἐποίησεν)· ὃς, ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ,

Πολυμερῶς καὶ πολυτρόπως.] Διαφόρως καὶ ποικίλως ἐλάλησε διὰ τῶν προφητῶν ὁ θεὸς τοῖς πάλαι· ἡμῖν δὲ διὰ τοῦ υἱοῦ. Πολλὴν οὖν ἔσχομεν διαφορὰν πρὸς τοὺς ἡμετέρους πατέρας. Ἐπειδὴ γὰρ διὰ τὸ πεπονθέναι αὐτοὺς κακὰ, οὐχ οὕτως ἐνόμιζον πεφροντίσθαι παρὰ θεοῦ, ὡς οἱ πατέρες αὐτῶν, δείκνυσιν οὖν αὐτοὺς πλέον πεφροντισμένους, ἢ ἐκείνους. Πρὸς

(1) Παρ' ἄλλοις, ἐπ' ἐσχάτου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκείνους μὲν γὰρ προφήτας ἔπεμψε· πρὸς αὐτοὺς δὲ αὐτὸν τὸν υἱόν (1). *Ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τούτων.*] Ἀπειρηκότας πρὸς τὰ δεινὰ, παραμυθεῖται αὐτοὺς τῷ εἰπεῖν, *ἐπ᾽ ἐσχάτων.* Ἐγγὺς γάρ, φησι, τὸ τέλος· καὶ τῶν μὲν πόνων ἀνάπαυσις, τῶν δὲ ἀμοιβῶν ἀρχή. *Ἐλάλησεν ἡμῖν ἐν υἱῷ.*] Οὐκ εἶπεν, Ἐλάλησεν ἡμῖν ἐν Χριστῷ, τουτέστι, διὰ τοῦ Χριστοῦ· (ἔτι γὰρ ἀσθενέστερον περὶ τὸν Χριστὸν διέκειντο.) Ἀλλ᾽, *ἐν υἱῷ*, τουτέστι, διὰ τοῦ υἱοῦ. Ὅρα δὲ καὶ τὸ, *ἡμῖν*· ἐνοποιεῖ γὰρ καὶ ἐξισοῖ τοῖς μαθηταῖς καὶ αὐτοὺς καὶ ἑαυτόν· καίτοι γε οὐκ αὐτοῖς ἐλάλησεν, ἀλλὰ τοῖς ἀποστόλοις, καὶ δι᾽ ἐκείνων τοῖς πολλοῖς· ὅμως ἐπαίρει τὸ πρᾶγμα, καὶ δείκνυσιν, ὅτι καὶ αὐτοῖς ἐλάλησε. Καὶ τοῦτο πρὸς παράκλησιν. *Ὃν ἔθηκε κληρονόμον πάντων.*] Ὃν, φησι, παντὸς τοῦ κόσμου κληρονόμον καὶ κύριον ἐποίησε. Τὸ δὲ, *Ἐποίησεν*, ἁρμόδιον μετὰ τὴν ἐνανθρώπησιν. Κληρονόμος γὰρ πάντων ὁ δεσπότης Χριστὸς, οὐχ ὡς θεὸς, ἀλλ᾽ ὡς ἄνθρωπος· ὡς γὰρ θεὸς, ποιητὴς ἐστὶ πάντων· ὁ δὲ πάντων δημιουργὸς, φύσει πάντων δεσπότης· ὁ δὲ κληρονόμος ἀποφαίνεται κύριος, ὢν οὐκ ἦν πάλαι δεσπότης. *Δι᾽ οὗ καὶ τοὺς αἰῶνας ἐποίησε.*] Εἰπὼν περὶ τῆς σαρκὸς τοῦ υἱοῦ, τῆς χθὲς καὶ πρώην συστάσης, ἀνάγει σε λοιπὸν καὶ ἐπὶ τὸ ὕψος τῆς προαιωνίου αὐτοῦ θεότητος. Ποῦ

---

(1) « Ἔοικε τὸ προοίμιον τῇ τοῦ Κυρίου παραβολῇ. Καὶ γὰρ ὁ Κύριος τοῖς Ἰουδαίοις τὴν περὶ τοῦ ἀμπελῶνος παραβολὴν εἰρηκὼς (Ματθ. ΚΑ', 33.), ἐδείξε πρώτους μὲν δούλους ἀποσταλέντας πρὸς τοὺς πονηροὺς γεωργοὺς· εἶτα μετὰ τὴν ἐκείνων ἀναίρεσιν, υἱὸν παραγενόμενον. Τὸ μέντοι πολυμερῶς, τὰς παντοδαπὰς οἰκονομίας σημαίνει· τὸ δὲ πολυτρόπως, τῶν θείων ὀπτασιῶν τὸ διάφορον. Ἄλλως γὰρ ὤφθη τῷ Ἀβραὰμ, καὶ ἄλλως τῷ Μωϋσῇ· καὶ ἑτέρως Ἠλίᾳ, καὶ ἄλλως τῷ Μιχαίᾳ. Καὶ Ἡσαΐας δὲ, καὶ Δανιὴλ, καὶ Ἰεζεκιὴλ διάφορα ἐθεάσαντο σχήματα. Τοῦτο διδάσκων ὁ τῶν ὅλων ἔφη θεός· Ἐγὼ ὁράσεις ἐπλήθυνα, καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην (Ὡσηὲ ΙΒ', 10). Οὐ γὰρ πολύμορφος ἡ θεία φύσις, ἀλλὰ ἀνείδεός τε καὶ ἀσχημάτιστος, καὶ ἁπλῆ, καὶ ἀσύνθετος. Οὐκ αὐτὴν τοίνυν ἑώρων τὴν ἀνέφικτον φύσιν, ἀλλά τινα σχήματα, ἃ πρὸς τὴν χρείαν ὁ ἀόρατος ἐδείκνυε θεός. Τὸ μέντοι πολυμερῶς καὶ ἕτερον αἰνίττεται· ὅτι βιβλαδὴ τῶν προφητῶν ἕκαστος μερικήν τινα οἰκονομίαν ἐνεχειρίζετο· ὁ δὲ τούτων θεὸς, ὁ δεσπότης λέγω Χριστὸς, οὐ μίαν τινὰ ᾠκονόμησε χρείαν, ἀλλὰ τὸ πᾶν ἐνανθρωπήσας κατώρθωσε, καὶ τὴν τῶν ἀνθρώπων ἐπραγματεύσατο σωτηρίαν. » Θεοδώρητος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δέ ἐσιν οἱ λέγοντες, Ἦν, ὅτε οὐκ ἦν ὁ υἱός; οὐ γὰρ ὑπὸ χρόνον ὁ ποιητὴς τῶν αἰώνων. Αὐτὸς τοὺς αἰῶνας ἐποίησε, καὶ πῶς ἦν αἰὼν, ὅτε οὐκ ἦν αὐτός; Ἐπειδὴ δὲ αἴτιος ὁ πατὴρ τοῦ υἱοῦ, εἰκότως καὶ τῶν ὑπ' αὐτοῦ γεγονότων. Διὰ τοῦτο φησὶ, *δι' οὗ*. Ὁ πατὴρ γὰρ δοκεῖ ποιεῖν, ὃς τὸν ποιήσαντα υἱὸν ἐγέννησεν (1). *Ὅς, ὢν ἀπαύγασμα τῆς δόξης.*] Ἐπ' αὐτὸ τὸ ὕψος ἀνέβη τῆς περὶ τοῦ υἱοῦ μεγαληγορίας· καὶ *ἀπαύγασμα* αὐτὸν λέγει *δόξης*· ἵνα τοῦτο μάθῃς, ὅτι ἐξ αὐτοῦ, ὅτι ἀπαθῶς, ὅτι οὐ μειωθέντος, οὐδὲ ἐλαττωθέντος, ὅτι τῆς αὐτῆς οὐσίας, τουτέστι, φῶς ἐκ φωτός. — *Ἀπαύγασμα* καλεῖται, δεικνὺς τὴν ἐκ τοῦ πατρὸς οἱονεί πως εἰς τὰ ἔξω διεκβρομὴν, οὔτε εἰσάπαξ ἀπηλλαγμένην τῆς ὅθεν ἐστὶν ὑποστάσεως, οὔτε εἰσάπαν συνεσταλμένην, προεκκύπτουσαν δὲ ὥσπερ εἰς τὸ ὑφεστάναι καθ' ἑαυτὴν, καὶ εἰς ὕπαρξιν ἰδικὴν ἐμφιλοχορεῦσαν. Οὕτως ὁ ἐν ἁγίοις Κύριλλος ἐν βιβλίῳ πέμπτῳ Περὶ Τριάδος. — *Καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ.*] *Χαρακτὴρ*, οἷον, ὁμοίωμα τῆς δόξης ὁ υἱὸς τοῦ πατρός· ὅμοιος γὰρ καὶ ἀπαράλλακτος ὁ υἱὸς τοῦ πατρὸς, καὶ οἷον εἷς χαρακτὴρ ἐν διαφόροις ὑποστάσεσι (2). *Φέρων τε τὰ πάντα.*] Οἷον, τὰ ἀόρατα καὶ τὰ ὁρατὰ, *ἐν τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ* περιφέρων καὶ κυβερνῶν. *Ῥῆμα* δὲ εἶπε, δεικνὺς πάντα εὐκόλως αὐτὸν ἄγειν

---

(1) «Τὸ, Δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησε, δηλωτικὸν τῆς θεότητος· οὐ μόνον γὰρ αὐτὸν δημιουργὸν, ἀλλὰ καὶ ἀίδιον ἐδείξεν· ὁ γὰρ αἰὼν οὐκ οὐσία τίς ἐστιν, ἀλλ' ἀνυπόστατον χρῆμα, συμπαρομαρτοῦν τοῖς γεννητὴν ἔχουσι φύσιν.... Αἰὼν τοίνυν ἐστὶ τὸ τῇ κτιστῇ φύσει παρεζευγμένον διάστημα. Τῶν αἰώνων δὲ ποιητὴν εἰρηκὼς τὸν υἱὸν, ἀίδιον αὐτὸν εἶναι διδάσκων, καὶ παιδεύων ἡμᾶς, ὡς ἀεὶ ἦν παντὸς οὐτινοσοῦν ὑπερκείμενος χρονικοῦ διαστήματος.» Θεοδώρητος.

(2) «Εἶπων, ἀπαύγασμα, καὶ διὰ τούτου τὸ πρὸς τὸν πατέρα ὁμούσιον καὶ συναΐδιον δείξας τοῦ υἱοῦ, αὖθις, ἐπειδὴ τὸ ἀπαύγασμα ἀνυπόστατόν ἐστι, θεραπεύει τὸ ἐκ τοῦ ὑποδείγματος ἄτοπον· ἵνα μὴ λάβῃ χώραν Μάρκελλος καὶ Σαβέλλιος, οἳ ἔλεγον, μὴ εἶναι τὸν υἱὸν ἐν ἰδίᾳ ὑποστάσει παρὰ τὸν πατέρα. Φησὶν οὖν. Καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ ἐστιν· οἷον, ὥσπερ ἐστὶν αὐτὸς ἐνυπόστατος, οὐδενὸς δεόμενος εἰς τελείωσιν, οὕτω καὶ ὁ υἱός. Μετὰ γὰρ τὸ δεικνῦναι τὸ ἀπαράλλακτον, ἔτι καὶ τὸν ἰδιάζοντα χαρακτῆρα τοῦ πρωτοτύπου δείκνυσι διὰ τούτων ὁ ἀπόστολος· ὁ γὰρ χαρακτὴρ ἄλλός τίς ἐστι παρὰ τὸ πρωτότυπον, ὡς ὑφεστὼς αὐτὸς καθ' ἑαυτὸν, εἰκὼς μέντοι ἀπαραλλάκτως τῷ πρωτοτύπῳ.» Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ φέρειν (1). — *Ὃν ἔθηκε κληρονόμον.* Τίνων; *Πάντων.* Πάντων τῶν προσόντων τῇ ἀκηράτῳ καὶ θείᾳ φύσει· κληρονόμος γὰρ καὶ μέτοχος τῆς πατρικῆς οὐσίας, καὶ ἐξουσίας, καὶ δυνάμεως ὁ υἱός. Εἶτα, εἰπὼν, ὅτι κληρομόμος ἐστὶ τῶν πατρῴων πλεονεκτημάτων ὁ υἱὸς, ἐπεξηγεῖται καὶ πῶς. *Δι' αὐτοῦ,* φησιν, *οἱ αἰῶνες ἐποιήθησαν·* τουτέστι, κοινά εἰσιν ἔργα οἱ αἰῶνες αὐτοῦ καὶ τοῦ πατρός. Εἰ δὲ οἱ αἰῶνες κοινὸν ἔργον πατρὸς καὶ υἱοῦ, καὶ τὰ ἐν τοῖς αἰῶσι πάντως κοινὰ πατρὸς καὶ υἱοῦ. Εἰ δὲ τὰ ἐν τοῖς αἰῶσι, πολλῷ μᾶλλον τὰ μετὰ τοὺς αἰῶνας, οἷον ὁ κόσμος, καὶ τὰ ἐν αὐτῷ. Εἶτα, ἵνα μὴ, κληρονόμον ἀκούσας, νομίσῃς οὐ κατὰ φύσιν χρηματίσαι κληρονόμον, ἀλλά χάριτί τινι καὶ εἰσποιήσει, ἐπάγει· *Ὅς, ὃν ἀπαύγασμα τῆς δόξης·* μονονουχὶ λέγων· Ὡς, εἰ καὶ κληρονόμον αὐτὸν εἶπον ὅτι ἔθηκεν ὁ πατὴρ, μηδὲν ταπεινὸν ἢ ἀνάξιον θεοῦ ἐννοήσῃς· τὸ γὰρ, *ἔθηκεν,* οὐχὶ τῆς εἰσποιήσεως, καὶ τοῦ θετὸν εἶναι τὸν κληρονόμον εἴρηταί μοι δηλωτικὸν, ἀλλὰ τῆς τοῦ υἱοῦ πρὸς τὸν πατέρα, ὡς αἴτιον κατὰ φύσιν, ἀναφορᾶς καὶ συννεύσεως· καὶ ἵνα μὴ, ἀναίτιον τὸν υἱὸν ὑπολαβὼν, τῆς πατρικῆς συγγενείας ἀλλοτριώσῃς, καὶ δύο ἀρχὰς ἀπεσχισμένας ἀλλήλων ὑπονοήσῃς. Διὰ τοῦτο γάρ μοι καὶ αὐτὸ τὸ, *κληρονόμος,* εἴρηται, ἵνα τὸν αἴτιον, ὅθεν κάτεισιν ἡ κληρονομία, αὐτίκα ἐννοῇς, καὶ μὴ ἀγέννητον, ὥσπερ τὸν πατέρα, ὑπονοῇς. Διὰ τοῦτο γὰρ εἴρηταί μοι καὶ τὸ, *κληρονόμον,* καὶ τὸ, *ἔθηκε.* Διὸ ἐπήγαγον αὐτίκα, *Ὅς, ὃν ἀπαύγασμα.* Εἰ δὲ οὐκ ἐτέθη,

---

(1) «Ὃ πρώην ὑποδραττόμενος τοῦ, δι' οὗ, καὶ ὡς ὑπουργὸν αὐτὸν τιθεὶς, ἄκουε νῦν, εἰ δύνασαι συνιέναι, πῶς ἐνταῦθα δίδωσιν ὁ Παῦλος τῷ υἱῷ τὴν αὐθεντίαν. Οὐκ εἶπε δὲ, Φέρων τῇ δυνάμει, ἀλλὰ, τῷ ῥήματι τῆς δυνάμεως, τουτέστι, τῷ γέμοντι δυνάμεως, τῷ δυνατὸν αὐτὸν δεικνῦντι. Ὡς γὰρ λέγεις καὶ τὸν πατέρα εἰπεῖν· Γεννηθήτω φῶς, καὶ ἐγένετο φῶς· οὕτω καὶ ὁ υἱὸς ῥήματι φέρει τὰ πάντα, τουτέστι, κυβερνᾷ, συγκρατεῖ· μᾶλλον δὲ μεῖζον τοῦ παραγαγεῖν τὰ πάντα τὸ διαστασιάζοντα, καὶ εἰς τὸ μὴ εἶναι μέλλοντα προχωρῆσαι, συγκρατεῖν. Καὶ οὐκ εἶπε, Κυβερνῶν, ἀλλὰ, Φέρων, ἐκ μεταφορᾶς τῶν δακτύλῳ τι ποιούντων κινεῖσθαι καὶ μεταφέρεσθαι. Τὸν γὰρ τηλικοῦτον ὄγκον τῆς κτίσεως, τὸν ὑπέρμεγαν, ὡς οὐδὲν αὐτὸς διαβαστάζει καὶ λόγῳ μόνῳ πάντα δυναμένῳ· οὐ γὰρ ψιλὸν ἐπὶ θεοῦ τὸ ῥῆμα, ὡς ἐφ' ἡμῶν.» Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀπαύγασμα εἶναι, ἀλλ', ἣν ἀπαύγασμα· (ὃς ὢν γὰρ ἀπαύγασμα, ἔφην·) οὐδὲ κληρονόμος δῆλον ὅτι ἐτέθη, ἀλλ' ἢ καθ' ὃν εἴρηταί μοι τρόπον. Ὅρα δὲ πῶς ἐμφαντικῶς καὶ ἀκριβῶς εἶπεν, *ἀπαύγασμα*, εἰπὼν, καὶ, *ὢν*, καὶ, *τῆς δόξης*. Διὰ μὲν γὰρ τοῦ, *ἀπαύγασμα*, τὴν κατὰ φύσιν ἐκ τοῦ πατρὸς πρόοδον τοῦ υἱοῦ δηλοῖ· οὐδὲν γὰρ ὅλως οὐδαμοῦ κατὰ χάριν καὶ εἰσποίησιν πρόεισιν ἀπαύγασμά τινος, οὐκ ἀπὸ τοῦ ἡλίου, οὐκ ἀπὸ τοῦ πυρὸς, οὐκ ἀφ' ἑτέρου τινός, ἀφ' οὗ πέφυκεν ἀπαύγασμα προϊέναι· διὰ δὲ τοῦ, *ὢν*, ὅτι οὐ πρόσφατον ἔχει τὸ εἶναι ἀπαύγασμα, ἀλλ' ἐξ ἀϊδίου, καὶ ἀεὶ ὤν. Εἶτα δὲ καὶ τὸ θεϊκὸν ἀξίωμα διὰ τοῦ, *ὢν*, παριστᾷ. Οὕτω γὰρ καὶ ὁ πατήρ· *Ἐγώ εἰμι ὁ ὤν*, φησὶ, χρηματίζων τῷ Μωϋσεῖ (α). Ἱκανὰ μὲν οὖν καὶ τὸ, *ἀπαύγασμα*, καὶ τὸ, *ὢν*, τήν τε κατὰ φύσιν πρόοδον παραστῆσαι τοῦ υἱοῦ ἐκ τοῦ πατρὸς, καὶ τὸ ὁμοούσιον καὶ συναΐδιον. Ὁ δὲ Παῦλος καὶ, *δόξης*, προστίθησιν, ἵνα εἴπῃς τοῦ τιμιωτάτου, καὶ κατ' οὐσίαν προσόντος, καὶ οὗ μεῖζον οὐκ ἔστιν ἐν πατρὶ, ἐκείνου ὁ υἱός ἐστιν ἀπαύγασμα. Ὁρᾷς, πῶς καὶ τίνων ἐστὶ κληρονόμος ὁ υἱός; Εἶτα ἔτι σαφηνίζων τὸ ῥηθὲν, ἐπάγει· *Καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ*. Οἷον, ὅλην ἐν ἑαυτῷ ἀπομάξας τὴν οὐσίαν καὶ τὴν ὕπαρξιν. Θεός ἐστιν, ἐξουσιαστής ἐστι, παντοδύναμος, δημιουργὸς, καὶ εἶτι ἄλλο τὴν πατρικὴν ὕπαρξιν χαρακτηρίζει. Πλὴν τοῦ εἶναι πατὴρ, πάντα ἐστὶν ὁ υἱός. Διὸ καὶ *πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ* περιάγει, καὶ συνέχει, καὶ πηδαλιουχεῖ. Εἶδες κληρονόμον ἀληθῶς, πῶς ἅπαντα κέκτηται τὰ τοῦ πατρός; Εἶτα εἰπὼν τὰ θεῖα περὶ τοῦ υἱοῦ καὶ ὑπερφυῆ, μέτεισι καὶ ἐπὶ τὰ λοιπὰ, ἃ ὑπερθαύμαστα μέν εἰσιν οὐδὲν ἔλαττον καὶ ὑπερφυῆ, ταπεινὰ δὲ ὅμως ἀκοῦσαι δόξαι καὶ εὐτελῆ, θάνατος καὶ σφαγὴ (Φωτίου).

3 Δι' ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψη-

(α) Ἔξοδ. Γ', 14.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

4 λοῖς· τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα.

Δι' ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν.] Εἰρηκὼς περὶ γυμνοῦ τοῦ θεοῦ Λόγου, ἦλθεν εἰς τὴν ἀνθρώπησιν, ἵνα μὴ τῷ ὕψει τῶν εἰρημένων ἰλιγγιάσωσι. Δύο δὲ τίθησιν ἐνταῦθα, τό τε καθαρίσαι ἡμᾶς τῶν ἁμαρτιῶν, καὶ τὸ δι' ἑαυτοῦ τοῦτο ποιῆσαι. *Δι' ἑαυτοῦ*, φησι, τουτέστιν, οὐκ ἄλλον ἔπεμψε διακονοῦντα, ἀλλὰ δι' ἑαυτοῦ καθαρισμὸν εἰργάσατο, διὰ τοῦ σταυροῦ καὶ τοῦ θανάτου αὐτοῦ ἐλευθερώσας τῶν ἁμαρτιῶν ἡμᾶς ἐν τῷ βαπτίσματι. *Ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης.*] Οἷον, τοῦ πατρός. Πρῶτον γὰρ ἄφεσιν ἁμαρτιῶν ποιησάμενος, μετὰ τῆς σαρκὸς αὐτοῦ ἐκάθισεν ἐν δεξιᾷ τοῦ θεοῦ. *Ἐν ὑψηλοῖς.*] Πάντων ἐπάνω, φησίν· εἰς αὐτὸν γὰρ ἔρθασε τὸν πατρῷον θρόνον· καὶ ὥσπερ ὁ πατὴρ ἐν ὑψηλοῖς, οὕτω καὶ αὐτός· ταῦτα δὲ τὸ ὁμοούσιον δηλοῖ (1). *Τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων.*] Ἐν ἀρχῇ μὲν πρὸς τοὺς προφήτας συνέκρινεν αὐτὸν, διὰ τὴν τῶν ἀκουόντων ἀσθένειαν· νῦν δὲ προϊὼν καὶ τῶν ἀγγέλων αὐτὸν ὑπερτίθησιν, ῥῆμα προσάγων τῇ ἀληθείᾳ τοὺς ἀκούοντας. Περὶ τῆς οἰκονομίας ὁ λόγος αὐτῷ· ἡ γὰρ σὰρξ αὐτοῦ ἐγένετο· ὁ γὰρ θεὸς Λόγος οὐ γέγονεν, ἀλλὰ γεγέννηται. Τοσούτῳ οὖν, φησι, κρείττων ἡ σὰρξ αὐτοῦ αὐτῶν γέγονε τῶν ἀγγέλων, ὅσον ἐστὶν ἐκ τῆς τῶν ὀνομάτων διαφορᾶς γνῶναι. Ἢ τό, *γενόμενος*, οὐκ ἐπὶ σαρκὸς ἐκλάβοις, ἵνα μὴ διαιρεῖν νομισθῇς· ἀλλ' ἐπὶ τοῦ Χριστοῦ, τοῦ ἐν

(1) « Οὗτος, ὁ τοῦ πατρὸς υἱὸς, ὁ τῷ γεγεννηκότι συνών, ὁ ἁπάντων δημιουργὸς καὶ πρύτανις, ὁ ἐν αὐτῷ δεικνὺς τὸν πατέρα, τὴν ἡμετέραν ἐνανθρωπήσας ἐπραγματεύσατο σωτηρίαν. Τὸ δὲ, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, ἀνθρωπίνως εἴρηται. Ὕψιστος γὰρ ὢν, ἐταπείνωσεν ἑαυτὸν, καὶ θεὸς ὢν, ἐνηνθρώπησεν· οὐ ταπεινὸς ὢν, ὑψώθη, οὐδὲ ἄνθρωπος ὢν, θεὸς ἐγένετο· ἀλλ' ὡς μὲν θεὸς, δεσπότης ἦν τῶν ὅλων ἀεί· ὡς δὲ ἄνθρωπος, προσέλαβε δόξαν, ἥνπερ εἶχεν ὡς θεός. Τοῦτο καὶ αὐτὸς ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ἔφη· Πάτερ, δόξασόν με τῇ δόξῃ, ᾗ εἶχον, πρὸ τοῦ τὸν κόσμον εἶναι, παρὰ σοί (Ἰωαν. 12, 5.). Καὶ ᾔτησεν, οὐ λαβεῖν ἅπερ οὐκ εἶχεν, ἀλλ' ἅπερ εἶχε δειχθῆναι. » Θεοδώρητος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μιᾷ ὑποστάσει προσκυνουμένου καὶ μετὰ τῆς σαρκὸς αὐτοῦ. Ἅπαξ γὰρ τῆς οἰκονομίας ἐπιλαβόμενος ὁ θεῖος Παῦλος, ἀδεῶς τὰ ταπεινὰ φθέγγεται (1). *Κεκληρονόμηκεν ὄνομα.*] Τὸ γὰρ, *υἱὸς*, ὄνομα ἔχων ἀπ' ἀρχῆς ὁ Λόγος, καὶ μετὰ τῆς σαρκὸς αὐτοῦ ἔσχεν. Εἰκότως οὖν τὸ, *κεκληρονόμηκε*, κεῖται, ὡς διὰ τὴν ἐνανθρώπησιν. Ἐκληρονόμησε δὲ, τὸ λέγεσθαι Χριστός. Ἐκτήσατο οὖν, ὃ καὶ πάλαι εἶχεν.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ὅτι οὐ λειτουργικὴ ἡ δόξα Χριστοῦ, ἀλλὰ θεϊκὴ καὶ ποιητική. Διὸ οὐκ ἐπὶ τοῦ παρόντος αἰῶνος, ἐν ᾧ οἱ λειτουργοί, ἀλλ' ἐπὶ τῆς μελλούσης οἰκουμένης

5 Τίνι γὰρ εἶπέ ποτε τῶν ἀγγέλων· «Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε (α);» καὶ πάλιν· «Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσταί μοι
6 εἰς υἱόν (β);» Ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· «Καὶ προσκυνη-
7 σάτωσαν αὐτῷ πάντες ἄγγελοι θεοῦ (γ).» Καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει· «Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα (δ)·»

Τίνι γὰρ εἶπέ ποτε τῶν ἀγγέλων· Υἱός μου εἶ σύ;] Ἠκού-

(1) « Καὶ τοῦτο κατὰ τὸ ἀνθρώπειον εἴρηκεν· ὡς γὰρ θεὸς, πάντες ἄγγελοι, καὶ δεσπότης ἀγγέλων· ὡς δὲ ἄνθρωπος, μετὰ τὴν ἀνάστασιν καὶ τὴν εἰς οὐρανοὺς ἀνάβασιν κρείττων ἀγγέλων ἐγένετο· ἐπειδὴ καὶ ἐλάττων ἦν ἀγγέλων διὰ τὸ πάθημα τοῦ θανάτου· τὸν γὰρ βραχύ τι παρ' ἀγγέλους ἐλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου. Ὥσπερ τοίνυν ἐλάττων ἦν ἀγγέλων ὡς ἄνθρωπος· ἐπειδὴ ἐκεῖνοι μὲν ἀθάνατον ἔχουσι φύσιν, αὐτὸς δὲ τὸ πάθος ὑπέμεινεν· οὕτω μετὰ τὴν εἰς οὐρανοὺς ἀνάβασιν κρείττων ἀγγέλων ἐγένετο· ἐκάθισε γὰρ ἐπάνω πάσης ἀρχῆς, καὶ ἐξουσίας, καὶ δυνάμεως, καὶ κυριότητος, καὶ παντὸς ὀνόματος ὀνομαζομένου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι (Ἐφεσ. Α', 21.).» Θεοδώρητος.

(α) Ψαλμ. Β'. 7. (β) Β' Βασιλ. Ζ', 14. (γ) Δευτ. ΛΒ', 43. Ψαλμ. ϞΖ', 7. (δ) Ψαλμ. ΡΓ', 4.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σαμεν καὶ οἱ ἄνθρωποι υἱοὶ θεοῦ, ἀλλὰ κατὰ χάριν· οἱ δὲ ἄγγελοι τοῦτο οὐκ ἤκουσαν, ἵνα μὴ τὸ μεγαλεῖον αὐτῶν μὴ ἐπιδέξηται τὸ κατὰ χάριν, ἀλλὰ κατὰ φύσιν νομισθῇ· ὁ δὲ Χριστὸς οὐ κατὰ χάριν, ἀλλὰ κατὰ φύσιν (1). *Ἐγὼ σήμερον γεγέννηκά σε.*] Οἰκειοῦται ὁ πατὴρ τὴν κατὰ σάρκα γέννησιν τοῦ υἱοῦ. Διὰ τοῦτο εἶπε τὸ, *σήμερον*. Οὕτως ὁ ἐν ἁγίοις Ἀθανάσιος (2). *Ἔσομαι αὐτῷ εἰς πατέρα.*] Καὶ τοῦτο πάλιν δέξαι, ὡς οἰκειουμένου τοῦ πατρὸς τὴν κατὰ σάρκα γέννησιν τοῦ υἱοῦ· τὸ γάρ, *ἔσομαι*, σαφῶς ἐπὶ τοῦ κατὰ σάρκα εἴρηται (3). *Ὅταν δὲ πάλιν εἰσαγάγῃ.*] Πάντα δέξαι μετὰ τὴν ἐνανθρώπησιν. Τὸ γάρ, *εἰσαγάγῃ*, ἀντὶ τοῦ, ἐγχειρίσῃ, κεῖται. Οἷον, ὅταν ἐγχειρίσῃ τῷ υἱῷ τὴν οἰκουμένην ὁ πατήρ. Τότε γὰρ ἐκτήσατο αὐτὴν, ἑκουσίως αὐτῷ ὑποταγεῖσαν, ὅτε ὑπὲρ παντὸς ἐγεύσατο θανάτου, καὶ ὅτε ἐπιστεύθη θεὸς ὤν. Εἰσάγεται δὲ οὐκ ἄλλως, ἀλλ' ἐν σαρκί· ὡς γὰρ θεὸς Λόγος, ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο. Εὐπαράδεκτον δὲ ποιῶν τὸν λόγον, τὸν πατέρα εἶπεν εἰσαγαγόντα τὸν υἱόν. Τὸ δὲ, *εἰσαγαγεῖν*, νόει, οὐκ ἐπειδὴ πάλαι ἔξω ἦν τῆς κτίσεως τοπικῶς· (πῶς γὰρ ὁ πάντα πληρῶν;) ἀλλ' ὅτι μὲν τῆς σαρκώσεως, οὐδὲν εἶχε πρὸς τὴν κτίσιν κοινὸν, ἅτε θεὸς ὢν ἄσαρκος. Ὅτε δὲ ἐσαρκώθη, τότε, κοινωνήσας τῇ κτίσει,

(1) « Πόθεν, φησὶ, δῆλον, ὅτι κρειττων ἐστὶ τῶν ἀγγέλων; Ἀπὸ τοῦ ὀνόματος· τὸ γὰρ υἱὸς ὄνομα τὴν γνησιότητα δηλοῖ· τουτέστι, τὸ ἐξ αὐτοῦ εἶναι. Εἰ δὲ χάριτί ἐστιν υἱὸς, οὐ μόνον οὐ διαφορώτερος, ἀλλὰ καὶ ἐλάττων ἐστὶ τῶν ἀγγέλων. » Θεοφύλακτος. (2) « Τὸ, Ἐγὼ σήμερον γεγέννηκά σε, οὐδὲν ἕτερον δηλοῖ, ἢ ὅτι ἀπ' ἀρχῆς, ἐξ οὗ ἐστιν ὁ πατὴρ. Ὥσπερ γὰρ ἂν λέγεται ἀπὸ τοῦ ἐνεστῶτος χρόνου· οὕτως γὰρ μάλιστα ἁρμόζει αὐτῷ· οὕτω καὶ τὸ, σήμερον. Τινὲς δὲ τὸ, Σήμερον γεγέννηκά σε, οὐ περὶ τῆς προαιωνίου, ἀλλὰ περὶ τῆς κατὰ σάρκα γεννήσεως τοῦτο εἰρῆσθαι ἐξεδέξαντο· καὶ γὰρ καὶ αὕτη ἄνωθεν ἦν· ἐκ Πνεύματος γὰρ ἁγίου, εὐδοκίᾳ τοῦ πατρός.« Θεοφύλακτος.

(3) « Τοῦτο διὰ τὴν σάρκα προσῆλως εἴρηται· ὅταν γὰρ αὐτῆς ἐπιλάβηται [ὁ Παῦλος], λοιπὸν ἀδεῶς ἅπαντα φθέγγεται. Ἡ τοίνυν προσληφθεῖσα φύσις τὸ, υἱὸς, ὄνομα τὸ γνήσιον, ὃ ὁ ἑνωθεὶς αὐτῇ Λόγος εἶχεν, ἐκληρονόμησεν, ἅτε ἐν ἐκείνῳ ὑποστᾶσα· καθὸ καὶ ὁ ἄγγελος εἶπε· Καὶ τὸ γεννώμενον ἅγιον, κληθήσεται υἱὸς θεοῦ· καὶ πάλιν· Ἔσται δὲ μέγας, καὶ υἱὸς ὑψίστου κληθήσεται· (Λουκ. Α', 32. 35.)· τοῦτο δὲ οὐδεὶς τῶν ἀγγέλων ἔλαβεν. Εἰδὲ καί τινες τῶν δικαίων υἱοὶ θεοῦ, ἀλλὰ χάριτι· ἐπὶ δὲ τοῦ Χριστοῦ οὐχ οὕτως, ἀλλ' ὑποστατικῇ ταυτότητι ἡ υἱότης τῷ προσλήμματι. » Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καθὸ τὸ κτιστὸν ἥνωσεν ἑαυτῷ, εἰσαχθῆναι λέγεται εἰς τὴν κτίσιν. Οὕτως ὁ ἐν ἁγίοις Κύριλλος, ἐν τῷ, Ὅτι θεὸς ὁ Χριστὸς, πονήματι, καὶ ὁ ἐν ἁγίοις Γρηγόριος ὁ Νύσσης ἐν τοῖς κατὰ Εὐνομίου. Τὸ δὲ, *πρωτότοκον*, οὐκ ἐπὶ δευτέρου λέγει, ἀλλ' ἐπὶ ἑνὸς καὶ μόνου, τοῦ γεννηθέντος ἐκ τοῦ πατρός. — ΑΛΛΩΣ. *Ὅταν γὰρ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον*· τουτέστιν, Ὅταν ηὐδόκησεν ὁ πατὴρ, μετὰ τῆς σαρκὸς ἐμφανισθῆναι τὸν πρωτότοκον αὐτοῦ υἱὸν τοῖς κατοικοῦσι τὴν οἰκουμένην. Φησὶ γάρ· Καὶ προσελθόντες οἱ ἄγγελοι διηκόνουν αὐτῷ (α)· καὶ· Ἀπ' ἄρτι ὄψεσθε τοὺς ἀγγέλους καταβαίνοντας ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου (β).=*Καὶ προσκυνησάτωσαν αὐτῷ.*] Τῷ μετὰ σαρκὸς δηλαδή. Δείκνυσι δὲ κἀνταῦθα, ὅτι τοσούτῳ κρείττων αὐτῶν, ὅσῳ δεσπότης δούλων· ὡς ἂν εἴτις εἰς οἰκίαν εἰσαγαγών τινα, τοὺς προεστῶτας αὐτῆς εὐθέως κελεύῃ προσκυνεῖν αὐτῷ. *Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα.*] Ἰδοὺ ἡ μεγίστη διαφορά· ὅτι οἱ μὲν, κτισοί· ὁ δὲ, ἄκτιστος· τὸ γὰρ, *ποιῶν*, τὴν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγωγὴν δηλοῖ. Οὐ πρὸς ἀγγέλους δὲ μόνους τὸ ἐξαίρετον ἔχει, ἀλλὰ καὶ πρὸς πᾶσαν τὴν λειτουργικὴν δύναμιν. Οὐκ εἶπε δὲ, Ποιήσας, ἀλλὰ, *Ποιῶν*, τουτέστι, συντηρῶν τῷ λόγῳ, καθ' ὃν ἐγένοντο.

8 Πρὸς δὲ τὸν υἱόν· «Ὁ θρόνος σου, ὁ θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς
9 βασιλείας σου. Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε, ὁ θεὸς, ὁ θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους
10 σου (γ).» Καί· «Σὺ κατ' ἀρχὰς, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐ-
11 ρανοί. Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάν-

λαιον ἐλίξεις αὐτοὺς, καὶ ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι (α).»

Ὁ *θρόνος σου, ὁ θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.*] Ἐπειδὴ μὴ κτίσμα, ἀλλὰ γέννημα γνήσιον ὁ υἱὸς, οὐκέτι, ὃ ποιῶν, καὶ περὶ αὐτοῦ εἴρηται, ὅπερ ἐπὶ τῶν ἀγγέλων· ἀλλὰ τί; *Ὁ θρόνος σου, ὁ θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.* Θρόνος οὖν αὐτῷ προσμαρτυρεῖται, ὃ βασιλείας γνώρισμα, καὶ θρόνος αἰώνιος. *Ῥάβδος εὐθύτητος.*] Ἰδοὺ, καὶ ἕτερον βασιλείας σύμβολον, ἡ βατιλικὴ ῥάβδος, καὶ τὸ σκῆπτρον. *Ἠγάπησας δικαιοσύνην.*] Ἁρμόδια ταῦτα τὰ ταπεινὰ μετὰ τὴν ἐνανθρώπησιν, ἅτε τῆς σαρκὸς ὑποδέχεσθαι τὰ εὐτελῆ δυναμένης. *Διὰ τοῦτο ἔχρισέ σε, ὁ θεὸς, ὁ θεός σου.*] Καὶ τοῦτο κατὰ τὸ ἀνθρώπειον εἴρηται· χρίεται γὰρ τῷ ἁγίῳ Πνεύματι οὐχ ἡ θεότης, ἀλλ' ἡ ἀνθρωπότης. Φησὶν οὖν· *Διὰ τοῦτο, ὁ θεὸς,* τουτέστιν, ὦ θεὲ, *ἔχρισέ σε ὁ θεός σου·* τουτέστιν, ὁ πατὴρ μέν σου κατὰ τὴν θεότητα, θεὸς δὲ κατὰ τὴν σάρκα· *χρίσις* δέ ἐστιν, οἷον ὅλη τοῦ χρίοντος παρουσία. Οὕτως ὁ ἐν ἁγίοις Κύριλλος. Ὅτι δὲ τὸ, *Ὁ θεὸς,* ἀντὶ τοῦ, Ὦ θεέ, ἐστι, μάρτυς τούτου ἀξιόπιστος ὁ ἐχθρὸς Σύμμαχος, ἑκδοὺς οὕτω· Διὰ τοῦτο ἔχρισέ σε, θεὲ, ὁ θεός σου, ἔλαιον χαρᾶς παρὰ τοὺς ἑταίρους σου. *Ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.*] *Ἔλαιον* μὲν *ἀγαλλιάσεως,* τὸ Πνεῦμα τὸ ἅγιον· *μέτοχοι* δὲ Χριστοῦ, οἱ ἄνθρωποι. Ὁ δὲ λέγει τοιοῦτον ἐστίν· Οὐχ ὥσπερ οἱ ψιλοὶ ἄνθρωποι, οὕτως ἐχρίσθη ὁ Χριστὸς τῷ ἁγίῳ Πνεύματι ἐκ μέτρου, ἀλλὰ ἅπαν ἐχρίσθη τὸ Πνεῦμα (1). *Καὶ· Σὺ κατ' ἀρχὰς, Κύριε.*] Ἵνα μὴ, ἀκούσας ἀνωτέρω, *Ὅταν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην,* νομίσῃς, ὡς δώρημα εἶναι τὴν οἰκουμένην, ὕστερον δαθεῖσάν παρὰ τοῦ πατρὸς τῷ υἱῷ,

(α) Ψαλμ. Ρ'Δ, 26-- 28. (1) «Ἔλαιον ἀγαλλιάσεως, τουτέστι, τὸ ἅγιον Πνεῦμα, παρὰ τοὺς ἄλλους ἀνθρώπους· οὐ γὰρ ἐκ μέτρου ἔλαβεν ὁ Χριστὸς τὸ πνεῦμα (Ἰωαν. Γ', 34), οὐδὲ ὡς ἐνεργούμενος, ἀλλ' ἐχρίσθη παρουσίᾳ καὶ ὅλου τοῦ χρίσματος καὶ ὅλου τοῦ χρίοντος. Μέτοχοι δὲ αὐτοῦ οἱ πνευματικοὶ πάντες, ὡς τῇ αὐτῇ μεθέξει ἁγιασθέντες.» Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτὸν δείκνυσι νῦν δημιουργὸν αὐτῆς, οὐκ ἐπ' ἐσχάτων, ἀλλ' ἄνωθεν. Ἀλλὰ ταῦτα μὲν πρὸ τῆς ἐνανθρωπήσεως, ἐκεῖνα δὲ μετὰ τὴν ἐνανθρώπησιν νόει. *Αὐτοὶ ἀπολοῦνται.*] Μεῖζόν τι τῆς δημιουργίας ἠνίξατο, τὴν μετασχηματίσιν τοῦ κόσμου. Μετασχηματισθήσονται γὰρ πάντα τὰ ὁρώμενα, καὶ εἰς ἀφθαρσίαν ἥξουσι. Τὸ οὖν, *ἀπολοῦνται*, ἐκ τῆς νῦν ὄψεως φησί. *Καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς.*] Τὴν εὐκολίαν τῆς ἐναλλαγῆς αὐτῶν ἐσήμανεν. Ἀλλαγήσονται γὰρ πάντα ἀπὸ τῆς φθορᾶς εἰς ἀφθαρσίαν· καὶ οὕτως εὐκόλως, ὡς ἂν εἴτις περιβόλαιον ἑλίξῃ. Εἰ δὲ τὴν ἐπὶ τὸ βέλτιον μετασχημάτισιν καὶ δημιουργίαν οὕτως εὐκόλως ἐργάζεται, ἐπὶ τῆς ἐλάττονος δημιουργίας ἑτέρου ἐδεῖτο; *Σὺ δὲ ὁ αὐτὸς εἶ.*] Πάντα μέν, φησιν, ἐναλλάξεις καὶ νεουργήσεις, καὶ ἄφθαρτα ποιήσεις ἀντὶ φθαρτῶν· σὺ δὲ ἀπείρως ζήσεις, καὶ διαμενεῖς διαπαντός. Παραμυθία δὲ οὐ μικρὰ τοῖς ἐνταῦθα κακουμένοις πιστοῖς τὸ γνῶναι, ὅτι οὐκ ἔσται οὕτω πάντοτε τὰ πράγματα, ἀλλὰ μεταβολὴν λήψεται· καὶ ὅτι ὁ ὑπ' αὐτῶν θεραπευόμενος μένει εἰς τὸν αἰῶνα, καὶ διὰ παντὸς ζῇ.

13 Πρὸς τίνα δὲ τῶν ἀγγέλων εἴρηκέ ποτε· « Κάθου ἐκ
δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπό-
14 διον τῶν ποδῶν σου (α); » Οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν;

Κάθου ἐκ δεξιῶν μου.] Ἀνήνεγκε τοίνυν τὴν ἀπαρχὴν τῆς φύσεως τῆς ἡμετέρας τῷ πατρί· καὶ τοῦτο ἐθαύμασε τὸ δῶρον ὁ πατήρ, καὶ διὰ τὴν ἀξίαν τοῦ προσενέγκαντος, καὶ διὰ τὸ ἄμωμον τοῦ προσενεχθέντος, ὡς οἰκείαις αὐτὸ δέξασθαι χερσὶ, καὶ θεῖναι πλησίον τὸ δῶρον, καὶ εἰπεῖν· *Κάθου ἐκ δεξιῶν μου.* Τὸ δὲ, *Κάθου*, εἶπεν, οὐ δεῖξαι θέλων, ὅτι ἄλλως οὐκ ἂν ἐτόλμησεν ὁ υἱὸς καθίσαι, εἰ μὴ ἐκελεύσθη, μὴ γένοιτο! ἀλλ' ἵνα μὴ

(α) Ψαλμ. ΡΘ', 1.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέρο

νομίσῃς αὐτὸν ἄναρχον καὶ ἀναίτιον. Ὅτι γὰρ τοῦτό ἐστι, δηλοῖ καὶ ὁ τόπος τῆς καθέδρας, τὸ ὁμότιμον σημαίνων· δηλοῖ δὲ καὶ τὸ εἰπεῖν ἀνωτέρω, *ἐκάθισε*, μὴ πρότερον ἀκούσας, *κάθου*. Ἢ ὅτι τὴν συγκατάθεσιν καὶ τὴν βούλησιν τὴν ἐπὶ τῷ καθίσαι τοῦ πατρὸς οὐκ ἄλλως σημαῖναι δυνάμενος ὁ προφήτης, τῷ, *κάθου*, ἐχρήσατο ῥήματι. Μέγα μὲν οὖν καὶ τοῦτο, καὶ οὐ μόνον ὑπὲρ τὴν ἀνθρωπείαν φύσιν, ἀλλὰ καὶ ὑπὲρ ἅπασαν τὴν κτίσιν· πλὴν ἀνθρωπίνως καὶ τοῦτο εἴρηται αὐτῷ· ὡς γὰρ θεὸς ὁ υἱὸς, αἰώνιον ἔχει τὸν θρόνον. *Ὁ θρόνος σου, ὁ θεός*, φησιν, *εἰς τὸν αἰῶνα τοῦ αἰῶνος*. Οὐ γὰρ μετὰ τὸν σταυρὸν καὶ τὸ πάθος, ταύτης ὡς θεὸς τῆς τιμῆς ἠξιώθη, ἀλλ' ἔλαβεν ὡς ἄνθρωπος, ὅπερ εἶχεν ὡς θεός. Οὐ γὰρ ταπεινὸς ὢν ὑψώθη, ἀλλ' ὕψιστος ὢν, καὶ ἐν μορφῇ θεοῦ ὑπάρχων, ἐταπείνωσεν ἑαυτὸν, μορφὴν δούλου λαβών (α). Διὸ καὶ ὁ εὐαγγελιστὴς βοᾷ· Ὁ μονογενὴς υἱὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς, ἐκεῖνος ἐξηγήσατο (β)· καὶ ὁ Κύριός φησιν· Ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί (γ)· καὶ ἀλλαχοῦ· Δόξασόν με, πάτερ, τῇ δόξῃ, ᾗ εἶχον παρὰ σοὶ πρὸ τοῦ τὸν κόσμον γενέσθαι (δ). Ὡς ἄνθρωπος τοίνυν ἀκούει, *Κάθου ἐκ δεξιῶν μου*· ὡς γὰρ θεὸς, αἰώνιον ἔχει τὸ κράτος. *Ἕως ἂν θῶ τοὺς ἐχθρούς σου.*] Ὅρα γνησιότητος τοῦ υἱοῦ ἀπόδειξιν! Ὀργίζεται ὁ πατὴρ κατὰ τῶν ἐχθρῶν τοῦ υἱοῦ, οὐχ ὡς τοῦ υἱοῦ ἀδυνατοῦντος μόνου θεῖναι αὐτοὺς ὑπὸ τοὺς πόδας αὐτοῦ, τοῦτο εἴρηκεν, ἀλλ' ἵνα τὴν ταυτότητα τῆς γνώμης δηλώσῃ. Τὸ δὲ, ἕως, οὐκ ἔστι χρόνου δηλωτικὸν, ὡς μετὰ τὸ θεῖναι ὑποπόδιον αὐτοῦ τοὺς ἐχθροὺς, πάλιν ἀνίστασθαι μέλλοντα, ἄπαγε! ἀλλὰ δεῖξαι βούλεται, ὅτι οὐκ ἀσθενήσει τὸ θεῖναι πάντας τοὺς ἐχθροὺς ὑποπόδιον. Τὸ γὰρ, ἕως, οὐ πάντως ἀντιδιαιρεῖται τῷ μέλλοντι· ἀλλὰ τὸ μέχρι τοῦδε μὲν τίθησι· τὸ ὑπὲρ τοῦτο δὲ οὐκ ἀναίνεται. Οὕτως ὁ ἐν

(α) Φιλιπ. Β', 6. 7. (β) Ἰωαν. Α', 18.
(γ) Ἰωάν. ΙΔ', 10. (δ) Ἰωαν. ΙΖ', 5.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἁγίοις Γρηγόριος εἰς τὸν δεύτερον Περὶ υἱοῦ λόγον φησίν (1). *Οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα;*] Παραθαρρύνει τοὺς ἀκροατὰς, λέγων, ὅτι ὁ μὲν Χριστὸς, υἱὸς τοῦ θεοῦ γνήσιός ἐστιν· οἱ δὲ ἄγγελοι, ὁμόδουλοι ἡμῖν, ταύτην τεταγμένοι τὴν λειτουργίαν, τὰ πάντα πράττειν καὶ διακονεῖν, ὅπως ἡμεῖς οἱ ἄνθρωποι σωθῶμεν. Πολλαχοῦ γὰρ ἄγγελοι διάκονοι γεγόνασιν εἰς ἀνθρώπους, πρὸς τὴν Μαρίαν, καὶ ἐν τῷ τάφῳ τοῦ Κυρίου, καὶ πρὸς τὸν Κορνήλιον (2).

ΚΕΦ. II, 1 Διὰ τοῦτο δεῖ περισσοτέρως ἡμᾶς προσέχειν τοῖς ἀκουσθεῖσι, μή ποτε παραῤῥυῶμεν.
2 Εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν
3 ἔνδικον μισθαποδοσίαν, πῶς ἡμεῖς ἐκφευξόμεθα, τηλικαύτης ἀμελήσαντες σωτηρίας; ἥτις, ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη·

Ἐπειδὴ, φησι, τοσοῦτον τὸ ὑπερέχον τοῦ λαλήσαντος ἡμῖν υἱοῦ, πρός τε τοὺς προφήτας καὶ τοὺς ἀγγέλους, τοὺς ἐν τῇ Παλαιᾷ διακονήσαντας, δεῖ ἡμᾶς τοῖς ὑπὸ τούτου λαληθεῖσι περισσοτέρως προσέχειν, ἤπερ ὡς προσείχομεν τῷ νόμῳ. *Μή ποτε παραῤῥυῶμεν.*] Τουτέστι, Μὴ ἐκπέσωμεν τοῦ καθήκοντος καὶ τῆς ἐπὶ τὴν σωτηρίαν φερούσης ὁδοῦ (3). *Ὁ δι' ἀγγέλων λαληθεὶς λόγος.*] Ἢ περὶ τοῦ νόμου φησὶν, ὅτι δι' ἀγγέλων ἐδόθη, ὡς καὶ ἐν τῇ πρὸς Γαλάτας φησί· *Διαταγεὶς δι' ἀγγέλων* (α), ἤγουν διακονηθείς· ἢ περὶ τῶν ὑπ' ἀγγέλων ἄλλοις λαληθέντων, ὡς ἐπὶ τῶν Σοδομιτῶν (β), ὡς ἐπὶ τοῦ κλαυθμῶνος ἐν τοῖς Κριταῖς, ὅτε ἦλθεν ἄγγελος Κυρίου πρὸς

(1) Ἴδ. Α' Κορ. ΙΕ', 25. (2) «Ἱκανῶς καὶ τὴν κατὰ τὸ ἀνθρώπειον διαφορὰν ἔδειξεν· ὁ μὲν γάρ, φησιν, ἐκ δεξιῶν κάθηται· οὗτοι δὲ ὡς διάκονοι πέμπονται, τῆς τῶν ἀνθρώπων ἕνεκα σωτηρίας.» Θεοφύλακτος.

(3) «Μὴ ἐκπέσωμεν, μὴ ἀπολώμεθα. Δείκνυσι δὲ διὰ τούτου ὁ θεῖος Παῦλος καὶ τὸ εὔκολον τοῦ ἁλίσθου, καὶ τὸ χαλεπὸν τῆς ἀπωλείας· τὸ γὰρ παραῤῥυὲν, δύσκολον ἐπανελθεῖν.» Θεοφύλακτος.

(α) Γαλ. Γ', 19. (β) Γενεσ. ΙΗ'. ΙΘ',

Δημοσια Κεντρικη Βιβλιοθηκη Βεροιας

τοὺς Ἰσραηλίτας καὶ ἤλεγξεν αὐτῶν τὴν παρανομίαν. Δέον γάρ, φησι, πάντας ἀφανίσαι, ὑμεῖς δὲ καὶ συνθήκας ἔθεσθε πρὸς αὐτούς. Διὰ τοῦτο οὐκ ἐξολοθρεύσει ὁ θεὸς τὰ ὑπολειπόμενα ἔθνη. Ταῦτα ἀκούσαντες, ἔκλαυσαν ὁμοθυμαδόν· ὅθεν καὶ *Κλαυθμὼν* ὁ τόπος ἐκλήθη (α). Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· Εἰ γὰρ τὰ ὑπ' ἀγγέλων λαληθέντα ἐξέβη, καὶ πέρας ἔσχε, πόσῳ μᾶλλον τὰ παρὰ τοῦ υἱοῦ τοῦ θεοῦ λαληθέντα ἐκβήσεται; *Ἔνδικον μισθαποδοσίαν.*] Οὐχ ἡ μέν, ἡ δὲ οὔ· ἀλλὰ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβε δικαίαν *μισθαποδοσίαν*, τουτέστιν, ἀνταπόδοσιν, καὶ οὐθὲν ἀνεκδίκητον ἔμεινε. Τὴν κόλασιν δὲ μισθὸν καλεῖ, καίτοιγε ἐπὶ εὐφήμων τιθεμένου τοῦ ὀνόματος *μισθαποδοσία*· ἀλλ' οὐ φροντίζει λέξεων ὁ ἀπόστολος. *Πῶς ἡμεῖς ἐκφευξόμεθα;*] Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Εἰ τὰ παρὰ ἀγγέλων λαληθέντα ἐν τῇ Παλαιᾷ ἐξέβη, καὶ οἱ ἁμαρτήσαντες πάντες ἀπέλαβον, ποίαν ἔξομεν συγγνώμην ἡμεῖς, ἐκείνους ἀπολαβόντας ὁρῶντες, καὶ ἀμελοῦντες; *Τηλικαύτης ἀμελήσαντες σωτηρίας.*] Οὐ τὰ ἀγαθὰ τῆς γῆς ἐπαγγελομένης, καθὼς ἡ παλαιά, ἀλλὰ βασιλείαν οὐρανῶν καὶ υἱοθεσίαν. *Σωτηρίας* δέ, φησι, τῆς ἀπὸ τοῦ Χριστοῦ δειχθείσης καὶ φανερωθείσης, τουτέστι, τῆς εἰς αὐτὸν πίστεως. Ταύτην δὲ εἶπε *σωτηρίαν*, δεικνὺς τὰ ἐν τῇ Παλαιᾷ μὴ οὕτως ὄντα σωτήρια. *Ἥτις, ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου.*] Εἶτα δείκνυσι τὸ ἀξιόπιστον αὐτῆς. Οὐ γάρ τις ἕτερός, φησι, διηκόνησεν αὐτῇ, καθάπερ Μωσῆς τῇ Παλαιᾷ, ἀλλ' αὐτὸς ὁ Χριστός. *Ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη.*] Ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐνεχθεῖσα, ἐβεβαιώθη καὶ ἐπιστεύθη. Τίνες δὲ οἱ ἀκούσαντες; Οἱ θεσπέσιοι δηλονότι μαθηταί, οἱ αὐτόπται ὑπηρέται γενόμενοι τοῦ λόγου, ὅ καὶ ὁ Λουκᾶς φησιν (β)· αὐτοὶ γὰρ βεβαίως ἡμᾶς ἐπληροφόρησαν. Ἵνα δὲ μὴ

(α) Κριτ. Β', 1—5. (β) Λουκ. Α', 2.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σκανδαλίσῃ, οὐ λέγει καὶ ἑαυτὸν ἀκηκοέναι παρὰ Χριστοῦ, καίτοι ἤκουσεν.

4 Συνεπιμαρτυροῦντος τοῦ θεοῦ σημείοις τε καὶ τέρασι, καὶ ποικίλαις δυνάμεσι, καὶ Πνεύματος ἁγίου
5 μερισμοῖς, κατὰ τὴν αὐτοῦ θέλησιν· οὐ γὰρ ἀγγέλοις ὑπέταξε τὴν οἰκουμένην, τὴν μέλλουσαν, περὶ
6 ἧς λαλοῦμεν. Διεμαρτύρατο δέ που τίς, λέγων· « Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ· ἢ υἱὸς
7 ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους· δόξῃ καὶ τιμῇ ἐστε-
8 φάνωσας αὐτόν· πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ (α).» Ἐν γὰρ τῷ ὑποτάξαι αὐτῷ τὰ πάντα, οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον· νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα.

Συνεπιμαρτυροῦντος τοῦ θεοῦ σημείοις τε καὶ τέρασιν.] Εἶτα, ἵνα μὴ νομισθῶσι ψευδόμενοι οἱ ἀκούσαντες παρὰ Χριστοῦ καὶ βεβαιώσαντες, καὶ ἄλλα ἀντ' ἄλλων λέγοντες· Οὔ, φησίν· καὶ γὰρ καὶ αὐτὸς ὁ θεὸς ἐπιμαρτυρεῖ αὐτοῖς ἀληθειαν διὰ σημείων καὶ τεράτων καὶ ποικίλων δυνάμεων, ὧν ἐνεργεῖ δι' αὐτῶν. *Καὶ ποικίλαις δυνάμεσι.*] Τὴν ἀφθονίαν τῶν χαρισμάτων δηλῶν, εἶπε τὸ, *ποικίλαις*· οὐδέ ποτε γὰρ τοσαῦτα σημεῖα, καὶ οὕτω διάφορα γεγένηνται. Ἐπειδὴ δὲ καὶ οἱ γόητες ποιοῦσι πολλά, εἶπε τὸ, *δυνάμεσιν*· ἐκεῖνα γὰρ, οὐ δυνάμεις, ἀλλ' ἀσθένεια καὶ φαντασία, καὶ διάκενα πράγματα. *Καὶ Πνεύματος ἁγίου μερισμοῖς.*] Καὶ διὰ χαρισμάτων καὶ ἐπιφοιτήσεως Πνεύματος ἁγίου τὰ τῆς τοῦ θεοῦ μαρτυρίας γίνεται. *Μερισμοῖς* δέ φησι, διὰ τὸ οἷον καταμερίζεσθαι τὴν πνευματικὴν χάριν κατά τε τὸ μέτρον ἑκάστου, καὶ τὴν τῆς πίστεως ἀναλογίαν, καὶ ὅπως αὐτῷ συμφέρει. *Κατὰ τὴν αὐτοῦ θέλησιν.*] Τοῦ παρακλήτου δηλονότι, διαιροῦντος ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται (β). *Οὐ γὰρ ἀγγέλοις ὑπέταξε τὴν οἰκουμένην.*] Τοῦτο

(α) Ψαλ. Η', 5. (β) Α' Κορ. ΙΒ' 11.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀκόλουθόν ἐστι τῇ ἄνω τῶν ἀγγέλων συγκρίσει. Ἔδει γὰρ τῷ μεγίστῳ κτίσματι, τουτέστι, τοῖς ἀγγέλοις, τὸν κατὰ σάρκα Χριστὸν συγκρίνοντα, μείζονα, ἅτε δεσπότην, δεικνύειν. Οὐ τοῖς ἀγγέλοις, φησίν, ὑπέταξε τὴν οἰκουμένην, ἤτοι, τὴν κτίσιν ταύτην, ἀλλὰ τῷ υἱῷ. *Μέλλουσαν* δὲ αὐτήν φησι· διότι ὁ μὲν υἱὸς τοῦ θεοῦ ἦν ἀεί· αὕτη δὲ ἔμελλε γενέσθαι, μὴ οὖσα πρότερον δηλαδή. Ὅσον οὖν πρὸς τὴν ἀΐδιον ὕπαρξιν τοῦ υἱοῦ, μέλλουσα ἦν ἡ οἰκουμένη. *Περὶ ἧς λαλοῦμεν.*] Τουτέστι, περὶ ἧς ἀνωτέρω εἴπομεν ὅτι, *Ὅταν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην.* Μὴ οὖν ἄλλην οἰκουμένην ἐπιζητείτω σου ὁ νοῦς ἀποπλανώμενος. Τινὲς δὲ *μέλλουσαν οἰκουμένην*, τὸν ἐσόμενον κόσμον ἐνόησαν, περὶ οὗ, φησιν, ὁ ἅπας λόγος ἡμῖν. Τότε γὰρ αὐτὸς μὲν ὁ Χριστὸς κριτὴς ἐκείνης καθεδεῖται τῆς οἰκουμένης· οἱ δὲ ἄγγελοι, ὡς λειτουργοὶ καὶ δοῦλοι παραστήσονται. *Διεμαρτύρατο δέ που τις λέγων.*] Ὡς πρὸς εἰδότας τὰς Γραφὰς διαλεγόμενος, οὐ τίθησι τοῦ λέγοντος τὸ ὄνομα. *Τί ἐστιν ἄνθρωπος;*] Τίνος χάριν προάγει νῦν τὸ, *Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ*] αὐτοῦ; Ἐπειδὴ ἀντιπίπτειν αὐτῷ ἐδόκει πρὸς τὴν πρόθεσιν· Ὁ μὲν γὰρ Παῦλος μείζονα δεικνύει τὸν Χριστὸν τῶν ἀγγέλων· τὸ δὲ, βραχύ τι ἠλαττῶσθαι αὐτὸν παρ' αὐτούς. Διὸ τίθησιν αὐτό, ἵνα τὴν δοκοῦσαν ἀντίθεσιν λύσῃ· καὶ λύων, φησὶν εἰρῆσθαι αὐτὸν ἠλαττωμένον, διὰ τὸ πάθημα τοῦ θανάτου· εἴδαμεν γὰρ αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος (α). Συγχωρεῖ δὲ τέως καὶ τὸ ῥητὸν εἰρῆσθαι ἐπὶ τοῦ δεσπότου, ἐπειδὴ ἐχρησίμευεν αὐτῷ καὶ εἰς τὸ ἐκείνους παραμυθήσασθαι, τὸ, *Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ. Ὅτι μιμνήσκῃ οὐτοῦ.*] Οὐ γὰρ μόνον εἰς τὸ εἶναι αὐτὸν παρήγαγες, καὶ τὸ εὖ εἶναι αὐτῷ δεδώρησαι, ἀλλὰ καὶ μεμνημένος αὐτοῦ διατελεῖς, καὶ κακῶς διακείμενον ἐπισκέπτῃ. *Ἠλάττωσας αὐτόν.*] Ἐνταῦθα τῆς μετὰ τὴν παράβασιν ἐμνη-

(α) Ἡσ. ΝΓ', 2.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μόνευσεν ἀποφάνσεως· τῷ θνητῷ γὰρ, τῶν ἀγγέλων ἠλάττωται ὁ ἄνθρωπος. Ταῦτα δὲ πάντα ἁρμόζει μὲν καὶ εἰς τὴν κοινὴν ἀνθρωπότητα, κυριώτερον δὲ ὅμως ἁρμόσειεν ἂν εἰς τὸν Χριστὸν κατὰ σάρκα. Καὶ γὰρ ὁ υἱὸς τοῦ θεοῦ οὐδὲν οὖσαν τὴν ἀνθρωπίνην φύσιν ἐπεσκέψατο, καὶ προσλαβόμενος αὐτὴν, καὶ ἑνώσας ἑαυτῷ, πάντων ἀνώτερος ἐδείχθη. *Νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα.*] Ἐπειδὴ εἶπεν, *Οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον*, οὗτοι δὲ κακῶς ἔπασχον, καὶ ἡρπάζοντο παρὰ τῶν Ἰουδαίων, τῶν ἐμμεινάντων τῇ ἀπιστίᾳ, ἵνα μὴ ἀμφιβάλωσι πρὸς τὰ εἰρημένα, λέγοντες· Πῶς λέγεις, ὅτι πάντα ὑπέταξε τῷ υἱῷ ὁ πατὴρ, ὅπουγε ἡμεῖς διωκόμεθα καὶ διελαυνόμεθα παρὰ τῶν ἐχθρῶν αὐτοῦ; Ὥστε οὔπω ὑπετάγησαν αὐτῷ, καὶ ἀπατᾷς ἡμᾶς· φησί· Μὴ θορυβεῖσθε, μηδὲ μικροψυχεῖτε· μέλλει γὰρ ὑποτάσσεσθαι αὐτῷ τὰ πάντα. Διὰ τοῦτο γὰρ ἡ Γραφὴ εἶπεν, ὅτι *ὑπέταξε*, τὸ πάντως ἐκβησόμενον, εἰ καὶ μήπω ἐγένετο, ὡς ἐκβεβηκὸς τιθεῖσα. Μὴ τοίνυν ἀθημονεῖτε, ὡς πάσχοντες κακῶς· οὔπω γὰρ πάντα αὐτῷ ὑποτέτακται, οὔπω τὸ κήρυγμα κατέσπαρται, οὔπω ἐκράτησεν ὁ βασιλεὺς καθαρῶς· ὑποταγήσονται μέντοι πάντως.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ὅτι ἐσαρκώθη κατὰ διάθεσιν καὶ συμπάθειαν καὶ οἰκειότητα τὴν πρὸς ἡμᾶς ἐπὶ σωτηρίᾳ ἀνθρώπων τῇ ἐκ θανάτου, διὰ τῆς πρὸς αὐτὸν οἰκειώσεως.

9 Τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν, διὰ τὸ πάθημα τοῦ θανάτου, δόξῃ καὶ τιμῇ ἐστεφανωμένον· ὅπως χάριτι θεοῦ ὑπὲρ
10 παντὸς γεύσηται θανάτου. Ἔπρεπε γὰρ αὐτῷ, δι'

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι.

Τὸ δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν.] Σπουδάζει δεῖξαι τὰ ῥηθέντα τῷ Χριστῷ προσαρμόζοντα, καί φησιν, ὅτι, εἰ καὶ τὸ, *πάντα ὑπέταξεν*, οὔπω δοκεῖν ἁρμόζειν αὐτῷ· καίτοι ἐδείξαμεν, ὅτι πάντως καὶ τοῦτο ἐκβήσεται· ἀλλ' οὖν τὸ, *βραχύ τι ἠλαττῶσθαι παρ' ἀγγέλους*, τούτῳ ἁρμόζει μᾶλλον ἢ ἡμῖν. Καὶ γὰρ ὁ μὲν τρεῖς ἡμέρας γεγονὼς ἐν τῷ ᾅδῃ ὡς ἄνθρωπος, *βραχύ τι ἠλάττωται* τῶν ἀγγέλων, ἅτε μηδόλως θανάτῳ ὑπαγομένων ἐκείνων· ἡμεῖς δὲ ἐπὶ πολὺ φθειρόμενοι, οὐ *βραχύ*, ἀλλὰ πάμπολυ αὐτῶν ἠλαττώμεθα. Καὶ τὸ, *Δόξῃ καὶ τιμῇ ἐστεφανῶσθαι* διὰ τὸ πάθος, ἐκείνῳ μᾶλλον ἁρμόζει, ἢ ἡμῖν. *Διὰ τὸ πάθημα τοῦ θανάτου.*] *Πάθημα τοῦ θανάτου* εἰπὼν, τὸν ἀληθῆ ἐνέφηνε θάνατον. Οὐ φὰρ φαντασία θανάτου, ἀλλὰ πάθημα ἦν ἐνεργόν. *Δόξῃ καὶ τιμῇ ἐστεφανωμένον.*] *Δόξαν καὶ τιμὴν*, τὸν σταυρὸν καλεῖ. Οὐ γὰρ οὕτως ἄξιον τοῦ θεοῦ καὶ ὑπερένδοξον τὸ ποιῆσαι οὐρανὸν, καὶ γῆν, καὶ ἄνθρωπον, καὶ τὰς ἄνω δυνάμεις, ὡς τὸ καταξιῶσαι δι' ἡμᾶς σταυρωθῆναι. Τοῦτο δέ φησι καὶ αὐτοὺς παραμυθούμενος· ὡς εἰ ἔλεγεν· Εἰ ταῦτα δι' ἡμᾶς ὁ Χριστὸς ὑπέμεινε, τί μέγα εἰ καὶ ὑμεῖς δι' αὐτὸν ὑπομένετε πειρασμούς; *Ὅπως χάριτι θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου.*] Χάρις γὰρ τῆς ἁγίας Τριάδος, τὸ παθεῖν τὸν υἱόν· οὐ γὰρ κατὰ ὀφειλὴν ὁ πατὴρ τὸν υἱὸν ἔδωκεν εἰς θάνατον, ἢ ὁ υἱὸς κατεδέξατο, ἢ τὸ πνεῦμα συνήργησεν εἰς τὸν σταυρὸν, ἀλλὰ πάντα χάριτι γέγονεν. Ἰστέον δὲ, ὅτι οἱ Νεστοριανοὶ παραποιοῦσι τὴν γραφὴν, καὶ οὕτως ἀναγινώσκουσιν· *Ὅπως χωρὶς θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου*, τοῦτο κατασκευάζοντες, ὅτι σταυρουμένῳ τῷ Χριστῷ οὐ συνῆν ἡ θεότης, ἅτε μὴ καθ' ὑπόσασιν αὐτῷ ἡνωμένη, ἀλλὰ κατὰ σχέσιν. Εἴρηται γάρ, φασι, Ὅπως *χωρὶς θεοῦ γεύσηται θανάτου*. Ἀλλ' ὅρα, πῶς ὀρθόδοξός τις ἀπεκρίθη. Πρῶ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τον μὲν, *Χάριτι θεοῦ*, κεῖται· πλὴν, εἰ καὶ, καθ' ὑμᾶς, *Χωρὶς θεοῦ*, εἴρηται, οὕτω δεκτέον αὐτό· Ὅτι χωρὶς τοῦ θεοῦ, ὑπὲρ πάντων τῶν ἄλλων ἀπέθανεν ὁ Χριστός· καὶ γὰρ οὐ μόνον ὑπὲρ ἀνθρώπων, ἀλλὰ καὶ ὑπὲρ τῶν ἄνω δυνάμεων ἀπέθανεν, ἵνα λύσῃ τὸ μεσότοιχον τοῦ φραγμοῦ, καὶ ἑνώσῃ τὰ κάτω τοῖς ἄνω (α). Τούτῳ ὅμοιον τὸ ἀλλαχοῦ εἰρημένον· *Ὅταν δὲ εἴπῃ, ὅτι πάντα ὑποτέτακται, δῆλον, ὅτι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα* (β). *Ὑπὲρ παντὸς γεύσηται θανάτου.*] Οὐχ ὑπὲρ τῶν πιστῶν μόνον, ἀλλ' ὑπὲρ τῆς οἰκουμένης ἁπάσης. Εἰ γὰρ καὶ μὴ πάντες ἐσώθησαν διὰ τὴν οἰκείαν ἀπιστίαν, αὐτὸς μέντοι τὸ οἰκεῖον ἐπὶ πάντας καὶ ὑπὲρ πάντων ἐποίησε. Καλῶς δὲ τὸ, *γεύσηται*· οὐ γὰρ ἐνέμεινε τῷ θανάτῳ, ἀλλὰ μόνον αὐτοῦ τρόπον τινὰ ἀπεγεύσατο· εὐθέως γὰρ ἀνέστη. Ὅθεν καὶ κατὰ τοῦτο κρείττων τῶν ἀγγέλων, ὅτι ἀνώτερος θανάτου ἐδείχθη. *Ἔπρεπε γὰρ αὐτῷ.*] Τουτέστι, τῷ θεῷ καὶ πατρί. *Δι' ὃν τὰ πάντα.*] Δι' αὐτὸν δὲ τὰ πάντα, τουτέστιν, αὐτὸς πάντων αἴτιος. *Καὶ δι' οὗ τὰ πάντα.*] Ὅρα τὸ, *δι' οὗ*, ἐπὶ τοῦ πατρὸς κείμενον. Οὐκ ἂν δέ, εἰ ἐλαττώσεως ἦν, καὶ τῷ υἱῷ προσῆκε μόνῳ, τῷ πατρὶ προσετίθετο. Τί δὲ σημαίνει τὸ, *δι' οὗ*, μάνθανε. Ἐπειδὴ εἶπε, *δι' ὃν τὰ πάντα*, ἵνα μή τις ἄτοπόν τι ἐννοήσῃ, ὅτι δεῖται τῶν πάντων αὐτός· (ἡ γὰρ Διὰ πρόθεσις καὶ τοιοῦτόν τι σημαίνει, ὡς ὅταν εἴπωμεν, Διὰ τὸν ἄνθρωπον παρήχθη ἡ κτίσις·) ἐπήγαγε τὸ, *δι' οὗ*, ἑρμηνεύων, ὅτι τὸ, *δι' ὃν*, οὕτω νόει, ὡς δι' αὐτοῦ, τουτέστιν, ὑπ' αὐτοῦ γενομένων πάντων. Ὥστε καὶ ἐπὶ τοῦ υἱοῦ ὅταν λέγηται τὸ, *δι' οὗ*, οὕτω τοῦτο δέχου, ἀντὶ τοῦ, ὑφ' οὗ. *Πολλοὺς υἱούς.*] *Υἱοὺς* ἐνταῦθα, τοὺς ἀνθρώπους καλεῖ. *Εἰς δόξαν ἀγαγόντα.*] Τὸν εἰσαγαγόντα, φησὶν, ἐν τῇ τοῦ μονογενοῦς δόξῃ τοὺς ἀνθρώπους τῇ τῆς υἱοθεσίας δωρεᾷ, *τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν*, τῶν υἱῶν, τουτέστι, τὸν Χριστὸν, *διὰ παθημάτων τε-*

(α) Ἐφεσ. Β', 14. (β) Α' Κορ. ΙΕ', 27.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τελειῶσαι, οἷον διὰ τοῦ σταυροῦ τέλειον ἀποδεῖξαι καὶ ἔνδοξον. Τὸ δὲ τέλειον ὡς πρὸς ἡμᾶς εἴρηται, τοὺς τελείως αὐτὸν κατειληφότας ἀγαθὸν καὶ φιλάνθρωπον διὰ τοῦ σταυροῦ· ἐπεὶ ἀεὶ αὐτὸς παντέλειος ἦν, καὶ ἀεὶ ὑπερένδοξος. Ὅρα δὲ τὴν διαφορὰν τῶν υἱῶν. Καὶ οὗτος, υἱὸς, καὶ ἡμεῖς, υἱοί· ἀλλ' ὁ μὲν, γνήσιος· ἡμεῖς δὲ, θετοί· ὁ μὲν σώζει· ἡμεῖς δὲ σωζόμεθα· συναπτόμεθα αὐτῷ, καὶ πάλιν διϊστάμεθα· διὰ μὲν τοῦ, *Πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα*, τούτῳ κοινωνοῦμεν· διὰ δὲ τοῦ, *Τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν*, τούτῳ διϊσάμεθα (1).— *Διὰ παθημάτων τελειῶσαι*· τουτέστι, τὸ ἐλλεῖπον αὐτῷ ἀναπληρῶσαι. Τί δὲ ἐνέλειπε τῷ Χριστῷ, καθὸ νοεῖται ἄνθρωπος; Τὸ ἀθάνατον δηλαδὴ, ἵνα τὸ κατ' εἰκόνα ἔχῃ ἀνελλιπῶς. Ἀνεπλήρωσεν οὖν αὐτῷ τὸ λεῖπον ὁ πατὴρ διὰ τῆς ἀναστάσεως· ἀναστάντος γὰρ, θάνατος αὐτοῦ οὐκέτι κυριεύει (α)· διὰ μέσου δὲ αὐτοῦ πάντας ἀνθρώπους ἀναπληρῶν, καθὼς καὶ ἀλλαχοῦ φησιν ὁ αὐτὸς ἀπόστολος· Καὶ τελειωθείς, γέγονε τοῖς εἰς αὐτὸν ἐλπίζουσι πρόξενος σωτηρίας ἀκαταλύτου (β). Οὕτως ὁ ἐν ἁγίοις Κύριλλος καὶ Σευῆρος ἐν τῷ ρξδ' κεφαλαίῳ τοῦ Φιλαλήθους.

11 Ὅ,τε γὰρ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι, ἐξ ἑνὸς πάντες. Δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς
12 αὐτοὺς καλεῖν, λέγων· « Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνή-
13 σω σε (γ).» Καὶ πάλιν· « Ἐγὼ ἔσομαι πεποιθὼς ἐπ' αὐτῷ (δ)·» Καὶ πάλιν· « Ἰδοὺ ἐγὼ, καὶ
14 τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ θεός (ε).» Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θα-

(1) « Σημείωσαι δὲ, ὅτι τελείωσις τὰ παθήματα, καὶ αἴτια σωτηρίας· καὶ ὅτι ὁ παθὼν ὑπέρ τινος, οὐκ ἐκεῖνον ὠφελεῖ μόνον, ἀλλὰ καὶ αὐτὸς λαμπρότερος γίνεται καὶ τελειότερος. Τελείωσιν δὲ ἐνταῦθα νόει τὴν δόξαν, ἣν ἐδοξάσθη· καὶ ταύτην κατὰ τὸ ἀνθρώπινον ἐκδέχου. Ἢ ὅτι φυσικῶς μὲν εἶχε τὴν δόξαν, πλὴν ὅσον τὸ ἐφ' ἡμῖν ἄδοξος ἦν, ἄτε μὴ ἐπιγινωσκόμενος. Ἐπεὶ δὲ μετὰ τὸν σταυρὸν ἐγνώσθη καὶ ἐδοξάσθη, προσλαβεῖν λέγεται δόξαν, ἣν ἔχων φυσικῶς, παρ' ἡμῶν γοῦν οὐκ εἶχε προσαγομένην αὐτῷ.» Θεοφύλακτος. (α) Ρωμ. ς'. 9. (β) Ἑβρ. Ε'. 9. (γ) Ψαλμ. ΚΑ', 23. (δ) Ψαλμ. ΙΖ', 3. (ε) Ἡσ. Η', 18.

Δημόσια Κεντρική Βιβλιοθήκη Θέρμης

νάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θα-
15 νάτου, τουτέστι, τὸν διάβολον, καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας.

Ὅ,τε γὰρ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι, ἐξ ἑνὸς πάντες.] Ἰδοὺ πάλιν τοῦτο δείκνυσιν, ὅτι ἀδελφοὶ Χριστοῦ ἐσμὲν, καὶ οὕτω τετιμήμεθα. Ὅ,τε γὰρ ἁγιάζων, φησὶ, τουτέστιν, ὁ Χριστὸς, καὶ οἱ ἁγιαζόμενοι, τουτέστιν, οἱ ἄνθρωποι, ἐξ ἑνὸς ἐσμὲν πάντες, τουτέστι, τοῦ πατρός. Ἀλλ' ὁ μὲν Χριστὸς, ὡς υἱὸς, καὶ γνήσιον γέννημα, καὶ ἐκ τῆς οὐσίας τοῦ πατρός· ἡμεῖς δὲ, ὡς κτίσμα καὶ υἱοθεσίας χάριτι ἠξιωμένοι. Ὅρα δὲ ἐν αὐταῖς ταῖς λέξεσι τὴν ὑπεροχήν. Ἐκεῖνος ἁγιάζει, ἡμεῖς δὲ ἁγιαζόμεθα. Ὥστε καὶ ταυτότης, καὶ ὑπεροχή. Δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν.] Ὅρα κἀνταῦθα τὴν ὑπεροχήν. Εἰ γὰρ καὶ ἐξ ἑνὸς ἐσμὲν, ἀλλὰ πολὺ τὸ μέσον, καὶ ὅσον κτίστου καὶ κτισμάτων. Εἰπὼν γὰρ, οὐκ ἐπαισχύνεται, ἔδειξε τὸ διάφορον· οὐ γὰρ κατὰ φύσιν ἀδελφὸς, καίτοι ὢν ἀληθῶς ἄνθρωπος, ἀλλὰ κατὰ φιλανθρωπίαν· ἐπειδὴ ἔστι καὶ ἀληθῶς θεός. Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου.] Ἅμα γὰρ τὴν σάρκα ἑαυτῷ ἥνωσε, καὶ τὴν ἀδελφότητα ἐνεδύσατο, καὶ συνῆλθεν ὁμοῦ ἡ ἀδελφότης. Πλὴν καὶ πάλιν ὑπεροχή. Ἀπαγγελῶ γὰρ, φησὶ, τοῖς ἐσκοτισμένοις, τοῖς ἀγνοοῦσιν. Ὅμοιον τῷ, Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις (α). Ἐγὼ ἔσομαι πεποιθὼς ἐπ' αὐτῷ.] Ἐπειδὴ ἄνω μὲν εἶπεν αὐτὸν ἀδελφὸν, κάτω δὲ, πατέρα, ἐν μέσῳ ἐσήμανεν, ὅτι ταῦτα μὲν φιλανθρωπίας ὀνόματα καὶ χάριτος τῆς αὐτοῦ· τῇ δὲ φύσει καὶ ἀληθῶς, θεός ἐστι. Τίς γὰρ πέποιθεν ἐπὶ ἑτέρῳ τινὶ, εἰ μὴ ἐπὶ μόνῳ θεῷ; Ὡσεὶ ἔλεγε· Μὴ, ἀκούοντες αὐτὸν ἀδελφὸν καὶ πατέρα, νομίσητε ἕνα εἶναι τῶν πολλῶν· θεός ἐστι, φησὶν,

(α) Ἰωαν. ΙΖ', 6.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐφ' ὃν γέγραπται χρῆναι πεποιθέναι (1). *Ἰδοὺ ἐγὼ, κα*
παιδία.] Ἐνταῦθα πατέρα τὸν Χριστὸν ἐποίησεν ἡμῶν. Τὸ
ἔδωκε, διὰ τὴν ἀνθρωπότητα. Ὅμοιον τῷ· Αἴτησαι παρ' ἐ
καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου (α). *Ἐπεὶ οὖν*
παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος.] *Ἐπεὶ οὖν*, φ
τὰ παιδία, τουτέστιν, οἱ ἄνθρωποι, κεκοινωνήκασι σαρκὸς
αἵματος, παραπλησίως, τουτέστιν, ὁμοίως καὶ ἐξ ἀληθ
οὐ κατὰ φαντασίαν τινὰ, ὥς τινες αἱρετικοὶ λέγουσι, *καὶ α*
σαρκὸς καὶ αἵματος μέτοχος γέγονεν, ἵνα καὶ ἐν τούτῳ
τὸ φιλόπαις εἶναι.—ΑΔΑΩΣ. Ἡμεῖς οἱ ἐν τέκνοις ἠριθμ
νοι θεοῦ, κεκοινωνήκαμεν αἵματος καὶ σαρκὸς, τουτέστι
αἵματι ἐσμὲν καὶ σαρκὶ, καὶ ἐν φθαρτοῖς καὶ γηΐνοις σώ
Ταύτης ἕνεκα τῆς αἰτίας ὁ μονογενὴς τοῦ θεοῦ Λόγος, ζω
τὰ φύσιν ὑπάρχων, μετέσχε τῶν αὐτῶν· καὶ οὐ καθ' ἕτερον
πον, ἀλλὰ παραπλησίως ἡμῖν.— Εἶτα καὶ τῆς ἐνανθρωπή
λέγει τὴν αἰτίαν. *Ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸ*
κράτος ἔχοντα τοῦ θανάτου.] Ἵνα, φησὶ, καταργηθῇ ὁ τὸ
τος ἔχων τοῦ θανάτου διάβολος· καταργηθῇ δὲ διὰ τοῦ
νάτου· ὡς εἰ εἶπεν· Ὦ σοφίας θεοῦ! Διὰ τοῦ θανάτου ἔσχ
κράτος ὁ διάβολος, καὶ διὰ τοῦ θανάτου καταλυθήσετα
γὰρ ἴσχυσεν ὅπλῳ, τούτῳ κατ' αὐτοῦ ὁ Χριστὸς ἐχρή
Πῶς δὲ ἄρχει τοῦ θανάτου ὁ διάβολος; Ὅτι τῆς ἁμαρτία
χων, ἐξ ἧς ὁ θάνατος, καὶ τοῦ θανάτου ἄρχει· ἦγουν, κ
θανάτου, ἡ ἁμαρτία. Ἔχων οὖν τὴν ἁμαρτίαν, καὶ εὖ
αὐτῆς ὑπάρχων, τὸ κράτος ἔχει τοῦ θανάτου· (εἴπομεν γὰ

---

(1) Ὁ Θεοφύλακτος ἑρμηνεύει οὕτω τὸ, Ἐγὼ ἔσομαι πεποιθὼς ἐ
τῷ, « Καὶ διὰ τούτου δείκνυσιν, ὅτι ἄνθρωπος, καὶ ἀδελφὸς ἡμῶν γέγονεν.
γὰρ ἕκαστος τῶν ἀνθρώπων, οὕτω καὶ αὐτὸς πέποιθεν ἐπ' αὐτῷ, τουτέ
πατρί· ἅμα καὶ δεικνὺων ἡμῖν, ἵνα ἐπὶ θεῷ μόνῳ πεποιθότες ὦμεν, ὅπου
αὐτὸς, υἱὸς ὢν, καί ἀνενδεὴς, ὅμως ἐπὶ τῷ πατρὶ πεποιθέναι φησί.» Τὸν δὲ
κειμένῳ ἑρμηνείαν φέρει ὡς κατ' ἄλλους ἑρμηνείαν, καὶ εἰς τὸ τέλος αὐτῆς
« Ὥστε μὴ εἶναι τὸν λόγον ὡς ἐκ προσώπου τοῦ Χριστοῦ, ἀλλὰ τοῦ προ
λέγοντος, ὅτι πεποιθὼς ἔσομαι ἐγὼ ὁ προφήτης ἐπ' αὐτῷ τῷ Χριστῷ, ἐ
Ἀλλ' οὐκ εὐάρεστος ἡ τοιαύτη ἐκδοχή.» (α). Ψαλμ. Β', 8.

ἁμαρτίαν εἶναι τὸ κράτος τοῦ θανάτου·) ἵνα οὕτως εἴη· Διὰ τοῦ οἰκείου θανάτου κατήργησε τὸν διάβολον, ὑποχείριον ἔχοντα τὴν ἁμαρτίαν, ἥτις ἐστὶν ἰσχὺς καὶ κράτος τοῦ θανάτου. Εἰ γὰρ μὴ αὕτη κατίσχυσε τοῦ ἀνθρώπου, οὐκ ἂν ὁ θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον. *Ὅσοι φόβῳ θανάτου.*] Πρίν, φησι, καταργηθῇ ὁ θάνατος, δι' ὅλου τοῦ ζῆν οἱ ἄνθρωποι ἔνοχοι ἦσαν καὶ ὑπέκειντο φόβῳ δουλείας. Ἐδεδοίκεσαν γὰρ τὸν οὔπω καταργηθέντα θάνατον. Καὶ οὐδὲν τοὺς ἀρτίφρονας ἴσχυε τέρψαι τῶν τοῦ βίου τερπνῶν, τοῦ διὰ τὸν θάνατον φόβου, δίκην ὠμοῦ καὶ ἀπηνοῦς δεσπότου, ἐφισταμένου καὶ ἐκφοβοῦντος τοὺς ἐπὶ γῆς. *Ἔνοχοι ἦσαν δουλείας.*] Ἐδεδοίκεσαν οἱ ἄνθρωποι τὸν θάνατον, ὡς ἔνοχοι ὄντες τῆς τούτου δουλείας· δουλεία δὲ τοῦ θανάτου, τὸ ἐνέχεσθαι καὶ ὑποκεῖσθαι τῇ ἁμαρτίᾳ· ἰσχὺς γὰρ καὶ κέντρον τοῦ θανάτου ἡ ἁμαρτία. Ἐπεὶ οὖν ὁ Χριστὸς διὰ τοῦ θανάτου αὐτοῦ κατήργησε τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι, τὸν διάβολον, τὸν εὑρετὴν καὶ ἀρχηγὸν τῆς ἁμαρτίας, εἰκότως ἀσθενὴς γίνεται ἡ ἁμαρτία· εἰκότως ἀπηλλάγημεν τῆς κατὰ τὴν ἐπικράτειαν αὐτῆς δουλείας· εἰκότως ἠλευθερώμεθα τοῦ κατὰ τὸν θάνατον φόβου. Καὶ ἔστι τοῦτο καὶ ἐν αὐτοῖς τοῖς ἔργοις σαφῶς κατιδεῖν· οἱ γὰρ πρὶν ὡς μέγιστον κακὸν καὶ ἀνυπέρβλητον φοβούμενοί τε καὶ ἀποτρεπόμενοι τὸν θάνατον, νῦν, ὡς εἰς βελτίονος βίου μεταβολὴν καὶ προοίμιον, χαίροντες πρὸς αὐτὸν χωροῦσιν, ὅταν ὑπὲρ Χριστοῦ καὶ τῶν αὐτοῦ νόμων παρὰ τῶν διωκόντων ἐπάγηται. Ἆρα οὐ περιφανῶς ἀπῄλλαξεν ἡμᾶς ὁ Σωτὴρ τοῦ κατὰ τὸν θάνατον φόβου, καὶ τῆς ἐκεῖθεν δουλείας;

16 Οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ
17 σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν Θεὸν, εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

18 Ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι.

Οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται.] Τουτέστιν, οὐ τῆς τῶν ἀγγέλων φύσεως ἐδράξατο, οὐδὲ ἀνέλαβεν, ἀλλ' ἀνθρωπίνης. Τοῦτο δὲ τὴν πολλὴν πρὸς τὸ ἀνθρώπινον γένος ἀγάπην τοῦ θεοῦ δείκνυσιν. Ὃ γὰρ ἀγγέλοις, φησὶν, οὐκ ἐχειρίσατο, τοῦτο ἀνθρώποις δέδωκε, τὸ ἐξ αὐτῶν σάρκα προσλαβέσθαι. Εἶτα καὶ ὅτι ἐξ Ἰούδα τὸ κατὰ σάρκα ὁ Χριστὸς σημᾶναι βουλόμενος, φησίν· *Ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται.* Τὸ δὲ, *ἐπιλαμβάνεται*, δηλοῖ, ὅτι ἡμεῖς μὲν αὐτὸν ἐφεύγομεν οἱ ἄνθρωποι, αὐτὸς δὲ ἐδίωκε, καὶ διώκων, ἔφθασε, καὶ φθάσας, ἐπελάβετο (1). *Ὅθεν ὤφειλεν.*] Ἐπειδή, φησιν, ὅλως τῆς ἡμῶν ἐπιλαβέσθαι φύσεως ἠξίωσε, ἀκόλουθον ἦν πάντως, κατὰ πάντα ὁμοιωθῆναι τοῖς ἀνθρώποις· καὶ γὰρ ἐγεννήθη, καὶ ηὐξήθη, ἔφαγεν, ἔπιεν, ὕπνωσεν, ἀπέθανεν, ἀνέστη. *Ἵνα ἐλεήμων γένηται.*] Ταῦτα δὲ πάντα, φησὶν, ᾠκονόμησε δι' ἄλλο οὐδέν, ἢ ἵνα ἐλεήσῃ τοὺς ἐπὶ γῆς, καὶ ἀνελκύσῃ ἐκ τοῦ πτώματος. *Καὶ πιστὸς ἀρχιερεύς.*] *Πιστὸς*, ἀληθινὸς, καὶ δυνάμενος τὸ ἔργον τοῦ ἀρχιερέως πληροῦν. Ἴδιον γὰρ τοῦ ὄντως καὶ ἀληθῶς ἀρχιερέως, τὸ τοὺς ὧν ἐστιν ἀρχιερεὺς ἀπαλλάξαι τῶν ἁμαρτιῶν. Ἵνα οὖν προσενέγκῃ θυσίαν, δυναμένην ἡμᾶς καθαρίσαι, γέγονεν ἄνθρωπος, καὶ ἑαυτὸν προσήνεγκεν. *Τὰ πρὸς τὸν θεόν.*] Τῶν πρὸς θεὸν, καὶ εἰς θεὸν ἀνηκόντων πραγμάτων. Ἐν τούτοις γὰρ γέγονεν ἡμῶν ἀρχιερεὺς, οὐκ ἐν τῷ σωματικὰς δεκάτας καὶ ἀπαρχὰς ἀπαιτῆσαι· ἀλλ' εἶδεν ἡμᾶς ἐκπεπολεμωμένους πρὸς τὸν θεὸν, καὶ ἀπερρίμμενους, καὶ ἐλεήσας ἡμᾶς, ἑαυτὸν ἡμῖν ἔδωκεν ἀρχιερέα. Εἶτα ἐπάγει πῶς γέγονε, καὶ διὰ τί, πιστὸς ἀρχιερεύς. *Εἰς τὸ ἱλάσκεσθαι,*

(1) « Ἄγαν σοφῶς ὁ θεῖος ἀπόστολος ἀντὶ τοῦ γενικοῦ ὀνόματος τὸ ἰδικὸν τέθεικεν. Οὐ γὰρ εἶπε, Σπέρματος ἀνθρώπου ἐπιλαμβάνεται, ἀλλὰ, Σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται, ἀναμιμνήσκων αὐτοὺς καὶ τῆς πρὸς τὸν Ἀβραὰμ γεγενημένης ἐπαγγελίας. » Θεοδώρητος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φησὶ, *τὰς ἁμαρτίας τοῦ λαοῦ.*] Διὰ τοῦτο γὰρ γέγονεν, εἰς τὸ ἐξιλεώσασθαι ἡμᾶς καὶ καθαρίσαι τῶν ἁμαρτιῶν ἡμῶν. *Ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθείς.*] Ταπεινὸν τὸ εἰρημένον, πλὴν οὐκ ἔξω τῶν τῆς κενώσεως μέτρων. Ἔπειτα καὶ διὰ τὸ νηπιώδες τῶν ἀκουόντων εἴρηται. Τί δέ φησιν; *Ἐν ᾧ γὰρ πέπονθε*, τουτέστιν, ἐπειδὴ πέπονθεν αὐτὸς εἰς τὸ οἰκεῖον σῶμα *πειρασθεὶς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι*, τουτέστι, προθυμότερον βοηθήσει τοῖς πειραζομένοις· ὡς εἰ εἶπεν· Πείρᾳ μαθὼν τί ἐστι τὸ πειρασμοῖς περιπεσεῖν· οὐχ ὡς θεὸς μόνον, ἀλλὰ καὶ ὡς ἄνθρωπος, πείρᾳ μαθὼν τὸ πάθος, *δύναται τοῖς πειραζομένοις βοηθῆσαι*, τουτέστι, προθυμότερον ὀρέξει χεῖρα τοῖς πειραζομένοις.—Ἢ τὸ, *Δύναται τοῖς πειραζομένοις βοηθῆσαι*, οὕτως ἐκπληκτέον. Ἐπειδὴ γάρ, φησιν, ἀναμαρτήτῳ σώματι τῷ δεσποτικῷ ἐπεπήδησεν ὁ πονηρὸς, καὶ πειρασμοῖς περιβαλεῖν ἐπειράθη· (καὶ γὰρ καὶ δι' ἑαυτοῦ προσέβαλε πειράζων, καὶ τοὺς Ἰουδαίους αὐτὸς ἦν ὁ ἀνερεθίζων εἰς τὴν κατὰ τοῦ δεσπότου μιαιφονίαν.) Ἐπεὶ οὖν ἀναμάρτητον ἔχων σῶμα ἐπειράσθη, καὶ πέπονθεν, ἰσχὺν δικαίαν καὶ εὔλογον ἔχει κατὰ τοῦ πονηροῦ, καὶ τοὺς ὑφ' ἁμαρτίαν τελοῦντας ἀνθρώπους ἁρπάζειν τῶν ἐκεῖθεν ἐπαγομένων πειρασμῶν, καὶ βοηθὸς καθίστασθαι τοῖς πειραζομένοις. Ἡ γὰρ κατὰ τοῦ ἀναμαρτήτου σώματος θρασύτης τοῦ πονηροῦ εὔλογον καὶ δικαίαν τῷ δεσπότῃ παρέσχεν ἰσχὺν, εἰς τὸ ῥύεσθαι τοὺς ὑφ' ἁμαρτίαν τῶν ἐκεῖθεν πειρασμῶν, καὶ βοηθὸν εὑρίσκεσθαι τοῖς πειραζομένοις (Φωτίου).

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ὅτι πιστευτέον Χριστῷ, ὡς Μωϋσῇ ἐπίστευσαν, καθ' ὑπεροχὴν δὲ τὴν τοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θεοῦ πρὸς ἄνθρωπον· ἐν ᾧ, ὅτι φοβητέον τῶν πάλαι τὴν ἔκπτωσιν.

ΚΕΦ. ΙΙΙ, 1 Ὅθεν, ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι, κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρ-
2 χιερέα τῆς ὁμολογίας ἡμῶν, Ἰησοῦν Χριστόν· πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν, ὡς καὶ Μωϋσῆς ἐν
3 ὅλῳ τῷ οἴκῳ αὐτοῦ. Πλείονος γὰρ δόξης οὗτος παρὰ Μωϋσῆν ἠξίωται, καθ' ὅσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν.

Εἰ οὖν μέτοχοι καὶ κοινωνοί ἐστε τῆς κλήσεως τῆς ἐπουρανίου, τὰ ἐκεῖ ζητεῖτε, καὶ τῶν ἐνταῦθα λόγος ὑμῖν ἔστω μηδείς· ἐκεῖ ὁ μισθός, ἐκεῖ ἡ ἀνταπόδοσις. *Κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα.*] Ἐλθὼν εἰς τὴν οἰκονομίαν, ἅπαντα λοιπὸν ἀδεῶς τὰ ταπεινὰ φθέγγεται, ὡς πολλάκις εἴρηται. *Ἀπόστολον* δὲ αὐτόν φησι· διότι ἀπέσταλται παρὰ τοῦ πατρὸς ὡς ἄνθρωπος· *Ἀρχιερέα* δὲ *τῆς ὁμολογίας ἡμῶν*, τουτέστι τῆς πίστεως. Οὐ γὰρ τῆς κατὰ νόμον λατρείας ἀρχιερεύς ἐστιν, ἀλλὰ τῆς ἡμετέρας πίστεως. *Πιστὸν ὄντα.*] Τουτέστιν, εὐνοϊκόν, πίστιν τετηρηκότα τῷ πατρὶ, καὶ τὸ αὐτὸ φρονοῦντα αὐτῷ περὶ τὸ σώζειν τὸν λαόν. *Τῷ ποιήσαντι αὐτόν.*] Τουτέστι, τῷ πατρὶ αὐτοῦ, τῷ ποιήσαντι αὐτὸν *ἀπόστολον* καὶ *ἀρχιερέα*. Ἐνταῦθα γὰρ οὐ περὶ οὐσίας ὁ λόγος, οὐδὲ περὶ θεότητος, ἀλλὰ περὶ ἀξιωμάτων ἀνθρωπίνων. Οὐδὲν δὲ ἐνταῦθα θαυμαστὸν εἰ οὕτω λέγει, ἅπαξ τῆς οἰκονομίας ἐπιλαβόμενος. *Ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ.*] Μέλλει προϊὼν τὸν κατὰ σάρκα Χριστὸν προτιθέναι τοῦ Μωϋσέως· ἀλλ' ἐπειδὴ εἰ καὶ πιστοὶ ἦσαν οὗτοι, πρὸς οὓς ὁ λόγος, μεγάλας ἔτι δόξας εἶχον περὶ Μωϋσέως, ἵνα μὴ εὐθέως ἀποπηδήσωσιν, οὐ εὐθέως προτίθησι Μωϋσέως τὸν Χριστὸν, ἀλλὰ τέως ἐξισοῖ αὐτὸν ἐκείνῳ· εἶτα δὲ προϊὼν προτίθησιν. *Ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ.* Τουτέστιν, ἐν τῷ λαῷ. *Οἶκον* γὰρ *αὐτοῦ*, τὸν λαὸν ἐκάλεσε

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτοῦ δὲ τὸν λαὸν εἶπε τοῦ Μωϋσέως, διότι προεστήκει αὐτῶν· καὶ γὰρ ὁ θεός φησι πρὸς αὐτόν· Ὁ λαός σου ἥμαρτεν (α).— Ὡς καὶ Μωϋσῆς. Ὥστε μάτην διαλοιδοροῦνταί μοι πρὸς ὑμᾶς οἱ ἀποστασίαν με λέγοντες ἀπὸ Μωϋσέως διδάσκειν, καὶ πρὸς αὐτὸν δυσμενῶς διακεῖσθαι. Ἀληθῶς δὲ τοῦτο καὶ οὐ κατὰ προηγούμενον λόγον εἰσάγει, ἵνα μᾶλλον πείσῃ· τὸ γὰρ εἰς ἀπολογίαν παρεσκευασμένον μᾶλλον ὕποπτον (Φωτίου). —Πλείονος γὰρ δόξης οὗτος.] Εἰπὼν τὴν πρὸς Μωϋσῆν ἰσότητα τοῦ Χριστοῦ, νῦν ἠρέμα τὴν ὑπεροχὴν λέγει. Οὗτος. Τίς; Ὁ κατὰ σάρκα νοούμενος Χριστὸς, *πλείονος παρὰ Μωϋσῆν δόξης ἠξίωται, καθ' ὅσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου, ὁ κατασκευάσας αὐτόν.*] Νῦν τὴν ὑστάτην ὑπεροχὴν, καὶ ὅση θεοῦ πρὸς ἄνθρωπον, λέγει. Φησὶν οὖν, ὅτι πιστὸς μὲν ἦν Μωϋσῆς ὑπὲρ πάντα τὸν οἶκον, τουτέστι, τὸν λαόν· πλὴν καὶ αὐτὸς ἦν τοῦ οἴκου, καὶ τοῦ λαοῦ εἷς· ἄνθρωπος γὰρ καὶ αὐτὸς, ὡς καὶ οἱ λοιποί, εἰ καὶ ἅγιος, καὶ ὁμόδουλος αὐτοῖς· ὡς καὶ ἐν ταῖς οἰκίαις οἱ ἐπίτροποι, εἰ καὶ προέχουσι τῶν λοιπῶν, πλὴν ὁμόδουλοι τοῖς ἄλλοις. Ἐπεὶ οὖν καὶ αὐτὸς μέρος τοῦ οἴκου ἦν, ἐκτίσθη καὶ αὐτὸς ὑπό τινος, καὶ ὁ κτίσας αὐτὸν ὑπερέχει αὐτοῦ πάντως. Ἔκτισε δὲ αὐτὸν ὁ υἱὸς τοῦ θεοῦ, ὁ σάρκα λαβὼν, καὶ ἀρχιερεὺς δι' αὐτὸν χρηματίσας· καὶ ὑπερέχει ἄρα αὐτοῦ. Τοσοῦτον οὖν πλείονος δόξης ὁ κατὰ σάρκα Χριστὸς παρὰ Μωϋσῆν ἠξίωται, ὅσον εἰκὸς τὸν δημιουργὸν τοῦ δημιουργήματος· καθ' ὅσον γάρ, φησι, πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν. *Οἶκον* γὰρ ἐνταῦθα, τὸν λαὸν σὺν τῷ Μωϋσεῖ λέγει· ἐπειδὴ καὶ ὁ Μωϋσῆς, εἷς ἦν τοῦ λαοῦ, ποιητὴς δὲ τοῦ οἴκου ὁ Χριστός.

4 (Πᾶς γὰρ οἶκος κατασκευάζεται ὑπό τινος· ὁ δὲ
5 τὰ πάντα κατασκευάσας, θεός.) Καὶ Μωϋσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, ὡς θεράπων, εἰς

(α) Ἐξοδ. ΑΒ'. 7.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

6 μαρτύριον τῶν λαληθησομένων· Χριστὸς δὲ, ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ· οὗ οἶκός ἐσμεν ἡμεῖς, ἐάν περ τὴν παῤῥησίαν καὶ τὸ καύχημα τῆς ἐλπίδος μέχρι τέλους βεβαίαν κατάσχωμεν.

Ἐπειδὴ οἶκον τὸν λαὸν καὶ τὸν Μωϋσῆν ἐκάλεσεν, ἐνέμεινε τῇ τροπῇ, καί φησι· Δημιούργημα οὗτοί εἰσι καὶ δοῦλοι· οὐ γὰρ ἔνι οἶκος, εἰ μήτι κατεσκευάσθη· κατεσκεύασται δὲ τὰ πάντα, μεθ' ὧν καὶ ὁ οἶκος, ὑπὸ τοῦ Χριστοῦ. Ὅσην οὖν εἰκός, φησι, διαφορὰν ἔχειν ποιητὴν ποιήματος, τοσαύτην ἔχει ὁ Χριστὸς πρὸς Μωϋσῆν. *Καὶ Μωϋσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, ὡς θεράπων.*] Εἶτα καὶ ἄλλην λέγει διαφορὰν Χριστοῦ καὶ Μωϋσέως· ὅτι ὁμὲν ὡς δοῦλος ἦν πιστός, ὁδὲ, ὡς υἱὸς γνήσιος καὶ ὁμοούσιος. Ἐπειδὴ γὰρ ἄνω πιστὸν ἐκάλεσε τὸν Χριστὸν, πιστὸν δὲ καὶ τὸν Μωϋσῆν, τὴν διαφορὰν τοῦ πιστοῦ ἐξηγεῖται. *Εἰς μαρτύριον τῶν λαληθησομένων.*] Εἰς τὸ εἶναι μάρτυρα τῶν λαλουμένων παρὰ θεοῦ τοῖς Ἰουδαίοις, ἵνα μὴ ἐν καιρῷ κρίσεως ἀρνήσωνται. Ἔθος γὰρ τῷ θεῷ καὶ οὐρανὸν, καὶ γῆν, καὶ φάραγγας προσλαμβάνειν εἰς μαρτυρίαν. Ἄκουε γάρ, φησιν, οὐρανὲ, καὶ ἐνωτίζου ἡ γῆ (α)· καὶ πάλιν· Ἀκούσατε φάραγγες (β). *Χριστὸς δὲ, ὡς υἱός.*] Εἰ γὰρ καὶ πιστός, φησι, παρ' ἐμοῦ ὠνόμασται, ἀλλ' ὡς υἱὸς γνήσιός ἐστι πιστὸς, τὸ πατρῷον ἀποπληρῶν θέλημα, μᾶλλον δὲ τὸ κοινὸν τῆς ἁγίας Τριάδος. *Οὗ οἶκός ἐσμεν ἡμεῖς.*] Οὗ Χριστοῦ οἶκός ἐσμεν ἡμεῖς οἱ πιστοὶ, κατὰ τό· Ἐνοικήσω ἐν αὐτοῖς (γ). *Ἐάν περ τὴν παῤῥησίαν, καὶ τὰ ἑξῆς.*] Ἐσόμεθα αὐτοῦ οἶκος, ἐὰν μὴ ἐγκαλυπτώμεθα ἐπὶ τῇεἰς αὐτὸν πίστει, ἀλλὰ μετὰ παῤῥησίας καυχώμεθα, καὶ τὰ χρηστὰ λήψεσθαι παρ' αὐτοῦ ὡς θεοῦ ἐλπίζωμεν, μὴ σαλευόμενοι μηδὲ διστάζοντες ἔν τινι. Ἐγκωμιάζει δὲ αὐτοὺς, δεικνὺς, ὅτι ἤρξαντο μὲν, δεῖ δὲ καὶ τέλος προσθεῖναι. Καλῶς δὲ εἶπε, παρ-

(α) Ἡσ. Α', 2. Δευτερ. ΛΒ', 1. (β) Μιχ. Ζ', 2. (γ) Λευϊτ. ΚΣ', 12. Β' Κορ. Ϛ', 16.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χησίαν, καὶ, καύχημα ἐλπίδος. Καὶ γὰρ ἐλπίζων τις βεβαίως, ὅτι ἔσαι ἀνταπόδοσις, καυχᾶται ἐντεῦθεν ἤδη, ὡς ἐπὶ γεγενημένοις τοῖς ἐλπιζομένοις, καὶ οὐ καταδύεται, ἀλλὰ παῤῥησίαν ἔχει μᾶλλον, ὅταν θλίβηται διὰ τὸν ἀγαπώμενον αὐτῷ Χριστόν.

7 Διό, καθὼς λέγει τὸ Πνεῦμα τὸ ἅγιον· « Σήμερον,
8 ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε
τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ
9 τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ, οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν με, καὶ εἶ-
10 δον τὰ ἔργα μου τεσσαράκοντα ἔτη. Διὸ προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπον· Ἀεὶ πλανῶνται τῇ
καρδίᾳ· αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου·
11 ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου· Εἰ εἰσελεύσονται εἰς
τὴν κατάπαυσίν μου (α) ».

Εἰπὼν, ὅτι χρὴ τὰ χρηστὰ ἐλπίζειν παρὰ τοῦ Χριστοῦ, νῦν φησιν, ὅτι οὐ δεῖ πρὸς τὴν πίστιν καὶ τὴν ἐλπίδα ταύτην ἀποσκληρῦναι τὴν καρδίαν ἡμῶν, ἵνα μὴ πάθωμεν ἅπερ οἱ ἐν τῇ ἐρήμῳ ἀπιστήσαντες πεπόνθασι. Τὸ δὲ, *σήμερον*, τὸ ἀεὶ δηλοῖ, ὡσεὶ ἔλεγεν· Ὅτε δήποτε καὶ ἕως ἐστὶ τὸ σήμερον, ἐὰν ἀκούσητε τῆς φωνῆς τοῦ καλοῦντος Χριστοῦ, μὴ *σκληρύνητε τὰς καρδίας ὑμῶν*, τουτέστι, μὴ σκληροὶ καὶ δυσήνιοι γένησθε τὰς καρδίας εἰς τὸ μὴ ἀκοῦσαι αὐτοῦ· τὸ γὰρ σκληρὸν, καὶ δύσεικτον καὶ ἀκαμπὲς πρὸς τὸν διαλεγόμενόν ἐστι. Καὶ γὰρ οἱ Ἰσραηλῖται, σκληροὶ τὰς καρδίας γενόμενοι, παρεπίκραναν τὸν λαλοῦντα αὐτοῖς θεόν. *Ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ.*] Καὶ ποῖος οὗτος ὁ παραπικρασμὸς, ὁ κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ γενόμενος; Ὅτε ἀπιστοῦντες τῷ θεῷ, ἐπείραζον αὐτὸν, λέγοντες· Μὴ δυνήσηται ὁ θεὸς ἑτοιμάσαι τράπεζαν ἐν ἐρήμῳ; Μὴ καὶ ἄρτον δυνήσεται δοῦναι; ἢ ἑτοιμάσαι τράπεζαν τῷ λαῷ αὐτοῦ (β); *Οὐ ἐπείρασάν με.*] Οὗ, ὅπου, τουτέστιν, ἐν τῇ ἐρήμῳ. Ἡ, οὗ ἐπείρασαν πειρασμοῦ,

(α) Ψαλμ. ΡΙΔ', 8—11 (β) Ψαλμ. ΟΖ', 19. 20. Ἀριθ. ΙΓ', ΙΔ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἵνα ᾖ τὸ, οὗ, ἄρθρον, ἀλλὰ μὴ τόπου δηλωτικόν. *Προσώχθισα τῇ γενεᾷ ἐκείνῃ.*] Οἷον, ἐπαχθῶς ἔσχον πρὸς αὐτὴν, διὰ τὸ ἀεὶ ἀπιστεῖν, καὶ πειράζειν με. *Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου· Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.*] Εἰς τοσοῦτόν, φησιν, οὐκ ἔγνωσαν τὰς ὁδούς μου, ἕως οὗ εἰς τοῦτο με ἤγαγον, ὥστε ὀμόσαι, μὴ εἰσελθεῖν αὐτοὺς *εἰς τὴν κατάπαυσίν μου*, τουτέστιν, εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ἐν ᾗ εἰσελθόντες ἔμελλον ἀπὸ τῶν πολέμων ἀναπαύεσθαι. Ἀλλ' ἐκεῖνοι μὲν ἀπιστήσαντες, καὶ πειράσαντες τὸν θεὸν, οὐκ εἰσῆλθον εἰς Παλαιστίνην· αὕτη γὰρ ἡ κατάπαυσις· ἡμῖν δὲ τί ἔσται, μὴ οὔσης ἑτέρας καταπαύσεως ἐπὶ γῆς, ἧς μέλλομεν στερεῖσθαι ἀπειθοῦντες θεῷ; Ναί, φησιν, ἔσται καὶ νῦν κατάπαυσις ἡ ἀληθινὴ, ἧς τύπος ἦν ἐκείνη ἡ παλαιὰ, καὶ μέλλετε ταύτης στερεῖσθαι, εἴπερ ἀπιστήσετε τῷ Χριστῷ. Καὶ γὰρ τρεῖς εἰσι καταπαύσεις· μία τοσάββατον, ἐν ᾧ κατέπαυσεν ὁ θεὸς ἀπὸ τῶν ἔργων αὐτοῦ· δευτέρα, ἡ ἐπηγγελμένη τῆς Παλαιστίνης γῆ· τρίτη, ἡ ὄντως καὶ ἀληθὴς, ἧς τύπος ἦσαν αἱ εἰρημέναι δύο, βασιλεία τῶν οὐρανῶν, ἔνθα ἀπέδρα πᾶσα λύπη καὶ ὀδύνη καὶ στεναγμός. Ταύτης οὖν, φησι, μέλλετε στερεῖσθαι, ἀπειθήσαντες τῷ Χριστῷ.

12 Βλέπετε, ἀδελφοί, μήποτε ἔσται ἔν τινι ὑμῶν καρ-
δία πονηρὰ ἀπιστίας, ἐν τῷ ἀποστῆναι ἀπὸ θεοῦ
13 ζῶντος· ἀλλὰ παρακαλεῖτε ἑαυτοὺς καθ' ἑκάστην
ἡμέραν, ἄχρις οὗ τὸ σήμερον καλεῖται, ἵνα μὴ
σκληρυνθῇ ἐξ ὑμῶν τις ἀπάτῃ τῆς ἁμαρτίας.
14 Μέτοχοι γὰρ γεγόναμεν τοῦ Χριστοῦ, ἐάν περ
τὴν ἀρχὴν τῆς ὑποστάσεως μέχρι τέλους βεβαίαν
15 κατάσχωμεν· ἐν τῷ λέγεσθαι· Σήμερον, ἐὰν τῆς
φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρ-
δίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ.

Βλέπετε, ἀδελφοί, *μήποτε ἔσται ἔν τινι ὑμῶν.*] Φοβοῦντος τὸ ῥῆμα. Βλέπετέ, φησι, μὴ καὶ ὑμεῖς διὰ τὴν ἀπιστίαν στερηθῆτε τῆς ὄντως ἀναπαύσεως, τῆς βασιλείας τῶν οὐρανῶν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καρδία πονηρὰ ἀπιστίας.] Πολλαὶ μέν εἰσι καρδίαι πονηραὶ ἀπιστίας. Ἔστι γὰρ καρδία πονηρὰ ἀπιστίας, τὸ μὴ πιστεύειν κακὸν εἶναι τὸ φιλοχρηματεῖν, τὸ ἄρχειν ὕβρεως, τὸ μεθύσκεσθαι, καὶ μυρία ἄλλα· μεῖζον δὲ καὶ ἀσυγκρίτως καρδία ἐστὶ πονηρὰ ἀπιστίας, ἡ ἀφισταμένη τῆς πίστεως τῆς πρὸς τὸν θεόν. *Βλέπετε οὖν, φησι, μήποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας·* ἀπιστίας δέ φημι, φησὶ, τῆς ἀφιστώσης ἀπὸ θεοῦ ζῶντος. Καλῶς δὲ φησι, *Καρδία πονηρὰ ἀπιστίας·* ἔστι γὰρ καὶ καρδία ἀγαθὴ ἀπιστίας, ὡς τὸ, Μὴ πιστεύετε παντὶ πνεύματι, ἀλλὰ δοκιμάζετε τὰ πνεύματα, εἰ ἐκ θεοῦ ἐστιν (α). *Ἐν τῷ ἀποστῆναι.*] Τουτέστι, διὰ τῆς ἀπιστίας. *Ἀπὸ θεοῦ ζῶντος.*] Ἄλλως γὰρ οὐχ εὑρίσκει πάροδον ἡ ἀπιστία, εἰ μὴ ἀποστῇ τις ἀπὸ θεοῦ. Ἕως γὰρ ἂν ᾖ ἐχόμενος τοῦ θεοῦ, καὶ πεποιθὼς ἐπ' αὐτῷ, ὡς πάντα δυναμένῳ, οὐδὲν ἡγεῖται ἀδύνατον. *Ἀλλὰ παρακαλεῖτε.*] Τουτέστιν, Οἰκοδομεῖτε ἀλλήλους, καὶ προτρέπεσθε, καὶ διορθοῦτε, *ἄχρις οὗ τὸ σήμερον καλεῖται*, τουτέστιν ἕως τέλους. Ἄχρι γὰρ τέλους τὸ σήμερον καλεῖται. Ἐπειδὴ γὰρ εἶπε, *Σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε*, φησὶν, Ἄχρις οὗ ἐστιν ἐκεῖνο τὸ εἰρημένον σήμερον. *Ἵνα μὴ σκληρυνθῇ ἐξ ὑμῶν τις ἀπάτῃ τῆς ἁμαρτίας.*] Ἵνα μὴ γένηται, φησιν, ἅπερ ἐπὶ τῶν προγόνων ἡμῶν γέγονε, καὶ δυσήνιος καὶ σκληρὰ ἡ ψυχὴ γένηται, ἀπατηθεῖσα διὰ τῆς ἀπιστίας, ἣν νῦν *ἁμαρτίαν* ἐκάλεσε. *Μέτοχοι γὰρ γεγόναμεν τοῦ Χριστοῦ.*] Ἐν, φησι, γεγόναμεν ἡμεῖς καὶ ὁ Χριστός· ἐπειδὴ αὐτὸς κεφαλὴ ἡμῶν ἠξίωσεν εἶναι, καὶ ἡμᾶς μέλη αὐτοῦ ποιῆσαι. *Ἐάνπερ τὴν ἀρχὴν τῆς ὑποστάσεως.*] *Ἀρχὴν τῆς ὑποστάσεως*, τὴν πρὸς τὸν Χριστὸν πίστιν φησί. Δι' αὐτῆς γὰρ ὑπέστημεν, καὶ γεγενήμεθα μέτοχοι τοῦ Χριστοῦ. *Μέχρι τέλους.*] Τὸ, *μέχρι τέλους*, δηλοῖ, ὅτι ἐναρξάμενοι ἦσαν. *Ἐν τῷ λέγεσθαι.*] Τὸ ὑπερβατόν· Ἐν τῷ λέγε-

(α) Α' Ἰωαν. Δ', 1.

σθαι· Σήμερον, ἐὰν τῆς φωνῆς ἀκούσητε, καὶ τὰ ἑξῆς, *μὴ προσ-*
θῶμεν, μήποτε, καταλειπομένης ἐπαγγελίας, καὶ τὰ ἑξῆς.

16 Τινὲς γὰρ ἀκούσαντες, παρεπίκραναν, ἀλλ' οὐ
πάντες οἱ ἐξελθόντες ἐξ Αἰγύπτου διὰ Μωϋσέως·
17 Τίσι δὲ προσώχθισε τεσσαράκοντα ἔτη; οὐχὶ τοῖς
ἁμαρτήσασιν, ὧν τὰ κῶλα ἔπεσεν ἐν τῇ ἐρήμῳ;
18 Τίσι δὲ ὤμοσε, μὴ εἰσελεύσεσθαι εἰς τὴν κατάπαυ-
19 σιν αὐτοῦ, εἰ μὴ τοῖς ἀπειθήσασι; Καὶ βλέπομεν
ὅτι οὐκ ἠδυνήθησαν εἰσελθεῖν διὰ τὴν ἀπιστίαν.

Τινὲς γὰρ ἀκούσαντες καὶ τότε τὰς ἐπαγγελίας τοῦ θεοῦ, ὥ-
περ καὶ ἡμεῖς νῦν ἀκούομεν, τῇ ἀπιστίᾳ παρεπίκραναν τὸν θεό
Βούλεται γὰρ δεῖξαι καὶ ἐκείνους, ὥσπερ τούτους, ἀκηκοότα
καὶ μηδὲν ὠφελημένους ἐκ μόνης τῆς ἀκοῆς τῆς ἐπαγγελία
Ὥστε, φησί, καὶ ὑμεῖς οὐκ, ἐπειδὴ ἀκηκόατε τὸ κήρυγμα, τ
πᾶν πεπληρώκατε, ἐὰν μὴ καὶ πιστεύσητε. Καὶ ὅτι πίστε
χρεία, ἐκ τῶν πάλαι ἀκουσάντων μὲν, διὰ δὲ τὸ μὴ πιστε
σαι ἀπολομένων, τὸν λόγον πιστοῦται. Ὥσπερ γὰρ ἐκείνοι
φησὶν, οὐκ ἤρκεσε τὸ ἀξιωθῆναι φωνῆς θεοῦ, ἀλλὰ μὴ πιστε
σαντες ἀπώλοντο· οὕτως οὐδὲ ὑμῖν ἀρκέσει τὸ ἀκροατὰς γ
νέσθαι τῆς πίστεως, ἂν μὴ καὶ πιστεύσητε εἰλικρινῶς. Μᾶ
λον δὲ οὗτοι τὸ αὐταρκες ἔχειν ἐνόμιζον ἐκ μόνου τοῦ ἀκηκοέ
τοῦ κηρύγματος. Τοῦτο γὰρ καὶ προϊὼν δηλοῖ, ἐν τῷ λέγε
Καὶ γὰρ ἐσμὲν εὐηγγελισμένοι, καθάπερ κἀκεῖνοι. *Ἀλλ'*
πάντες οἱ ἐξελθόντες ἐξ Αἰγύπτου.] Ὁ γὰρ Χαλὲβ καὶ
Ἰησοῦς οὐκ ἠπίστησαν, ὅθεν καὶ ἔτυχον τῆς ἐπαγγελίας, κ
εἰσῆλθον εἰς τὴν ἐπηγγελμένην γῆν. *Τίσι δὲ προσώχθισε*
Κατ' ἐρώτησιν τοῦτο διὰ τὸ σαφέστερον καὶ ἀναντιῤῥητότερ
τὰ γὰρ κατ' ἐρώτησιν, ἐπὶ τῶν ὁμολογουμένων τίθενται. Π
τίνας, φησὶν, ἔσχεν ἐπαχθῶς; Προστίθησι δὲ καὶ τὴν τιμ
ρίαν. *Ἔπεσον γάρ, φησι, τὰ κῶλα αὐτῶν ἐν τῇ ἐρήμῳ*, τουτέ
τὰ μεγάλα καὶ μηριαῖα ὀστᾶ· ἀπὸ μέρους δὲ τὰ ὅλα σώματα ἐ
λωσε. *Τίσι δὲ ὤμοσε;*] Καὶ τοῦτο ὁμοίως κατ' ἐρώτησιν. *Κ*

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

βλέπομεν, ὅτι οὐκ ἠδυνήθησαν εἰσελθεῖν.] Ἰδοὺ γάρ, φησι, πρὸ ὀφθαλμῶν ἡμῶν κεῖται τὸ τῆς ἀπιστίας ἐπιτίμιον. Ἐκεῖνοι γὰρ ἀπιστήσαντες, οὐκ εἰσῆλθον εἰς τὴν ἐπηγγελμένην γῆν.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Προτροπὴ σπουδάσαι εἰς τὴν προδηλουμένην κατάπαυσιν.

ΚΕΦ. IV, 1 Φοβηθῶμεν οὖν, μή ποτε, καταλειπομένης ἐπαγγελίας εἰσελθεῖν εἰς τὴν κατάπαυσιν
2 αὐτοῦ, δοκῇ τις ἐξ ὑμῶν ὑστερηκέναι. Καὶ γάρ ἐσμεν εὐηγγελισμένοι, καθάπερ κἀκεῖνοι· ἀλλ' οὐκ ὠφέλησεν ὁ λόγος τῆς ἀκοῆς ἐκείνους, μὴ συγκεκραμένους (1) τῇ πίστει τοῖς ἀκούσασιν.

Φ*οβηθῶμεν οὖν.*] Ἐνταῦθα ἡ ἀπόδοσις τοῦ, Ἐν τῷ λέγεσθαι· Σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ, φοβηθῶμεν, μήπως. Τὸ δὲ, *οὖν*, παράδραμε. Διὰ γὰρ τὸ εἶναι μακραπόδοτον τὸν λόγον, ἵνα μὴ δόξῃ ἀσυνάρτητος εἶναι ἡ σύνταξις, τὸ, *οὖν*, τέθεικε. Φοβηθῶμεν, φησὶ, μή ποτε, καταλιμπανομένης ἐπαγγελίας εἰς τὸ εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ, ὑστερήσωμεν· καὶ γὰρ ὑπολείπεται ἡ ἐπαγγελία τοῦ εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ τὴν ἀληθινὴν τοὺς βουλομένους· αὕτη δέ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. *Δοκῇ τις ἐξ ὑμῶν ὑστερηκέναι.*] Ὑστερηκέναι εἰς τὸ εἰσελθεῖν. Ἀνεπαχθῆ δὲ τὸν λόγον ποιῶν, οὐκ εἶπε, Μὴ ὑστερήσῃ, ἀλλὰ, *Μή δοκῇ ὑστερηκέναι. Καὶ γὰρ ἐσμὲν εὐηγγελισμένοι, καθάπερ κἀκεῖνοι.*] Εὐηγγελίσθημεν καὶ ἡμεῖς περὶ τῶν μελλόντων ἀγαθῶν, ὥσπερ καὶ ἐκεῖνοι τυπικῶς περὶ τῆς γῆς. *Ἀλλ' οὐκ ὠφέλησεν ὁ λόγος τῆς ἀκοῆς*

ἐκείνους.] Ὁρᾷς, ὅτι τοῦτο λέγει, ὅτι οὐδὲν ὑμᾶς ὠφελήσει τ
ἀκροατὰς γενέσθαι τοῦ κηρύγματος, ἐὰν μὴ καὶ τὰ παρ' ἐαυ
τῶν εἰσενέγκητε, τουτέστι, πίστιν· ἐπεὶ μηδὲ τοὺς πάλαι ὠφε
λησεν ὁ λόγος τῆς ἀκοῆς καθ' ἑαυτόν. Ὅρα δὲ, πῶς ἐφ' ἡμῶ
μὲν *εὐαγγελισμὸν* τὸ πρᾶγμα ἐκάλεσεν, ὡς ἀληθινῶν ἀγαθῶ
ὑπόσχεσιν, καὶ ὡς ἀπὸ τροπαίου καὶ νίκης διδομένων· ἐπ
ἐκείνων δὲ, *λόγον ἀκοῆς. Μὴ συγκεκραμένους τῇ πίστει τοῖ*
ἀκούσασι.] Τουτέστι, μὴ ἀνακεκραμένους πρὸς αὐτήν· ἐκ δ
τούτου, τὸ ἀνενδοιάστως πιστεῦσαι αἰνίττεται. *Ἀκούσαντα*
δέ φησι τοὺς πιστεύσαντας· ἐκεῖνοι γὰρ ὄντως ἤκουσαν, οἱ κα
πιστεύσαντες. Λέγει δὲ περὶ Ἰησοῦ καὶ Χαλέβ. Τοῦτο δέ φησιν
Οὐκ ὠφέλησεν ὁ λόγος τῆς ἀκοῆς τὸν λαὸν, *μὴ συγκεκρα*
μένον, καὶ οἷον ἀνακεκραμένον καὶ μεμιγμένον καὶ ἡνωμένον, ἐ
τῇ πίστει τοῖς ἀκούσασιν, ἤγουν, τοῖς ἀμφὶ τὸν Ἰησοῦν πιστεύ
σασι (1).—*Μὴ συγκεκραμένους*, φησὶ, *τοῖς ἀκούσασι*, του
τέστι, τοῖς πεπιστευκόσι. Πῶς δὲ ἦν αὐτοῖς συγκραθῆναι; *Ἐ*
τῇ πίστει, φησὶ, τουτέστι, διὰ τῆς πίστεως. Εἰ γὰρ ἐπίστευσα
οὗτοι, ὥσπερ κἀκεῖνοι, εἰς ἓν ἂν συνηλαύνοντο, τῆς πίστεω
οἷον κολλώσης αὐτοὺς καὶ συγκιρνώσης (Φωτίου).

3 Εἰσερχόμεθα γὰρ εἰς τὴν κατάπαυσιν οἱ πιστεύσαν
τες, καθὼς εἴρηκεν· «Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου
Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου·» καίτοι
τῶν ἔργων ἀπὸ καταβολῆς κόσμου γενηθέντων
4 Εἴρηκε γάρ που περὶ τῆς ἑβδόμης οὕτω· «Καὶ κατέ
παυσεν ὁ θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντω
5 τῶν ἔργων αὐτοῦ (α)·» καὶ ἐν τούτῳ πάλιν· « Ε
εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου (β).»

Ὅρα, οἷον κατασκευάζει. Πᾶσα, φησὶν, ἀνάγκη, τινὰς εἰσελ

(1) Μὴ συγκεκραμένους τῇ πίστει τοῖς ἀκούσασι· τουτέστι, Μὴ ἐνωθέντας μηδὲ συμφρονήσαντας διὰ τῆς πίστεως τοῖς ἀκούσασιν, ἀλλ' ἀπεξενωμένους αὐτῶν. Θαυμασίως δὲ οὐκ εἶπε, Μὴ συμφρονήσαντας, ἀλλὰ, Μὴ συγκεκραμένους, ὡς τὴν ἄκραν ἕνωσιν ὁρίζων. Ἀκούσαντας δὲ ἐνταῦθα λέγει τοὺς πιστεύσαντας· οὗτοι γὰρ τῷ ὄντι ἀκούσαντες ἂν λέγοιντο.» Θεοφύλακτος.

(α) Γενεσ. Β', 2. (β) Ψαλ. ιδ', 11.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

θεῖν εἰς τὴν κατάπαυσιν τοῦ θεοῦ, ἵνα μὴ μάτην καὶ ἁπλῶς ἡ ἐπηγγελμένη. Ἐπεὶ οὖν ἐκεῖνοι οὐκ εἰσῆλθον· (ὥμοσε γάρ, μὴ εἰσελθεῖν αὐτούς·) ἀνάγκη ἡμᾶς, ἅτε βουληθείημεν, εἰσελθεῖν· ἀλλ᾽οὐκέτι εἰς τὴν τυπικὴν κατάπαυσιν, ἀλλ᾽εἰς τὴν ἀληθινὴν, τὴν βασιλείαν τῶν οὐρανῶν. Εἰ γὰρ καὶ οἱ υἱοὶ ἐκείνων εἰσῆλθον εἰς τὴν ἐπηγγελμένην γῆν, ἀλλὰ καὶ νῦν ἑτέραν ὁρίζει διὰ τοῦ Δαυὶδ κατάπαυσιν· ἐπεί τί βούλεται αὐτῷ τὸ, Σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε; *Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου.*] Καίτοι αὕτη ἡ μαρτυρία, οὐ τοῦ ἡμᾶς τοὺς πιστεύσαντας εἰσελθεῖν εἰς τὴν κατάπαυσιν τοῦ θεοῦ ἐστι σημαντικὴ, ἀλλὰ τοῦ ἐκείνους μὴ εἰσελθεῖν· ἀλλ᾽ αὐτῷ τούτῳ, φησὶν, ᾧ ἐκεῖνοι οὐκ εἰσῆλθον, ἡμᾶς χρὴ εἰσελθεῖν. Τοῦτο μὲν οὖν προϊὼν λέγει σαφέστερον· νῦν δὲ πρὸς τούτῳ καὶ ἐκεῖνο θέλει δεῖξαι, ὅτι, ὥσπερ ἡ τοῦ σαββάτου κατάπαυσις οὐ κωλύει καὶ ἄλλην λέγεσθαι κατάπαυσιν, τὴν τῆς ἐπηγγελμένης γῆς· οὕτως οὐδὲ ἡ τῆς ἐπηγγελμένης γῆς κωλύει τὴν βασιλείαν τῶν οὐρανῶν λέγεσθαι κατάπαυσιν. Ὅθεν καὶ προστίθησι· *Καίτοι τῶν ἔργων ἀπὸ καταβολῆς κόσμου γενομένων,* ἐξ ὧν ἀνεπαύσατο ὁ θεὸς, οὐκ ἐκώλυσε καὶ τὴν γῆν τῆς ἐπαγγελίας, κατάπαυσιν λεχθῆναι. *Καίτοι τῶν ἔργων.*] Εἶτα, ἐπειδὴ εἶπε, κατάπαυσιν· (ἐλέγετο δὲ ἡ τοῦ σαββάτου κατάπαυσις·) αὐτὸς ἐπιλύει αὐτὸ, καί φησιν· Ἤδη τῆς καταπαύσεως τῶν ἔργων γενομένης, καὶ ταύτην καλεῖ κατάπαυσιν, τὴν γῆν τῆς ἐπαγγελίας. *Καὶ κατέπαυσεν ὁ θεός.*] Ὁρᾷς, φησιν, ὅτι δύο εἰσὶ καταπαύσεις; Μία ἡ τῆς ἑβδόμης, ἐν ᾗ κατέπαυσεν ὁ θεὸς ἀπὸ τῶν ἔργων αὐτοῦ, καὶ μία ἡ τῆς ἐπηγγελμένης γῆς, περὶ ἧς φησι νῦν ὁ Δαυίδ. Φησὶν οὖν, ὅτι, ὥσπερ ἡ πρώτη κατάπαυσις οὐκ ἐκώλυσε δευτέραν κατάπαυσιν ὀνομασθῆναι· οὕτως οὐδὲ ἡ δευτέρα κωλύσει τὴν τρίτην, τὴν βασιλείαν τῶν οὐρανῶν. Ταῦτα δὲ κατασκευάζει, ὅτι μέλλει λέγειν, ὅτι ἡμεῖς ἔχομεν εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ· ἵνα μὴ ἀκούσῃ, Καίτοι εἰσῆλθον ἐκεῖνοι, καὶ τέλος ἔχει τὸ εἶναι ἄλλην κατάπαυσιν, Ἔστι,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φησὶ, τρίτη, ἡ βασιλεία τῶν οὐρανῶν. *Καὶ*
Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.]
δύο καταπαύσεις· μία μὲν, ἔνθα κατέπαυσεν
ἔργων αὐτοῦ· ἑτέρα δὲ, ἡ ἀπὸ τοῦ Δαυὶδ εἰρη
σονται εἰς τὴν κατάπαυσίν μου.

6 Ἐπεὶ οὖν ἀπολείπεταί τινας εἰσελ
καὶ οἱ πρότερον εὐαγγελισθέντες
7 δι' ἀπείθειαν· πάλιν τινὰ ὁρίζει ἡμ
ἐν Δαυὶδ λέγων, μετὰ τοσοῦτον
εἴρηται·) «Σήμερον, ἐὰν τῆς φωνῆς
8 τε, μὴ σκληρύνητε τὰς καρδίας ὑ
αὐτοὺς Ἰησοῦς κατέπαυσεν, οὐκ
9 ἐλάλει μετὰ ταῦτα ἡμέρας. Ἄρα ἀ
10 βατισμὸς τῷ λαῷ τοῦ θεοῦ. Ὁ γὰ
τὴν κατάπαυσιν αὐτοῦ, καὶ αὐτὸς κ
τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπὸ τῶν

Ἐπεὶ οὖν ὀφείλουσί τινες πάντως εἰσελθεῖν
εἰσῆλθον εἰς τὴν τῆς ἐπηγγελμένης γῆς κα
ἄλλην τρίτην ὁρίζει κατάπκυσιν, ἵνα, φησὶ,
ἐλθωσί τινες. Οὐ γὰρ ἂν, εἰ μὴ τρίτην εἶ
θεὸς, ἔμελλε λέγειν· *Σήμερον, ἐὰν τῆ*
ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑ
οὔσης καταπαύσεως, εἰς ἣν δεῖ εἰσελθεῖν τοὺς
τὰς καρδίας αὐτῶν· ἐπεί τοιγε ἀνωφελὴς ἂν
οὔσης καταπαύσεως, μηδὲ οὔσης ἀντιμισθία
τεσκεύασε; Μὴ σκληρύνητε, ἵνα, φησὶν, ε
κατάπαυσιν. Ὁ γὰρ εἰπὼν, ὅτι ἐκεῖνοι σκληρ
θον εἰς τὴν κατάπαυσιν, αἰνίττεται, ὅτι οἱ
εἰσελεύσονται. Πᾶσα γὰρ ἐντολὴ θεοῦ, ἔχει
ἐσομένην. *Εἰ γὰρ αὐτοὺς Ἰησοῦς κατέπαυσ*
μόνον ἐστὶ κατάπαυσις, ἡ ἐπηγγελμένη
Ἰησοῦ εἰσῆλθον, οὐκ ἄν, φησι, περὶ ἄλλης δ
λει καταπαύσεως ἡμέρας. Ἀλλὰ διὰ τοῦτ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐμνήσθη, *Σήμερον*, λέγων, καὶ ἐντολὴν ἔδωκε, *Μὴ σκληρύνητε*, λέγων, ὡς οὔσης τρίτης καταπαύσεως, ἐν ᾗ δεῖ τοὺς ὑπακούοντας εἰσελθεῖν. *Ἄρα ἀπολείπεται σαββατισμός.*] *Σαββατισμὸς*, ἤγουν κατάπαυσις. Σάββατον γὰρ, κατάπαυσις ἑρμηνεύεται. Ὑπολέλειπται οὖν τρίτη τις κατάπαυσις, ἡ τῆς βασιλείας τῶν οὐρανῶν. *Σαββατισμὸν* δὲ αὐτὴν ἐκάλεσεν ἀπὸ τῆς ἀρχετύπου, τῆς τοῦ σαββατισμοῦ καταπαύσεως. *Τῷ λαῷ τοῦ θεοῦ.*] Τοῖς πιστοῖς, φησι. Καὶ πόθεν τοῦτο δῆλον; Ἐκ τοῦ παραγγέλλειν τὸν Δαυὶδ, *Μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν*· οὐ γὰρ, εἰ μὴ ἦν σαββατισμὸς καὶ κατάπαυσις, ταῦτα παρήγγειλε· (ποῖον γὰρ ἦν ὄφελος τοῖς πειθομένοις;) οὐδὲ ἐκελευόμεθα τὰ αὐτὰ ποιεῖν τοῖς ἐν τῇ ἐρήμῳ Ἰουδαίοις, ἵνα μὴ ὁμοίως καὶ ἡμεῖς ἀποστερηθῶμεν τῆς καταπαύσεως. *Ὁ γὰρ εἰσελθών.*] Ἐπειδὴ ἀπειρηκότες ἦσαν τοῖς κακοῖς, ἀφεὶς εἰπεῖν τὰ μυρία τότε ἐσόμενα ἀγαθὰ, ἐκ τούτου αὐτοὺς παραμυθεῖται ἐν τῷ λέγειν, ὅτι ὁ εἰσελθὼν εἰς τὴν τρίτην κατάπαυσιν, τὴν βασιλείαν τῶν οὐρανῶν, ἀναπαύεται ἐκ τῶν ἔργων αὐτοῦ, τουτέστι, τῶν διωγμῶν, τῶν πειρασμῶν, τῶν θλίψεων, ὥσπερ ἀμέλει καὶ ὁ θεὸς ἐν τῇ πρώτῃ καταπαύσει ἀνεπαύσατο ἀπὸ τῶν ἔργων, ὧν ἐποίησε. *Καὶ αὐτὸς κατέπαυσεν.*] Οἱονεὶ, ἀνεπαύσατο.—ΑΛΛΩΣ. Ἐπειδὴ ἀπέδειξεν, ὡς ἐστὶ τρίτη κατάπαυσις, καὶ ὡς εἰσελεύσονται τινὲς ἐν αὐτῇ, ἐπὶ τὸ συμπέρασμα ἦκε, καὶ φησὶν· Ἐξ ὧν εἴρηται, φανερὸν ἄρα, ὅτι ἔστί τις κατάπαυσις ἄλλη παρὰ τὰς εἰρημένας, καὶ αὕτη οὐ τοῖς τυχοῦσιν, ἀλλὰ τῷ λαῷ τοῦ θεοῦ ἀφιερωμένη· λαὸς δὲ ἀληθῶς τοῦ θεοῦ, οἱ πιστεύσαντες εἰς αὐτὸν, καὶ φυλάττοντες τὰ προστάγματα αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Τὸ φοβερὸν τῆς κρίσεως παρὰ τῷ λόγῳ τῷ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διὰ πάντων, καὶ τὸ
τῆς ἱερατικῆς παρ
ἡμῖν ἀνθρωπίνως.

11 Σπουδάσωμεν οὖν εἰσελ
παυσιν, ἵνα μὴ ἐν τῷ α
12 τῆς ἀπειθείας. Ζῶν γὰ
ἐνεργὴς, καὶ τομώτερος
στομον, καὶ διϊκνούμεν
καὶ πνεύματος, ἁρμῶν τ
13 ἐνθυμήσεων καὶ ἐννοιῶν
σις ἀφανὴς ἐνώπιον αὐ
τετραχηλισμένα τοῖς ὀ
ἡμῖν ὁ λόγος.

Σπουδάσωμεν οὖν εἰσελθεῖν
καὶ τρίτην κατάπαυσιν, λοιπ
προτρέπεται. Καλῶς δὲ εἶπε τ
ἡ πίστις αὐτὴ καθ' ἑαυτὴν ἀρκεῖ
καὶ πολιτεία χρηστὴ ᾖ. *Ἵνα μ
πέσῃ.*] Ἐν τῷ αὐτῷ τοῖς Ἰσραηλ
τὸ πλέον ἀνύσαντες τῆς ἐν τῇ ἐ
τες, ὅμως τοῦ παντὸς ἐξέπεσον
ὑμεῖς ὁρᾶτε, μήπως τῷ ἴσῳ τ
τοσούτους, οὓς ὑπεμείνατε, ἀγῶν
ἀνδρισάμενοι. *Ζῶν γὰρ ὁ λόγο*
καὶ τὰ κατὰ τὸν Ἰσραὴλ τὸν Χ
Ὥσπερ τότε, φησίν, οὐ πόλεμ
λεσεν, ἀλλ' ὁ τοῦ θεοῦ λόγος·
οὕτω καὶ ἐφ' ἡμῖν ἔσται. Ὁ
ἐκόλασε, καὶ ἡμᾶς κολάσει· ζ
αἰῶνα. Ἵνα δὲ μὴ νομίσωσιν, ἐκπ
Χριστὸν, γῆς ἀποτυγχάνειν,

Δημόσιο Ιστιοπλοϊκή Βιβλιοθήκη Βόλου

ποιεῖται τὸ πρᾶγμα. *Καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον.*] Ἵνα μὴ, λόγον ἀκούσαντες, μηδὲν φοβερὸν ὑποπτεύσωσιν, ἐπεξηγεῖται τὸ εἰρημένον, τῶν παρ' ἡμῖν δεικθεὶς ὑποδειγμάτων· οὐ γὰρ ἄλλως ἦν γνωσθῆναι τὸ λεγόμενον. *Καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς τε καὶ πνεύματος.*] Φοβερόν τι λέγει· ἢ ὅτι τὸ πνεῦμα διαιρεῖ ἀπὸ τῆς ψυχῆς, καὶ ἐγκαταλιμπάνει αὐτὴν ἔρημον τῆς ἐκ τούτου ἁγιωσύνης, ἣν ὁ Κύριος ἐν τῷ εὐαγγελίῳ *διχοτομίαν* ὠνόμασεν (α)· (ὥσπερ γὰρ βασιλεὺς, ἄρχοντος ἁμαρτάνοντος τὴν ζώνην ἀφαιρεῖται, καὶ τὸ ἀξίωμα πρότερον, καὶ τότε κολάζει· οὕτω κἀνταῦθα τοῦ πνευματικοῦ ἀξιώματος χεραῖται ὁ ἄνθρωπος πρότερον, εἶτα κολάζεται·) ἢ ὅτι καὶ τῶν ἀσωμάτων αὐτῶν καθικνεῖται. Ὁ δὲ ἐν ἁγίοις Κύριλλος ἐν προσφόρῳ χωρίῳ καὶ οὕτως ἐδέξατο τὸ, *Διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς τε καὶ πνεύματος.* Τὸ περὶ τοῦ θεοῦ κήρυγμα διαιρεῖ, φησι, καὶ μερίζει τὰ τῆς ψυχῆς μέρη, δεκτικὴν αὐτὴν ποιῶν καὶ χωρητικὴν τῶν ἀκουομένων.— ΛΑΩΣ. Τὴν ἐν τοῖς εὐαγγελίοις ἀπειλουμένην *διχοτομίαν* οἱ Πατέρες ἐξέδωκαν, τὴν τελείαν τοῦ ἁγίου Πνεύματος ἐγκατάλειψιν. Ἡγοῦμαι οὖν νῦν τοῦτο εἰρῆσθαι, ὅτι χωρισμὸν ἐργάζεται τοῦ ἁγίου Πνεύματος, καὶ ἀφαιρεῖται αὐτὸ ἀπὸ τῆς ψυχῆς· οὗ γενομένου, πάντα λοιπὸν ἀφαιρεῖται τὰ ἀγαθά.— *Ἁρμῶν τε καὶ μυελῶν.*] Ἵνα μὴ τὰ τῆς ψυχῆς ἀκούσαντες ῥᾳθυμήσωσιν, ὡς ἀδήλου οὔσης τῆς κολάσεως, εἰπὼν τὰ ἀσώματα, λέγει καὶ τὰ σωματικά· τὰ γὰρ ἐμφανέστερα μᾶλλον καταπλήττει. *Καὶ κριτικὸς ἐνθυμήσεων.*] Διακρῖναι καὶ ἀνακρῖναι ἰσχύων καὶ τὰς ἐνθυμήσεις αὐτὰς, καὶ τὰς ἀφανεῖς ἐννοίας τῆς καρδίας. Τὴν θεότητα ἐνταῦθα δηλοῖ τοῦ Λόγου· θεοῦ γὰρ τὸ ἀνακρίνειν, τουτέστιν, ἐτάζειν καὶ εἰδέναι τὰς ἐνθυμήσεις· *Ἐτάζων γάρ, φησι, καρδίας καὶ νεφροὺς ὁ θεὸς* (β). *Καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ.*] Τί δὲ λέ-

(α) Ματθ. ΚΔ', 51. Λουκ. ΙΒ', 46. (β) Ψαλμ. Ζ', 10.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

γω, φησὶν, ἀνθρώπους; Οὐδὲ ἄλλη τις κτίσις διαλαθεῖν ἢ κρυβῆναι ἰσχύει ἀπὸ τοῦ ἀκοιμήτου ἐκείνου ὀφθαλμοῦ· κἂν ἀγγέλους εἴπῃς, κἂν Χερουβείμ, κἂν Σεραφείμ, πάντα δῆλά ἐστιν ἐκείνῳ. *Πάντα γυμνά.*] Οὐδέν ἐστί, φησιν, ὃ λαθεῖν δύναται τὴν ἐποπτικὴν δύναμιν τοῦ Χριστοῦ. *Πάντα γυμνά* παρ' αὐτῷ, καὶ οὐδενὶ προκαλύμματι ἢ προσωπείῳ τις ἑαυτὸν ὑποκλέψαι δύναται τῶν ὀφθαλμῶν ἐκείνων. *Καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ.*] Ἵνα ἐναργέστερον δηλώσῃ, πῶς εἰσι πάντα γυμνὰ καὶ φανερὰ ἐνώπιον τοῦ θεοῦ Λόγου, λέξει ἐχρήσατο ἀπὸ μεταφορᾶς τῶν ἐκδερομένων προβάτων. Ὥσπερ γὰρ ἐκείνων τραχηλισθέντων, ἤτοι κατὰ τοῦ τραχήλου τὴν μάχαιραν δεξαμένων καὶ σφαγέντων, μετὰ τὸ καθελκυσθῆναι τὸ δέρμα πάντα καὶ τὰ ἔνδον ἐκκαλύπτεται· οὕτω καὶ τῷ θεῷ πάντα δῆλα. Ἤ, *τετραχηλισμένα*, τὰ γυμνὰ φησὶν, ἀπὸ μεταφορᾶς τῶν προβάτων τῶν ἐκ τοῦ τραχήλου ἠρτημένων καὶ γεγυμνωμένων τῆς δορᾶς. Ἢ τὸ, *τετραχηλισμένα*, ἀντὶ τοῦ, τὰ κάτω κύπτοντα, καὶ τὸν τράχηλον ὑποκλίνοντα, διὰ τὸ μὴ ἰσχύειν ἀτενίσαι τῇ δόξῃ ἐκείνῃ τοῦ κριτοῦ καὶ θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ. Σὺ δὲ τὸ πρῶτον δέξαι. *Πρὸς ὃν ἡμῖν ὁ λόγος.*] Αὐτῷ, φησιν, ἔχομεν δοῦναι εὐθύνας τῶν πεπραγμένων, καὶ πρὸς αὐτὸν ἔχομεν τὴν ἀπολογίαν. Ὁρᾷς, ποῦ ἐκορύφωσε τὸ πρᾶγμα; Ἵνα γὰρ μὴ, ἀκούσας, Ἐν τῷ αὐτῷ ὑποδείγματι τῆς ἀπειθείας, νομίσῃς τὴν αὐτὴν κόλασιν καὶ ἡμῖν καὶ τοῖς Ἰσραηλίταις εἶναι, δείκνυσι διὰ τούτων, ὡς πολλῷ φρικτότερα τὰ ἡμέτερα.

14 Ἔχοντες οὖν ἀρχιερέα μέγαν, διεληλυθότα τοὺς οὐρανούς, Ἰησοῦν, τὸν υἱὸν τοῦ θεοῦ, κρατῶμεν
15 τῆς ὁμολογίας. Οὐ γὰρ ἔχομεν ἀρχιερέα, μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειραμένον (1) δὲ κατὰ πάντα καθ' ὁμοιότητα, χωρὶς

(1) Παρ' ἄλλοις, πεπειρασμένον.

Δημόσιο Κεντρική Βιβλιοθήκη Πάτρας

16 ἁμαρτίας. Προσερχώμεθα οὖν μετὰ παῤῥησίας τῷ θρόνῳ τῆς χάριτος, ἵνα λάβωμεν ἔλεον, καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν.

Ἵνα οὖν μὴ ὑποπέσωμεν ταῖς φοβεραῖς ἐκείναις εὐθύναις, *ἔχοντες μέγαν ἀρχιερέα, κρατῶμεν τῆς ὁμολογίας*· τουτέστι, Μὴ ἐάσωμεν τὴν εἰς αὐτὸν πίστιν, ἀλλὰ ἅπαξ λαβόντες, ἀποσφίγξωμεν αὐτὴν παρ' ἑαυτοῖς. Τί δέ ἐστι τὸ, *διεληλυθότα τοὺς οὐρανούς*; Οὐχ ὥσπερ, φησὶ, μὴ ἰσχύσας Μωσῆς εἰσελθεῖν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, οὐδὲ τὸν λαὸν εἰσήγαγεν· ἀλλ' ὁ Χριστὸς καὶ διῆλθε τοὺς οὐρανοὺς, καὶ ἐκάθισεν ἐπὶ τὸν πατρικὸν θρόνον. Τοιγαροῦν καὶ ἡμᾶς ἰσχύει εἰσαγαγεῖν. *Ἀρχιερέα* δὲ αὐτὸν καλεῖ, διὰ τὸ θυσίαν ἑαυτὸν προσενέγκαι ὑπὲρ ἡμῶν τῷ πατρί· τὸ γὰρ προσφέρειν ὑπὲρ τοῦ λαοῦ θυσίας, ἴδιον ἱερέως. *Οὐ γὰρ ἔχομεν ἀρχιερέα.*] Κρατῶμεν οὖν τῆς εἰς αὐτὸν ὁμολογίας καὶ πίστεως· οὐ γὰρ τοιοῦτον ἔχομεν ἀρχιερέα, ὃς οὐκ οἶδε συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν. Οἶδε, φησὶν, ὅτι διὰ τοὺς πολλοὺς πειρασμοὺς ἐκλέλυσθε καὶ ἠσθενήκατε· δύναται οὖν συγγινώσκειν. *Πεπειραμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα.*] Πεπείραται γάρ, φησι, κατὰ πάντα, ὥσπερ ἡμεῖς· καὶ ἐδιώχθη, καὶ ἐσκώφθη, καὶ ἐνεπτύσθη· τέλος δὲ καὶ ἐσταυρώθη. Πάντα δὲ ταῦτα ὑπέμεινε *καθ' ὁμοιότητα* τὴν ἡμετέραν, τουτέστι, παραπλησίως ἡμῖν, *χωρὶς* μέντοι *ἁμαρτίας*. Οὔτε γὰρ ἁπλῶς ἁμαρτίαν εἰργάσατο, οὔτε ὅτε ταῦτα ἔπασχεν, ἁμαρτητικόν τι ἢ εἶπεν ἢ ἔδρασε. Τοῦτο δὲ εἰπὼν, δηλοῖ, αὐτοὺς εἰς ἁμαρτίαν ἐμπίπτοντας ἐκ τῶν πειρασμῶν, τῷ ἄγαν ἐκλελύσθαι καὶ ἠσθενηκέναι. Τινὲς δὲ τὸ, *χωρὶς ἁμαρτίας*, οὕτως ἐνόησαν· ὅτι οὐχ ἁμαρτιῶν ἐτίννυε δίκας, ταῦτα πάσχων. Διχόθεν δὲ κατασκευάζει, ὅτι συμπαθήσει ταῖς ἀσθενείαις ἡμῶν. Καθ' ἕνα μὲν τρόπον, ὅτι μέγας ἐστὶ καὶ δυνατὸς, ὡς υἱὸς θεοῦ καὶ θεός· καθ' ἕτερον δὲ, ὅτι καὶ αὐτὸς ὡς ἄνθρωπος ἔπαθε, καὶ πεῖραν ἔχει τῶν θλίψεων, καὶ τῆς κατὰ σάρκα ἀσθενείας· καὶ δι' ἄμφω ταῦτα πάντως συμπαθὴς ἔσται ταῖς ἀσθενείαις ἡμῶν. *Προσερχώμεθα*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὖν μετὰ παῤῥησίας τῷ θρόνῳ τῆς χάριτος.] Ἐπειδὴ, φησὶν, ἀναμάρτητον ἔχομεν ἀρχιερέα, καταγωνισάμενον τὸν κόσμον, ὀφείλομεν προσέρχεσθαι τῷ πατρῴῳ αὐτοῦ θρόνῳ, ἔνθα κεκάθικε, *μετὰ παῤῥησίας*. *Μετὰ παῤῥησίας δὲ*, ἢ μηδὲν πρὸς τὴν πίστιν διστάζοντες, ἢ ὅτι νενίκηκε τὸν κόσμον· δῆλον οὖν ὅτι νικήσει καὶ τοὺς νῦν ἡμᾶς θλίβοντας. Ἢ ὅτι οὐκ ἔστι νῦν ὁ θρόνος, θρόνος κρίσεως, ἀλλὰ χάριτος. Πρόσελθε οὖν, κἂν ἁμαρτωλὸς ᾖς. — *Θρόνον χάριτος*, τὸν θρόνον τὸν βασιλικόν φησι, περὶ οὗ φησιν· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου (α). Θρόνος γὰρ χάριτός ἐστιν, οὐ θρόνος κρίσεως νῦν. Διὰ τοῦτο, *μετὰ παῤῥησίας*, φησίν. — *Ἵνα λάβωμεν ἔλεον, καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν.*] Καλῶς δὲ εἶπεν, *εὔκαιρον βοήθειαν*. Ἂν νῦν προσέρχῃ, φησὶ, λήψῃ χάριν καὶ ἔλεον· εὐκαίρως γὰρ προσέρχῃ· ἂν δὲ τότε προσέλθῃς, οὐκέτι· ἄκαιρος γὰρ ἡ πρόσοδος. Οὐ γάρ ἐστι τότε θρόνος χάριτος. Νῦν κάθηται χαριζόμενος ὁ βασιλεύς· τότε ἐγείρεται εἰς κρίσιν. Ἀγάστα γάρ, φησιν, ὁ θεὸς, κρίνων τὴν γῆν (β).— *Εἰς εὔκαιρον βοήθειαν*. Νῦν γὰρ ὁ προσιὼν λαμβάνει ἔλεον καὶ χάριν· εὔκαιρος γὰρ νῦν καὶ ἐπιτηδεία ἡ πρόσοδος, καὶ ἡ τῆς βοηθείας αἴτησις, ὡς ἦγε ἐν τῇ κρίσει ἐπὶ βοηθείᾳ πρόσοδος, ἄκαιρος. Ἐκεῖ γὰρ, οὐκέτι κατὰ χάριν παρέξει τὴν βοήθειαν, ὥσπερ νῦν, ἀλλὰ κατὰ κρίσιν.

ΚΕΦ. V, 1 Πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν
2 θεὸν, ἵνα προσφέρῃ δῶρά τε καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν· μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι καὶ πλανω-
3 μένοις· ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν· καὶ διὰ ταύτην ὀφείλει, καθὼς περὶ τοῦ λαοῦ, οὕτω καὶ
4 περὶ ἑαυτοῦ προσφέρειν ὑπὲρ ἁμαρτιῶν. Καὶ οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τιμὴν, ἀλλὰ καλούμενος
5 ὑπὸ τοῦ θεοῦ, καθάπερ καὶ Ἀαρών. Οὕτω καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασε γενηθῆναι ἀρχιερέα,

(α) Ψαλμ. ΡΘ', 1. (β) Ψαλμ. ΠΑ', 8.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀλλ' ὁ λαλήσας πρὸς αὐτόν· «Υἱός μου εἶ σὺ, ἐγὼ
6 σήμερον γεγέννηκά σε (α).» Καθὼς καὶ ἐν ἑτέρῳ
λέγει· «Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν
Μελχισεδέκ (β).»

Θέλει ἐνταῦθα δεῖξαι, ὅτι μείζων ἡ νέα διαθήκη τῆς παλαιᾶς· καὶ τοῦτο ποιεῖ τέως, ὡς ἀπὸ τῶν ἀρχιερέων τὴν σύγκρισιν εἰσάγων· ὅτι ἐκείνη μὲν, ἀνθρώπους εἶχεν ἀρχιερέας· αὕτη δὲ, τὸν Χριστόν. *Ἐξ ἀνθρώπων λαμβανόμενος.*] Τουτέστι, προβαλλόμενος. Εἰ δὲ ὁ ἐξ ἀνθρώπων λαμβανόμενος, μετριοπαθεῖ τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις, πόσῳ μᾶλλον ὁ μετὰ τοῦ ἄνθρωπος εἶναι καὶ θεὸς ὤν, μετριοπαθήσει καὶ χεῖρα ὀρέξει τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις; Εἰδ' οὕτω νοηθείη, καὶ τὸ, *λαμβανόμενος*, ἑτοιμότερον ἐκληφθήσεται ἀντὶ τοῦ, ἀφοριζόμενος. Εἷς ὢν τῶν ἀνθρώπων, καὶ ἐξ αὐτῶν εἰς ἀρχιερέα λαμβανόμενος. *Ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν θεόν.*] Ἐξ ἀνθρώπων, φησὶ, προβαλλόμενος, ὑπὲρ τῶν προβαλλομένων ἀνθρώπων γίνεται ἐν τοῖς εἰς θεὸν ἀνήκουσι πράγμασι. Ποῖα δὲ τὰ εἰς θεὸν ἀνήκοντα πράγματα, αὐτός φησιν· *Ἵνα προσφέρῃ δῶρά τε καὶ θυσίας ὑπὲρ τῶν τοῦ λαοῦ ἁμαρτημάτων. Μετριοπαθεῖν.*] Ἤγουν, συμπαθεῖν, συγκαταβαίνειν, καὶ συγγινώσκειν *τοῖς ἀγνοοῦσιν*, ἤτοι, τοῖς ἐξ ἀγνοίας ἁμαρτάνουσι, *καὶ πλανωμένοις. Ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν.*] Ἡ μὲν ἁπλουστέρα ἐκδοχὴ, οἶμαι δὲ καὶ ἀληθεστέρα, αὕτη ἐστὶν, ὅτι διὰ τοῦτο μετριοπαθεῖ ὁ ἀρχιερεὺς τοῖς ἀγνοοῦσι· διότι καὶ αὐτὸς ἀσθένειαν περίκειται· καὶ εἰδὼς τὸ μέτρον τῆς ἀνθρωπίνης ἀσθενείας ἐφ' ἑαυτῷ, ἐπιμετρεῖ καὶ τὴν συγγνώμην. Ἢ ἐν τούτῳ μόνῳ διαφέρει τοῦ λαοῦ ὁ ἀρχιερεὺς, ἐν τῷ μετριοπαθεῖν καὶ συγγινώσκειν τοῖς πλανωμένοις· ἐπεὶ τά γε ἄλλα καὶ αὐτὸς ἀσθένειαν ἴσως τοῖς πολλοῖς περίκειται. *Ἀσθένειαν* δὲ τὰς ἁμαρτίας λέγει, ἢ τὰς θλίψεις καὶ τοὺς πειρασμούς. Ἀλλὰ τὸ, *περὶ*

(α) Ψαλμ. Β', 7. (β) Ψαλμ. ΡΘ', 14.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

ἁμαρτιῶν, εἰπὼν, σαφῶς ἐδήλωσεν, ὅτι *ἀσθένειαν* τὴν ἁμαρτίαν ἐκάλεσεν. *Καὶ διὰ ταύτην ὀφείλει.*] Ἐπειδὴ καὶ αὐτός, φησιν, ὑπὸ ἁμαρτίας ἐστὶν, ὀφείλει τὴν προσφορὰν κοινὴν ποιεῖσθαι ὑπέρ τε τῶν ἰδίων καὶ τῶν τοῦ λαοῦ ἁμαρτημάτων. *Προσφέρειν ὑπὲρ ἁμαρτιῶν.*] Τὴν περὶ ἁμαρτιῶν, φησι, θυσίαν. *Καὶ οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τιμήν.*] Καὶ ἕτερον λέγει γνώρισμα ἀρχιερέως, ἐμφαινόμενον καὶ τῷ Χριστῷ, τὸ μὴ ἑαυτὸν ἐπιπηδᾶν πρὸς τὴν τῆς ἱερωσύνης τιμὴν, ἀλλὰ καλούμενον ὑπὸ τοῦ θεοῦ, οὕτω ταύτην ἀναδέχεσθαι. Αἰνίττεται δὲ ἐνταῦθα τοὺς τότε ἀρχιερεῖς τῶν Ἰουδαίων, μὴ ὄντας τῇ δυνάμει ἀρχιερέας, διὰ τὸ αὐτοὺς ἐπιτηδᾶν τῇ ἱερωσύνῃ καὶ ὤνιον αὐτὴν πεποιηκέναι. *Καθάπερ καὶ Ἀαρών.*] Πολλαχοῦ γὰρ ὁ Ἀαρὼν ὑπὸ θεοῦ ἀρχιερεὺς ἀνεδείχθη. Καὶ γὰρ κατ' ἀρχὰς ὑπὸ θεοῦ διὰ Μωσέως κληθεὶς, οὕτως ἱεράσατο, οὐκ αὐτὸς ἐπιπηδήσας (α). Καὶ αὖ ὅτε ἡ ῥάβδος ἐβλάστησεν (β), ἐδείχθη ὅτι θεοπρόβλητος ἦν· καὶ ὅτε τὸ πῦρ κατέφαγε τοὺς ἐπιπηδήσαντας τῇ ἱερωσύνῃ (γ). *Οὕτω καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασε γενηθῆναι ἀρχιερέα.*] Τέως καὶ τοῦτο φησί· Πρῶτος ἀρχιερεὺς ὁ Χριστὸς, ὅτι μὴ ἀφ' ἑαυτοῦ εἰς τὴν ἱερωσύνην εἰσῆλθεν, ἀλλ' ἀπὸ τοῦ πατρὸς κεχειροτονημένος. Δεικνύων οὖν ἐν φανεροῖς ἰδιώμασιν ὄντα αὐτὸν ἀρχιερέα κατὰ τὴν τῶν ἀρχιερέων συνήθειαν, ἐν τοῖς ἄλλοις ὑπερτίθησι, καθόσον ὑπερέχειν ὤφειλε θεὸς ἀνθρώπων. *Ἀλλ' ὁ λαλήσας πρὸς αὐτόν.*] Ὁ τοῦτο, φησὶν, εἰρηκὼς πρὸς αὐτὸν θεὸς, ἐχειροτόνησεν αὐτὸν ἀρχιερέα. *Καθὼς καὶ ἐν ἑτέρῳ λέγει.*] Τὸ, *Καὶ*, ὡς πρὸς τὴν ἀκολουθίαν τῆς ἑρμηνείας, παρέλκεται. *Κατὰ τὴν τάξιν Μελχισεδέκ.*] Οὗτος πρῶτος ἀναίμακτον θυσίαν προσήνεγκε τῷ θεῷ, ἄρτον καὶ οἶνον. Ἢ ὅτι καὶ ὁ Χριστὸς ἀναίμακτον θυσίαν προσήνεγκε· ταύτην γὰρ πρότερον προσήνεγκεν, εἶθ' ὕστερον καὶ τὸ ἑαυτοῦ σῶμα. Ἢ ὅτι, ὥσπερ ἐκεῖνος δι' ἄρτου καὶ οἴνου

(α) Ἐξοδ. ΚΗ'. 1. (β) Ἀριθ. ΙΖ', 8. (γ) Ἀριθ. ΙΣ'.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ηὐλόγησε τὸν Ἀβραάμ, οὕτω καὶ νῦν ἀπὸ Χριστοῦ εἰ ἱερεῖς ἄρτον καὶ οἶνον ἀναφέρουσιν ἱερουργοῦντες. Αὐτὸς γὰρ πρῶτος τὸ μυστικὸν παρέδωκε δεῖπνον· διὸ καὶ, *εἰς τὸν αἰῶνα*, εἴρηκεν, εἰς τὸν τρόπον τῆς τοιαύτης ἱερουργίας ἀφορῶν. Διὰ τοῦτο οὖν ἀναλόγως εἴρηται ἀρχιερέα εἶναι τὸν Χριστὸν κατὰ τὴν τάξιν Μελχισεδέκ. — Ὅτι οὐ δι' ἐλαίου εἰς ἱερωσύνην ἐχρίσθη ὁ Μελχισεδέκ, ὡς Ἀαρών· καὶ ὅτι οὐ τὰς δι' αἱμάτων προσήγαγε θυσίας· καὶ ὅτι τῶν ἐθνῶν ἦν ἀρχιερεύς· καὶ ὅτι δι' ἄρτου καὶ οἴνου ηὐλόγησε τὸν Ἀβραάμ. — Δηλοῖ ὁ λόγος, ὅτι εἰ καὶ μὴ αὐτὸς ὁ Χριστὸς ἀναίμακτον προσήγαγε θυσίαν· (προσήγαγε γὰρ τὸ ἑαυτοῦ σῶμα·) ἀλλ' οἵ γε ἀπ' αὐτοῦ ἱερεῖς, ὧν θεὸς καὶ ἀρχιερεὺς ἄξιοί εἶναι, ἀναίμακτον προσοίσουσι. Τοῦτο γὰρ δηλοῖ τὸ, *εἰς τὸν αἰῶνα*. Οὐ γὰρ τὴν προσάπαξ γενομένην ὑπὸ θεοῦ θυσίαν καὶ προσφορὰν εἶπεν ἄν, *εἰς τὸν αἰῶνα*, ἀλλ' ἀφορῶν εἰς τοὺς νῦν ἱερουργούς, δι' ὧν μέσων Χριστὸς ἱερουργεῖ καὶ ἱερουργεῖται, ὁ καὶ παραδοὺς αὐτοῖς ἐν τῷ μυστικῷ δείπνῳ τὸν τρόπον τῆς τοιαύτης ἱερουργίας.

7 Ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ, δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας,
8 καίπερ ὢν υἱός, ἔμαθεν, ἀφ' ὧν ἔπαθε, τὴν
9 ὑπακοήν· καὶ τελειωθεὶς, ἐγένετο τοῖς ὑπακούου-
10 σιν αὐτῷ πᾶσιν αἴτιος σωτηρίας αἰωνίου, προσαγορευθεὶς ὑπὸ τοῦ θεοῦ ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ.

Ὃς *ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ.*] Οὐ διὰ τοῦτο εἶπεν, *ἡμέρας σαρκὸς*, τὰς καθ' ἃς ἦν ὁ Κύριος ἐπὶ γῆς αἰσθητῶς, ὡς νῦν ἀποθεμένου αὐτοῦ τὴν σάρκα· ἄπαγε! (ἔχει γὰρ αὐτὴν, εἰ καὶ ἄφθαρτον, καὶ ἀνωτέραν καὶ αὐτῶν τῶν σαρκικῶν καὶ ἀδιαβλήτων παθῶν, πείνης, δίψης, κάπου, καὶ τῶν τοιούτων·) ἀλλ', *ἡμέρας*, φησὶ, *σαρκὸς*, οἷον τὰς ἐν τῇ σαρκικῇ ζωῇ αὐτοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡμέρας. *Δεήσεις καὶ ἱκετηρίας, καὶ τὰ ἑξῆς.*] Οὐ μόνον δεήσεις καὶ ἱκετηρίας, ἀλλὰ καὶ μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσέφερε. Τοῦτο δὲ συγκαταβαίνων αὐτοῖς ὁ Παῦλος εἶπε. *Καὶ εἰσακουσθείς.*] Τοσοῦτον, φησίν, εἰσηκούσθη, ὅτι καὶ ἀνέστη. Τοῦτο δὲ εἶπε διὰ τὴν σάρκα, καὶ διὰ τὴν ἀσθένειαν τῶν ἀκουόντων, οὔπω μεγάλας ἐχόντων περὶ Χριστοῦ δόξας. *Ἀπὸ τῆς εὐλαβείας.*] Οὐ τοσοῦτόν, φησι, χάριτι τοῦ πατρὸς, ὅσον ἀπὸ τῆς οἰκείας εὐλαβείας εἰσηκούσθη. Τοσαύτη γὰρ ἦν αὐτοῦ ἡ εὐλάβεια, ὅτι καὶ ᾐδέσθη αὐτὸν [ὁ πατήρ. Τῶν δὲ ταπεινῶν τούτων ῥημάτων δύω αἴτια, ἥ τε σάρξ, καὶ ἡ ἀσθένεια τῶν ἀκουόντων. *Καίπερ ὢν υἱὸς, ἔμαθεν, ἀφ' ὧν ἔπαθε, τὴν ὑπακοήν.*] Τοσοῦτόν, φησιν, ὑπήκουσεν· (ὑπήκουσε δὲ, ὡς πρέπει ὑπακούειν υἱὸν πατρί·) ὅτι μετὰ τὸ ἐνανθρωπῆσαι, καὶ σταυρὸν καὶ θάνατον ὑπέμεινεν. *Ἔμαθε δὲ ἀφ' ὧν ἔπαθεν.* Ἤδει μέν, φησι, τὶς ὁ θάνατος, θεὸς ὤν· (τί γὰρ λέληθε θεόν;) ἀλλὰ καὶ ἐξ ὧν ἔπαθεν, ἔμαθεν· οὐ μόνον καθὸ ἦν θεὸς, ἀλλὰ καὶ καθὸ ἦν ἄνθρωπος, πεῖρα μαθὼν τὸν θάνατον (1).— ΛΑΟ. Τρίζητεῖται μάλιστα ἐνταῦθα· ἓν μὲν, πῶς φησιν, ὅτι εἰσηκούσθη, καίτοι αὐτὸς μὲν παρελθεῖν ἐδεῖτο τὸν θάνατον· ὁ δὲ οὐ παρῆλθε· καὶ γὰρ ἐσταυρώθη, καὶ ἀπέθανε. Δεύτερον δὲ, ἀπὸ ποίας εὐλαβείας εἰσακουσθῆναι αὐτόν φησι. Καὶ τρίτον τὸ, *καίπερ ὢν υἱὸς*, τίνι συναπτέον, τῷ, *εἰσηκούσθη ἀπὸ τῆς εὐλαβείας*, ἢ τοῖς ἑφεξῆς, ἵνα ᾖ, *Καίπερ ὢν υἱὸς*,

(1) « Ἡμέρας τῆς σαρκὸς, τὸν τῆς ὑνητότητος ἔρη καιρὸν, τυτέστιν, ἡνίκα ὑνητὸν εἶχε τὸ σῶμα. Δεήσεις δὲ καὶ ἱκετηρίας λέγει τὴν εὐχὴν, ἣν παρὰ τὸ πάθος προσηύξατο. Πάτερ, εἰπὼν, εἰ δυνατὸν, παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ (Ματθ. Κς, 39.). Τὸ δὲ, ἔμαθεν, ἀφ' ὧν ἔπαθε, τὴν ὑπακοὴν, ὑπερβολικῶς ὁ ἀπόστολος τέθεικε. Τὴν γὰρ ὑπακοὴν οὐ μετὰ τὸ πάθος, ἀλλὰ πρὸ τοῦ πάθους ἐπεδείξατο. Τελείωσιν δὲ, τὴν ἀνάστασιν καὶ τὴν ἀθανασίαν ἐκάλεσε. Τοῦτο γὰρ τῆς οἰκονομίας τὸ πέρας. Ὑπερβολικῶς δὲ ἅπαντα τέθεικε τὰ παθήματα, οὐ μόνον δεῖξαι βουλόμενος τὸ τῆς ἐνανθρωπήσεως ἀληθὲς, ἀλλὰ καὶ ἐκεῖνον εὐσεβῶν τὸν λύγον, ὃν ἤδη προείρηκεν. Οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειραμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα, χωρὶς ἁμαρτίας· ἵνα καὶ ταύτῃ προτρέψῃ τούτους, οἳς ἔγραφεν, ἐπιμεῖναι τῇ πίστει, καὶ θαῤῥῆσαι τῇ τοῦ ἀρχιερέως συμπαθείᾳ τε καὶ φιλανθρωπίᾳ. » Θεοδώρητος.

Δημόσιο Κεντρικὴ Βιβλιοθήκη Βέροιας

ἔμαθεν, ἀφ' ὧν ἔπαθε, τὴν ὑπακοήν; διαφορὰ γὰρ τούτων οὐκ ὀλίγη. Ἀλλὰ πρὸς μὲν τὸ πρῶτόν φαμεν, ὅτι οὐκ ἦν ἡ δέησις μία καὶ ἁπλῆ, ἀλλὰ διπλῆ τις· ἡ μέν, παραιτουμένη τὸν θάνατον· Πάτερ γάρ, φησίν, εἰ δυνατόν ἐστι, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο (α)· ἡ δέ, αἰτουμένη αὐτόν· καὶ γάρ φησιν ἐν τῇ αὐτῇ εὐχῇ καὶ δεήσει· Πλὴν μὴ τὸ ἐμὸν θέλημα, ἀλλὰ τὸ σὸν γενέσθω. Καὶ τοῦτο σαφέστερον δηλῶν ὁ Ἰωάννης, φησίν, αἰτεῖσθαι τὸν υἱόν, λέγοντα· Πάτερ, δόξασόν σου τὸν υἱόν, ἵνα καὶ ὁ υἱός σου δοξάσῃ σε (β)· *δόξαν*, τὸν σαυρὸν καὶ τὸν θάνατον ὀνομάζοντα. Ὥστε καλῶς φησὶν ὁ θεῖος Παῦλος, *εἰσακουσθείς*· τὸ δέ, *ἀπὸ τῆς εὐλαβείας*, ἐγγὺς γέγονεν ἐκ τῶν εἰρημένων τοῦ σεσαφηνίσθαι. Δύο γὰρ ἔφημεν αἰτήσεις, τὴν μὲν παραιτήσεως τοῦ θανάτου, τὴν δὲ συγκατανεύσεως· ὅπερ ἦν ὡς ἀληθῶς πολλῆς εὐλαβείας· Πλὴν μὴ τὸ ἐμὸν θέλημα, ἀλλὰ τὸ σὸν γενέσθω. Εἰσηκούσθη τοίνυν ὁ Χριστὸς οὐκ ἀπὸ τῆς παραιτήσεως, ἀλλ' ἀπὸ τῆς εὐλαβείας, τουτέστιν, ἐκείνη ἡ αἴτησις αὐτοῦ ἐξέβη, οὐχὶ ἡ κατὰ τὴν παραίτησιν, ἀλλ' ἡ κατὰ τὴν εὐλάβειαν. Διό φησι, *καὶ τελειωθείς*, τουτέστι, διὰ παθημάτων, καὶ σταυροῦ, καὶ θανάτου τέλειος ἡμῖν ἐπιγνωσθείς, καὶ ὑπὲρ λόγον ἀγαθὸς καὶ φιλάνθρωπος. Τοῦτο δὲ καὶ ἄνωθεν ὑπεδήλου, *δεήσεις*, λέγων, *καὶ ἱκετηρίας*, τὸ διπλοῦν τῆς αἰτήσεως αἰνιττόμενος. Εἶτα *δεήσεις* εἰπὼν καὶ *ἱκετηρίας*, οὐκ ἐπήγαγεν, Ὑπὲρ τοῦ παρελθεῖν τὸν θάνατον, ἀλλά, *Πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου*, καλῶς καὶ πανσόφως τοῦτο προσθείς, ἵνα, ὅταν ἐννοῇς αὐτὸν σταυρούμενον καὶ θαπτόμενον, μὴ ἀδυναμίᾳ τοῦ πατρὸς αὐτὸν τοῦτο νομίσῃς ὑπομεμενηκέναι, ἀλλ' ὅτι κοινὸν θέλημα ἦν τὸ ταῦτα παθεῖν τὸν Χριστὸν ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας. Δύναται δὲ τοῦτο εἰρῆσθαι καὶ διὰ τὴν ἀνάστασιν. Πολλαχοῦ γὰρ ταπεινότερα ὁ θεῖος Παῦλος φθεγγόμενος, τὸν πατέρα φησὶν ἀναστῆσαι τὸν Χριστόν. Ἀναστήσας οὖν αὐτὸν,

(α) Ματθ. ΚϚ', 39. (β) Ἰωαν. ΙΖ, 1.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐρρύσατο αὐτὸν ἐκ τοῦ θανάτου, καὶ διέσωσεν. Ἀλλ' οὕτω μὲν κατ' ἐμὴν γνώμην ταῦτα. Τὸ δὲ, *καίπερ ὢν υἱὸς*, εἴ τις καθ' ὑπερβατὸν ἐκλάβοι· (ἄπειρος δὲ ἡ τούτου χρῆσις τῷ θεσπεσίῳ Παύλῳ·) ἀβίαστος ἂν ἡ ἔννοια προαχθείη, οἷον· Ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ, *καίπερ* ὢν υἱὸς, δεήσεις καὶ ἱκετηρίας, καὶ ἐξῆς· τουτέστι, Καίπερ προνόμιον μέγιστον ἔχων ὡς υἱὸς, τὸ χωρὶς δεήσεως καὶ αἰτήσεως αὐτοδεσπότῳ γνώμῃ πάντα ποιεῖν, ἃ καὶ ὁ πατὴρ ποιεῖ, ὅμως, ἐπειδὴ ἐν ταῖς ἡμέραις ἦν τῆς σαρκὸς, δεήσεις καὶ ἱκετηρίας προσέφερε. Δύναται δὲ καὶ κατὰ ἀκολουθίαν ὡς ἔχει τάξεως συναρθῆναι τῷ, *Καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας*, οἷον, Εἰσηκούσθη, φησὶ, *καίπερ ὢν υἱὸς*, καὶ μὴ δεόμενος εἰσακουσθῆναι, ἅτε σύνδρομον ἔχων τὸ θέλημα τῷ πατρικῷ βουλήματι, καὶ χωρὶς πάσης ἐκπληρούμενον αἰτήσεως. Εἰ δὲ καὶ τοῖς ἑφεξῆς αὐτὸ συνάψεις, ὁ νοῦς εὐοδωθήσεται. Ἀλλὰ πρότερον σκεπτέον, τί δηλοῖ τὸ, *Ἔμαθεν, ἀφ' ὧν ἔπαθε, τὴν ὑπακοήν*; Ἆρα γὰρ, ὅτι ἔμαθεν αὐτὸς, ἀφ' ὧν ἔπαθε, τῷ πατρὶ ὑπακούειν, καὶ πείρᾳ τὴν γνῶσιν ἔσχε τοῦ πειθαρχεῖν αὐτῷ; ἢ μᾶλλον, ὅτι πείρᾳ ἔμαθε τὸ μέγεθος τῆς ὑπακοῆς ἡλίκον ἦν, ὑπήκουσεν αὐτῷ ὁ πατὴρ, οἷον, τὸ σταυρωθῆναι αὐτὸν καὶ ἀποθανεῖν, καὶ ἀναστῆναι, καὶ ἐν δεξιᾷ τοῦ πατρὸς τὸ ἀνθρώπινον φύραμα ἀνυψῶσαι, καὶ σῶσαι τὸ γένος ἡμῶν; Ταῦτα γὰρ ἐκείνης ἐστὶ τῆς ὑπακοῆς, τῆς γεγενημένης ἐν τῷ λέγειν· Πάτερ, δόξασόν σου τὸν υἱόν. Ταύτην γὰρ τὴν ὑπακοὴν, ἡλίκη καὶ ὅση, καὶ πρὸ τοῦ ὑπακοῦσαι τὸν πατέρα, ᾔδει μὲν ὁ Χριστὸς ὡς υἱὸς καὶ θεὸς, καθάπερ καὶ ὁ πατήρ· εἰσακουσθεὶς δὲ, ἔμαθεν αὐτὴν δι' ὧν ἔπαθε καὶ πείρᾳ. Ὡς ἂν οὖν τις ἐθέλοι, δύναται τοῦτο ἐκλαβεῖν· ἐμοὶ δὲ μᾶλλον ἡ δευτέρα ἔννοια συμβαίνειν δοκεῖ. Οὐδεμίαν οὖν ἔτι ἀσάφειαν ἔχει τὸ, *καίπερ ὢν υἱὸς* (Φωτίου).—*Καὶ τελειωθεὶς.*] Τοῦτο ἄρα τελείωσις ἐν ἀνθρώποις, τὸ διὰ παθημάτων ἐπιλαβέσθαι τελειότητος. Ἀνθρωποπρεπῶς δὲ πάντα εἴρηκεν. Ἰδοὺ καὶ θεοπρεπές· *Ἐγένετο* τοῖς ὑπακούου-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σιν αὐτῷ πᾶσιν αἴτιος σωτηρίας αἰωνίου.] Τουτέστιν, οὐ μόνον αὐτὸς ἐσώθη, ἀλλὰ καὶ ἑτέροις σωτηρίαν προεξένησε· καὶ οὐ πρόσκαιρον, οἷον ἐκ πολέμων, ἀλλ' αἰώνιον. Τίσι τούτοις; Τοῖς ὑπακούουσι. Πῶς οὖν ὑμεῖς ἀπειθεῖτε, καὶ κινδυνεύετε τῆς σωτηρίας ἐκπεσεῖν; Ὁρᾷς, ὅτι τὸ πᾶν τοῦ λόγου οὕτως ἐσχημάτισται διὰ τὴν τῶν ἀκουόντων μικροψυχίαν; Πλὴν ὅρα καὶ ταῦθα τὸ ὑψηλόν! *Αἴτιος* γάρ, φησι, *σωτηρίας ἐγένετο*· ὅπερ τῆς Θεότητος· οὐδεὶς γὰρ ἄλλος, εἰ μὴ Θεὸς, τοιαύτης σωτηρίας αἴτιος. *Προσαγορευθεὶς ὑπὸ τοῦ θεοῦ ἀρχιερεύς.*] Διότι, φησὶν, ἔπαθε, διὰ τοῦτο ἀρχιερεὺς προσηγορεύθη, ὡς ἑαυτὸν προσενέγκας. Πλὴν εἰ καὶ αἷμα προσήνεγκεν, ἀλλ' οὖν οὐ κατὰ τὴν τάξιν τῶν Ἰουδαϊκῶν ἀρχιερέων, ἀλλὰ κατὰ τὴν τοῦ Μελχισεδέκ. Ὥσπερ γὰρ ἐκεῖνος οὐχ ὑπὸ ἀνθρώπου ἐχρίσθη· οὕτως οὐδὲ ὁ Χριστὸς, ἀλλ' ὑπὸ θεοῦ, τῷ ὁμοουσίῳ αὐτοῦ Πνεύματι. Ὥσπερ γὰρ ἐκεῖνος οὐ νομικὰς προσῆγε θυσίας· οὕτως οὐδὲ οὗτος. Ἐκεῖνος βασιλεύς· οὕτω καὶ οὗτος· καὶ μυρία ἄλλα.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ἐπιτίμησις τοῖς ἔτι δεομένοις τῆς στοιχειώδους εἰσαγωγῆς· ἐν ᾧ, προτροπὴ εἰς ἐπίδοσιν, ὡς οὐκ οὔσης δευτέρας ἀρχῆς· παράκλησις σὺν ἐπαίνῳ.

11 Περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος καὶ δυσερμήνευτος
12 λέγειν· ἐπεὶ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς. Καὶ γὰρ ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, πάλιν χρείαν ἔχετε τοῦ διδάσκειν ὑμᾶς, τίνα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ θεοῦ· καὶ γεγόνατε χρείαν ἔχοντες γάλακτος, καὶ οὐ στερεᾶς
13 τροφῆς. Πᾶς γὰρ ὁ μετέχων γάλακτος, ἄπειρος

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

14 λόγου δικαιοσύνης· νήπιος γάρ ἐστι· τελείων δέ ἐστιν ἡ στερεὰ τροφή, τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ.

Περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος καὶ δυσερμήνευτος.] Εἰπὼν τὰ τοσαῦτα ταπεινὰ τῆς ἐνανθρωπήσεως, ἠβούλετο μεταβῆναι καὶ ἐπὶ τὰ θεοπρεπῆ· ἀλλ' ἀσθενεῖς ἔτι ὄντες, πρὸς οὓς ὁ λόγος, οὐκ ἴσχυον τελειοτέρων ἀκούειν δογμάτων· εἰμὴ γὰρ ἦσαν ἀσθενεῖς, πάλαι ἂν τῶν ὑψηλοτέρων ἐμνήσθη. Διὰ τὴν ὑμετέραν οὖν, φησιν, αἰτίαν, ὅτι νωθροί ἐστε, καὶ τὰ τελειότερα οὐ χωρεῖτε, δυσερμήνευτός ἐστιν ὁ λόγος ὁ περὶ τοῦ, πῶς ἐστιν ὁ Χριστὸς ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ. Καὶ διότι οὐ συνίετε ὑμεῖς, διὰ τοῦτο ἐγὼ καλῶς ἑρμηνεῦσαι οὐ δύναμαι. **Ἐπεὶ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς.**] Οἱ πειρασμοί, φησι, καὶ αἱ θλίψεις, νωθρούς ὑμᾶς ἐποίησαν, καὶ οὐ δύνασθε τελείων ἀκούειν λόγων. **Καὶ γὰρ ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον.**] Μετὰ ἐγκωμίου προσάγει τὴν κατηγορίαν. Νωθροὶ γάρ, φησι, καὶ ῥᾴθυμοί ἐστε, καίτοι ὀφείλοντες καὶ ἑτέρους διδάσκειν διὰ τὸν χρόνον. Οὕτω δὲ δείκνυσιν ἐκ πολλοῦ πεπιστευκότας αὐτοὺς, καὶ μυστηρίων ἀκούσαντας· ἄμφω δὲ ταῦτα ἐπαίνου ἄξια, εἴπερ αὐτοὶ μὴ ἐῤῥᾳθύμησαν. Ὁ χρόνος, φησὶ, μᾶλλον ἰσχυροὺς ποιεῖ· ὑμεῖς δὲ μάτην τούτῳ κατεχρήσασθε ἐκλυθέντες.—Καὶ γὰρ ὀφείλοντες διδάσκαλοι εἶναι, οὐ μόνον οὐκ ἐστὲ διδάσκαλοι, ἀλλ' οὐδὲ μανθάνειν δύνασθε, εἰ μὴ τὰ στοιχειωδέστερα καὶ ταπεινὰ καὶ ἁπλούστερα· καὶ ταῦτα οὐχ ἁπλῶς, ἀλλ', ὃ ἔτι ἀσθενέστερον, **τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ θεοῦ.** Οὐ τῶν λογίων δέ φησι τὰ στοιχεῖα, ἀλλὰ, τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων. Εἴη δ' ἂν **στοιχεῖα** μὲν εἰκότως τῶν τοῦ θεοῦ λογίων, οἱ περὶ ἐνανθρωπήσεως λόγοι· **ἀρχῆς δὲ λογίων στοιχεῖα**, ἃ προϊὼν λέγει· **Μὴ πάλιν θεμέλιον**, καὶ ἑξῆς (Φωτίου).—**Πάλιν χρείαν ἔχετε.**] Πάλιν χρείαν ἔχετε τοῦ διδάσκειν ὑμᾶς. Τί δὲ διδάσκειν; Τίνα τὰ στοιχεῖα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς ἀρχῆς τῶν λογίων τοῦ θεοῦ. *Στοιχεῖα* δὲ τὰ περὶ τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ φησιν. Ὥσπερ γὰρ ἐπὶ τῶν γραμμάτων, πρῶτον τὰ στοιχεῖα μανθάνομεν, οὕτω καὶ ἐπὶ τῶν θείων λογίων ἔδει πρῶτον τὰ περὶ τῆς ἐνανθρωπήσεως διδάσκεσθαι, καὶ τοῖς ταπεινοῖς ἐνεθισθῆναι· ταῦτα γὰρ ταῖς ἀπίστοις ἔτι καὶ νηπίαις ἀκοαῖς χωρητά· εἶτα τοῖς τῆς θεότητος προσβῆναι· ὡς τόγε περὶ τῆς θεότητος τοῦ Χριστοῦ φιλοσοφεῖν, τελείων ἦν λοιπόν. Ὁρᾷς τὴν αἰτίαν, δι' ἣν τοῖς ταπεινοῖς ἐμφιλοχωρεῖ; Διὰ τὴν τῶν ἀκουόντων ἀσθένειαν, οὐκ ἰσχυόντων τὰ τέλεια δέξασθαι. Διὸ καὶ παρὰ τὰς ἀρχὰς τῆς ἐπιστολῆς βραχέα φιλοσοφήσας περὶ τῆς θεότητος τοῦ Χριστοῦ, εὐθὺς κατέπαυσε τὸν λόγον· τῶν μέντοι ταπεινῶν ἡ ἐπιστολὴ γέμει.—ΑΛΛΟ. *Στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ θεοῦ*, τοὺς ταπεινοτέρους περὶ Χριστοῦ λόγους ἐκάλεσε· τοῖς γὰρ μηδέπω τὴν πίστιν ἐσχηκόσι τελείαν, τὰ περὶ τῆς ἀνθρωπότητος προσέφερον μόνα τῆς ἀληθείας οἱ κήρυκες. Οὕτως ὁ μακάριος Πέτρος, Ἰουδαίοις δημηγορῶν, ἐμέτρησε τὴν διδασκαλίαν τῇ ἀσθενείᾳ τῶν ἀκουόντων. Ἰησοῦν γάρ, ἔφη, τὸν Ναζωραῖον, ἄνδρα ἀπὸ τοῦ θεοῦ ἀποδεδειγμένον εἰς ὑμᾶς (α), καὶ τὰ τούτων ἑξῆς τῷ λόγῳ τούτῳ συμβαίνοντα. Καὶ ὁ θεσπέσιος Παῦλος, προσφέρων Ἀθηναίοις τὸ κήρυγμα, οὐ Θεὸν, ἀλλ' Ἄνδρα τὸν δεσπότην Χριστὸν προσηγόρευσεν (β). [Θεοδωρήτου].—*Καὶ γεγόνατε χρείαν ἔχοντες γάλακτος, καὶ οὐ στερεᾶς τροφῆς.*] Οὐκ εἶπεν, ὅτι χρείαν ἔχετε, ἀλλ' ὅτι αὐτοὶ *γεγόνατε*, τουτέστιν, ὑμεῖς αὐτοὶ ἑαυτοὺς εἰς τοῦτο κατεστήσατε ἐκ ῥᾳθυμίας, οὐκ ὄντες τοιοῦτοι. *Γάλα* δὲ λέγει τοὺς ταπεινοὺς περὶ Χριστοῦ λόγους, τοὺς περὶ τῆς σαρκός· *στερεὰν* δὲ *τροφὴν*, τοὺς τελείους, τοὺς περὶ τῆς θεότητος αὐτοῦ. Τοῖς οὖν ἔτι νηπίοις τὴν πίστιν ἔδει λόγων ταπεινῶν· (κατάλληλον γὰρ τοῖς νηπίοις τὸ γάλα·) τοῖς δὲ τελείοις τὴν πίστιν, τῆς στερεᾶς τροφῆς καὶ τῆς ὑψηλῆς περὶ

(α) Πραξ. Β', 22. (β) Πραξ. Ιζ', 31.

Χριστοῦ φιλοσοφίας. *Πᾶς γὰρ ὁ μετέχων γά*
γάρ, φησιν, ὁ μετέχων λόγων ταπεινῶν, τῶν π
πότητος τοῦ Κυρίου· (οὗτοι γὰρ τὸ γάλα·) ἄ
ἀμέτοχος λόγου δικαιοσύνης. *Λόγον* δὲ *δικαιοσ*
περὶ τῆς θεότητος τοῦ Κυρίου (1). *Τελείων δ*
ρεὰ τροφή.] Τουτέστιν, ὁ ὑψηλὸς λόγος, τὰ ὑ
τὰ περὶ τῆς θεότητος τοῦ Χριστοῦ. *Τῶν διὰ τὴ*
ἕξῆς.] *Ἕξιν*, τὴν τελειότητα καὶ παγιότητα
Ὁ τοίνυν πάγιος τὸ ἦθος, οὗτος ἔχει καὶ τὰ αἰ
μνασμένα, οἷον ἀκοὴν, γλῶσσαν, ὀφθαλμούς
ψυχῆς αἰσθητήρια λέγει, πρὸς τὸ διακρίνειν,
καὶ ὑψηλὰ δόγματα, καὶ ποῖα τὰ νόθα καὶ δι
νίττεται δὲ τοὺς πᾶσι τοῖς ὅ,τιδήποτε διδάσ
τας ἑαυτοὺς καὶ πειθομένους· ὁ γὰρ πάντα ἀπ
ἀδιακρίτως ἔχει καλοῦ καὶ κακοῦ.

ΚΕΦ. ς΄, 1 Διὸ ἀφέντες τὸν τῆς ἀρχῆς
λόγον, ἐπὶ τὴν τελειότητα φερώμεθ
θεμέλιον καταβαλλόμενοι μετανοίας
2 ἔργων, καὶ πίστεως ἐπὶ θεὸν, βαπτισ
ἐπιθέσεώς τε χειρῶν, ἀναστάσεώς τε
3 κρίματος αἰωνίου. Καὶ τοῦτο ποιή
ἐπιτρέπῃ ὁ θεός.

Ἄνω εἰπὼν *ἀρχὴν* τοὺς περὶ ἀνθρωπότητος το
τελειότητα δὲ, τοὺς περὶ θεότητος, ἵνα μὴ ἀδ
ὡς μὴ ἀξιούμενοι τῶν τελειοτέρων λόγων, λέγε
πειρᾶται. Λέγει δὲ, οὐχ ὡς ἄνω τελείους ἐκ
ἴσχυον ἀκοῦσαι·) ἀλλ' ἑτέρως μεθοδεύει τὸν λό

(1) « Δικαιοσύνην ἐνταῦθα ἢ τὸν βίον τὸν ἠκριβωμένον
λέγων, ὅτι ὁ ἀτελὴς, ἄπειρός ἐστι τῆς ἄνω φιλοσοφίας, καὶ
ἐκεῖθεν βίον ἄκρον· ὅπερ καὶ ὁ Χριστὸς ἀπῄτει, λέγων·
δικαιοσύνη ὑμῶν πλεῖον τῶν γραμματέων καὶ Φαρισαίων
δικαιοσύνην, τὸν Χριστὸν φησὶν αὐτὸν, τοῦτο λέγων· Ὅτ
πεινῶν καὶ περὶ τῆς σαρκώσεως λόγων, τοὺς ὑψηλοὺς καὶ
οὐ δέχεται, οἷα νήπιος, καὶ τούτων ἀπαράδεκτος. » Θεοφύ

Δημόσια Κοινωνική Βιβλιοθήκη Βόλου

τὸ βάπτισμα καλῶν, καὶ τὴν ἐν αὐτῷ τῶν χειρῶν ἐπίθεσιν καὶ σφραγῖδα· *τελειότητα* δέ, τὴν δι' ἔργων φιλοσοφίαν. Παρακατιὼν δὲ σαφέστερον λέγει, τίς ἡ ἀρχὴ ἐπὶ τῶν ἄρτι πιστευόντων, καὶ τίς ἡ τελειότης. Τὸ δὲ ἀκόλουθον τῆς συντάξεως· *Διὸ ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ Χριστοῦ λόγον, ἐπὶ τὴν τελειότητα φερώμεθα. Καὶ τοῦτο ποιήσομεν, ἐάνπερ ἐπιτρέπῃ ὁ θεός.—Τὸν τοῦ Χριστοῦ λόγον.* Ποῖον λόγον; Τὸν λόγον τῆς διδαχῆς, τοῦ δεῖν καταβάλλειν θεμέλιον μετανοίας ἀπὸ νεκρῶν ἔργων· τὸν λόγον τῆς διδαχῆς, τοῦ δεῖν πιστεύειν ἐπὶ θεόν· τὸν λόγον τῆς διδαχῆς, τοῦ δεῖν βαπτισθῆναι· τὸν λόγον τῆς διδαχῆς, τοῦ δεῖν ἀξιωθῆναι Πνεύματος ἁγίου· τὸν λόγον τῆς διδαχῆς, ὅτι ἀνάστασις, ὅτι ἔσται κρίσις. Ἀπὸ κοινοῦ γὰρ κατὰ πάντων καὶ ὁ λόγος καὶ ἡ διδαχὴ (Φωτίου).—*Ἐπὶ τὴν τελειότητα φερώμεθα.*] Εἰπὼν ἀφεῖναι τὸν περὶ Χριστοῦ στοιχειώδη καὶ ἀρχῆς ἐπέχοντα τάξιν λόγον, καὶ ἐπὶ τὴν τελειότητα φέρεσθαι, οὐχ ἁπλῶς φησι τὴν κυρίως τελειότητα, ἀλλ' ὡσανεὶ τὴν μεταξὺ τῆς στοιχειώσεώς τε τῶν λογίων τοῦ θεοῦ καὶ τῆς ἀνωτάτω τελειότητος. Ἔστι μὲν γὰρ *Στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων* τοῦ *θεοῦ*, τὸ ἀποτάξασθαι τῷ σατανᾷ καὶ τοῖς ἔργοις αὐτοῦ, τὸ πιστεῦσαι ἐπὶ θεόν, τὸ βαπτισθῆναι, τὸ λαβεῖν Πνεῦμα ἅγιον, τὸ εἰδέναι νεκρῶν ἀνάστασιν, τὸ πιστεύειν, ὅτι ἔσαι κρίσις. Ταῦτα μὲν *Στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων* τοῦ *θεοῦ*· στοιχεῖα δὲ *τῶν* λογίων τοῦ θεοῦ, καὶ οὐ τῆς ἀρχῆς τῶν λογίων τοῦ θεοῦ, τὸ εἰδέναι, ὅτι ἔπαθεν ὑπὲρ ἡμῶν ὁ Χριστὸς, ὅτι ἀνέλαβε τὰς ἁμαρτίας ἡμῶν, ὅτι σωτηρίαν ἡμῖν εἰργάσατο, ὅτι ἀρχιευρὺς ἡμῶν γέγονεν, ὅτι ἑαυτὸν προσήνεγκεν ὑπὲρ ἡμῶν, καὶ εἴτι παραπλήσιον. *Τελειότης* δὲ, τοῦ μὲν ἀποτάξασθαι τῷ σατανᾷ καὶ τοῖς τούτου συστοίχοις, ἡ ἐν ταῖς ἀρεταῖς προκοπὴ, ἡ τῶν θλίψεων καὶ τῶν διωγμῶν καὶ πειρασμῶν ὑπομονή. Τελειότης δὲ ἡ ἀνωτάτω, ἡ περὶ τῆς θεολογίας Χριστοῦ, καθόσον ἐστὶν ἀνθρώπῳ δυνατὸν, ἀκριβὴς κατάληψις. Πρῶτον οὖν πιστεύοντες, βαπτιζόμεθα· εἶτα ἐπιγινώσκομεν

ὅσα ὑπὲρ ἡμῶν ὁ Χριστὸς ἔπαθέ τε καὶ ἐποίησε κατὰ τὸ ἀνθρώπινον· εἶτα ταῖς ἀρεταῖς τελειούμεθα· ἔπειτα καὶ τῆς γνώσεως τῆς κατὰ τὴν θεολογίαν ἀξιούμεθα (Φωτίου).—*Μὴ πάλιν θεμέλιον καταβαλλόμενοι μετανοίας ἀπὸ νεκρῶν ἔργων.*] Μὴ πάλιν ἕτερον θεμέλιον καταβαλλόμενοι, οἷον καταβαλλόμεθα ἐν τῷ βαπτίζεσθαι, τουτέστιν, ἀποταγῆς τῶν ἔργων τοῦ σατανᾶ. Ἅπαξ γάρ, φησι, μετανοήσαντες ἐπ' αὐτοῖς, ἐβαπτίσθημεν, καὶ οὐκέτι δεῖ ταῦτα ἐξ ὑπαρχῆς ποιεῖν. *Καὶ πίστεως ἐπὶ θεόν.*] Οὐ γὰρ δεῖ νῦν ὥσπερ ἐξ ὑπαρχῆς πιστεύειν ἐπὶ θεὸν· ἤδη γὰρ ἐπιστεύσατε (1). Βαπτισμῶν *διδαχῆς.*] Ἡ σύνταξις οὕτως ἐστί· *Διὸ ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ Χριστοῦ λόγον.* Ποῖον δὴ τοῦτον; Τὸν τῶν βαπτισμῶν, καὶ διδαχῆς, καὶ ἐπιθέσεως τῶν χειρῶν, δι' ὧν τὸ Πνεῦμα, φησὶν, ἐλάβετε, καὶ τῆς τῶν νεκρῶν ἀναστάσεως, καὶ τοῦ κρίματος τοῦ αἰωνίου, *ἐπὶ τὴν τελειότητα φερώμεθα.* Οὐ δεῖ γάρ, φησιν, ἀεὶ τὰ αὐτὰ λέγεσθαι· εἴρηται γὰρ ἅπαξ καὶ γεγένηται· ἀλλὰ δεῖ καὶ τὰ παρ' ὑμῶν συνεισφέρεσθαι, τουτέστι, χρηστὴν πολιτείαν, καὶ τῆς πίστεως ἀξίαν. Αὕτη γὰρ ἡ τελειότης, τὸ ἀμφιδέξιον εἶναι τὴν ἀρετήν· ὡσεὶ ἔλεγε· Νήψατε· οὐκ ἔνι γὰρ ζῆσαι ῥαθύμως, καὶ πάλιν βαπτισθῆναι, καὶ δι' ἐπιθέσεως χειρῶν λαβεῖν Πνεύματος ἁγίου ἐπιφοίτησιν. Μεθ' ὑπερβατοῦ δὲ ἡ ῥῆσις ἐστί· τὸ γάρ, *διδαχῆς*, πρὸς ἅπαν διὰ μέσου τὸ παρεγκείμενον ἀποδίδοται· καὶ ἔστι κατὰ τὸν νοῦν αὐτῆς αὕτη ἡ συνθήκη· *Μὴ πάλιν θεμέλιον καταβαλλόμενοι διδαχῆς*· εἶθ' οὕτω τὰ καθ' ἑξῆς ἐν ἀπαριθμήσει δηλούμενα, περὶ ὧν τῆς διδαχῆς οἱ θεμέλιοι. Βούλεται δὲ εἰπεῖν, ὅτι τοῖς νῦν πρώτων

---

(1) «Μὴ πάλιν ἐξ ἀρχῆς τιθέντα πιστεύοντες, οἷα ἐποιεῖτε, ὑπηνίκα ἐμέλλετε βαπτίζεσθαι· οἷον, τὴν ἀπὸ νεκρῶν ἔργων μετάνοιαν, τουτέστι, τὴν ἀποταγὴν τῶν ἔργων τοῦ σατανᾶ. Ὁ γὰρ προπεργάμενος τῷ Χριστῷ, πρόδηλον, ὅτι μετανοῶν ἐπὶ τῷ πρότερῳ καὶ δόγματι καὶ βίῳ, οὕτω προσειτιν· εἰ μὴ γὰρ καταγνῷ τοῦ πρώτερου, πῶς τοῦ δευτέρου ἅψεται βίου; Διὸ ἐπάγει· Καὶ πίστεως ἐπὶ θεόν. Μετὰ γὰρ τὴν ἐπὶ τοῖς νεκροῖς ἔργοις μετάνοιαν, τότε ἡ πίστις. Φησὶν οὖν, ὅτι οὐ δεῖ ὑμᾶς περὶ πίστεως διδάσκειν ὡς ἀρχομένους· ἤδη γὰρ ἐπιστεύσατε. Αἰνίττεται δὲ διὰ τούτων, ὅτι καὶ ἐσκλεύοντο, καὶ διὰ τοῦτο ἐνέοντο θεμελίου.» Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

προσιοῦσι τῇ πίστει, τὴν περὶ τούτων διδασκαλίαν οἱονεὶ θεμέλιον προκαταβαλλόμεθα, μετανοεῖν μὲν ἀπὸ τῶν νεκροποιῶν ἔργων εἰκότως πρῶτον αὐτοὺς προτρεπόμενοι, μετανοοῦντας δὲ, πιστεύειν ἐπὶ τὸν θεὸν, πιστεύοντας δὲ, βαπτίζεσθαι, βαπτιζομένους δὲ, τῇ τῶν ἱερατικῶν χειρῶν ὑπάγειν ἑαυτοὺς ἐπιθέσει πρὸς μετουσίαν τοῦ Πνεύματος· τούτου δὲ μετασχόντας, περὶ τῆς ἐκ νεκρῶν ἀναςάσεως μηκέτι διαπιςεῖν ·ἀναςησομένους δὲ καὶ αὖθις ἀναβιωσομένους, ἔσεσθαι κρίσιν εἰδέναι, καὶ διηνεκῆ καὶ δικαίαν ὧν ἐνταῦθα βεβιώκαμεν τὴν ἀντίδοσιν περιμένειν (Γενναδίου).—*Βαπτισμῶν διδαχῆς.*] Οὐχ ὡς πολλῶν ὄντων τῶν βαπτισμῶν, πληθυντικῶς τοῦτο εἶπεν ὁ Παῦλος· ἓν γὰρ ἐστὶ βάπτισμα (α)· ἀλλ' ὡς ἐκ τοῦ ἀκολούθου τοῦτο συμβαῖνον. Εἰ γὰρ πάλιν αὐτοὺς κατήχει, καὶ πάλιν ἐβάπτιζε· καὶ πάλιν παραπεσόντας ἐβάπτιζε· καὶ πάλιν, πολλοὶ οἱ βαπτισμοὶ ἀναγκαίως· ἀλλὰ τοῦτο ἄτοπον. Οὐκ ἄρα δεῖ ἀναβαπτίζειν ὑμᾶς· ἀλλὰ μένειν ἐπὶ τοῦ προτέρου βαπτίσματος. Ἴσως δὲ οὗτοι, ὡς ἔτι τοῦ νόμου ἀντεχόμενοι, ἰουδαϊκώτερον φρονοῦντες, διὰ τὸ διαφόρους καὶ πολλοὺς ἐν τῷ νόμῳ εἶναι βαπτισμοὺς, ἠβούλοντο καὶ τὸ τῆς νέας διαθήκης βάπτισμα, τὸ τὴν παλιγγενεσίαν δωρούμενον, πολλάκις βαπτίζεσθαι, διὰ τὸ ἀφέσεως ἁμαρτιῶν πολλάκις θέλειν ἀξιοῦσθαι. *Ἐπιθέσεώς τε χειρῶν.*] Τῶν ἐν τῷ βαπτίσματι γινομένων· ἢ ἔνθα ἐπιτιθέντες τὰς χεῖρας οἱ ἀπόστολοι, τὸ Πνεῦμα ἐδίδοσαν, ὅπερ καὶ ὁ Σίμων ὤνιον ἐζήτει (1). *Ἀναστάσεώς τε νεκρῶν.*] Τοῦτο γὰρ καὶ ἐν τῷ βαπτίσματι γίνεται διὰ τοῦ σχήματος τῆς ἀναδύσεως, καὶ ἐν τῇ ὁμολογίᾳ βεβαιοῦται· ὁμολογοῦμεν γὰρ πιστεύειν ἀνάστασιν νεκρῶν. *Καὶ κρίματος αἰωνίου.*] Ταυτέστι, τῆς μελλούσης κρίσεως, τῆς αἰώνια διδούσης ἢ ἀγαθὰ ἢ κολάσεις. Ταῦτα δοκεῖ λέγειν· ἐπειδὴ εἰκὸς ἦν αὐτοὺς παρακαλεύεσθαι, καίτοι ἤδη πεπιστευκότας, ἢ κακῶς

(α) Ἐφεσ. Δ', 5. (1) Πράξ. Η', 18. 19.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βοῦν καὶ ῥᾳθύμως· ὡσεὶ ἔλεγε· Νήψατε· οὐκ ἔστι γὰρ εἰπεῖν, ὅτι, ἐὰν ῥᾳθύμως ζήσωμεν, ἢ τῆς πίστεως ἐκπέσωμεν, πάλιν βαπτισθησόμεθα, ἢ πάλιν δυνησόμεθα τὰ ἁμαρτήματα ἀπολαύσασθαι, καὶ τῶν αὐτῶν τυχεῖν, ὧν καὶ πρότερον. Σφάλλεσθε γὰρ ταῦτα νομίζοντες. *Καὶ τοῦτο ποιήσομεν.*] Ποῖον; Τὸ ἐπὶ τὴν τελειότητα φέρεσθαι. *Ἐάπερ ἐπιτρέπῃ ὁ θεός.*] Τὸ, *ἐάπερ*, οὐ πρὸς τοῦτό ἐστιν, ὡς τοῦ θεοῦ μὴ πάντως ἐπιτρέποντος ταῦτα· (ἐπιτρέπει γὰρ ἀεὶ ὁ θεὸς τὰ καλὰ καὶ τέλεια·) ἀλλ' ὡς ἔθος ἡμῖν λέγειν· Θεοῦ θέλοντος, τόδε ποιήσομεν. Ἅμα δὲ καὶ διδάσκει ἡμᾶς ἐντεῦθεν, τὸ πᾶν τῆς ἐκείνου ἐξαρτᾶν θελήσεως, καὶ μηδὲ ἐπὶ τῶν ὁμολογουμένως καλῶν τῇ οἰκείᾳ θαῤῥεῖν καὶ κρίσει καὶ δυνάμει. Τοῦτο δὲ ῥητῶς καὶ ὁ ἀπόστολος Ἰάκωβος παραινεῖ (α).

4 Ἀδύνατον γὰρ, τοὺς ἅπαξ φωτισθέντας, γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου, καὶ μετόχους
5 γενηθέντας Πνεύματος ἁγίου, καὶ καλὸν γευσαμένους θεοῦ ῥῆμα, δυνάμεις τε μέλλοντος αἰῶνος,
6 καὶ παραπεσόντας, πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν, ἀνασταυροῦντας ἑαυτοῖς τὸν υἱὸν τοῦ θεοῦ καὶ παραδειγματίζοντας.

Αδύνατον γὰρ, τοὺς ἅπαξ φωτισθέντας.] Οὐκ εἶπεν, ὅτι δυσχερές, ἀσύμφορον, ἢ ἀπρεπές, ἀλλ', *ἀδύνατον*, ὥστε εἰς ἀπόγνωσιν αὐτοὺς ἐμβαλεῖν τοῦ δεύτερον ἐλπίζειν λουτρόν. *Γευσαμένους τε τῆς δωρεᾶς.*] Τουτέστι, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, τῆς ἐν τῷ βαπτίσματι. Αὕτη γὰρ δωρεὰ ἐπουράνιος. Οὐδεὶς γὰρ δύναται τοιαῦτα διδόναι, εἰ μὴ εἷς, ὁ θεός. *Καὶ μετόχους γενηθέντας Πνεύματος ἁγίου.*] Μετὰ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, τότε ἡ μετοχὴ τοῦ ἁγίου Πνεύματος· οὐ γὰρ οἰκεῖ ἐν σώματι καταχρέῳ ἁμαρτίαις· ἐδίδοτο δὲ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν, ὡς καὶ ἀνωτέρω εἴρηται. *Καὶ καλὸν*

(α) Ἰακ. Δ', 15.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γευσαμένους θεοῦ ῥῆμα.] Τὴν περὶ τοῦ Χριστοῦ διδασκαλίαν (1). *Δυνάμεις τε μέλλοντος αἰῶνος.*] Ὅτι πάντως ἀνάστασις ἔσται, καὶ ὅτι πάντες δώσομεν λόγον τῶν βεβιωμένων, καὶ ὅτι ἥ τε κόλασις καὶ ἡ ἀνάπαυσις ἀτελεύτητος, καὶ ὅσα τοιαῦτα· ταῦτα γὰρ καὶ ἐν τούτοις ἡ δύναμις τοῦ μέλλοντος αἰῶνος. Ἢ, ὅτι τὸν ἀῤῥαβῶνα τοῦ μέλλοντος αἰῶνος, τουτέστι, τὴν εἰς Χριστὸν πίστιν (2). — *Δυνάμεις τε μέλλοντος αἰῶνος,* ἀντὶ τοῦ, ἃ δύναται ὁ μέλλων αἰὼν ἐκμαθόντας· τὸ γὰρ *γευσαμένους,* ἀπὸ κοινοῦ, ὅπερ τροπικῶς εἴληπται, σημαῖνον τὸ, *μαθόντας, κατηχηθέντας.* Τί δὲ δύναται ὁ μέλλων αἰὼν; καὶ τί ἐστιν αὐτοῦ ἡ χρεία καὶ τὸ ἔργον; Ὅτι ἐν αὐτῷ ἕκαστος ὧν ἔπραξε τὴν ἀμοιβὴν εὑρίσκει· ὅτι οὐκ ἔχει τέλος, οὔτε ἡ τιμωρία ἡ ἐν αὐτῷ, οὔτε ἡ εὐδαιμονία· ὅτι τότε μᾶλλον τό τε ἀλάθητον τοῦ κριτοῦ καὶ τὸ δίκαιον φανερωθήσεται, καὶ πολλὰ ἕτερα. Τοὺς οὖν μετὰ τῶν ἄλλων καὶ ταῦτα μαθόντας, φησὶν, εἶτα παραπεσόντας, ἀδύνατον, καὶ ἑξῆς (Φωτίου). — *Καὶ παραπεσόντας.*] Ἅπαντα ταῦτα ἀπολέσαντας καὶ ἐκπεσόντας, *πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν,* τουτέστι, διὰ μετανοίας, ἀδύνατον τοῦτο. Τί οὖν; ἐξέβαλε τὴν μετάνοιαν; Μὴ γένοιτο! ἀλλὰ τὴν διὰ βαπτίσματος μετάνοιαν, ὡς λέγει ὁ ἐν ἁγίοις Κύριλλος ἐν βιβλίῳ ς' τῆς ἐν πνεύματι καὶ ἀληθείᾳ λατρείας. Δεῖ γὰρ πρῶτον ἡγήσασθαι μετάνοιαν ἐπὶ τῷ προτέρῳ βίῳ, καὶ ἀπόταξιν τῶν πονηρῶν πράξεων, καὶ οὕτω βαπτισθῆναι. Ἐκείνην οὖν, φησι, τὴν ἐν τῷ βαπτίσματι μετάνοιαν· ὅθεν καὶ εἶπεν, *ἀνακαινίζειν,* ὅπερ ἴδιον τοῦ βαπτίσματος, καὶ, *ἀνασταυροῦντας,* ὅπερ καὶ τοῦτο τοῦ βαπτίσματος ἴδιον· οἱ γὰρ βαπτιζόμενοι, συσταυροῦνται τῷ Κυρίῳ. Ὁ οὖν πάλιν διὰ βαπτίσματος δευτέρου μετανοεῖν θέλων, ἀνα-

(1) « Οὐκ εἶπεν ἀνακεκαλυμμένως, τί ἐστι τοῦτο· δίδωσι μέντοι ἡμῖν νοεῖν, ὅτι περὶ πάσης πνευματικῆς διδασκαλίας τοῦτό φησι. » Θεοφύλακτος.

(2) « Ἢ τὸ θαύματα ἐπιτελεῖν οὕτω καλεῖ· ἢ τὸ ζῆν ἀγγελικῶς, τῷ μηδενὸς δεῖσθαι τῶν παρόντων, ἀλλὰ πρὸς τὰ μέλλοντα ἀποβλέπειν, καὶ ἤδη ἀῤῥαβῶνα ἔχειν τῆς μελλούσης ζωῆς τὴν ἐνταῦθα ἄθλων καὶ πνευματικήν. » Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σταυροῖ τὸν Χριστὸν τῷ συσταυροῦσθαι αὐτῷ. *Ἀναστανροῦντας ἑαυτοῖς τὸν υἱὸν τοῦ θεοῦ καὶ παραδειγματίζοντας.*] Τί ἐστιν, *Ἀναστανροῦντας ἑαυτοῖς τὸν υἱὸν τοῦ θεοῦ καὶ παραδειγματίζοντας;* Ἄνωθέν, φησι, σταυροῦντας ἑαυτοῖς καὶ καταισχύνοντας. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· Ἅπαξ ἐσταυρώθη ὁ Χριστὸς, καὶ ἡμεῖς ἅπαξ αὐτῷ συσταυρούμεθα διὰ τοῦ βαπτίσματος. Ὁ τοίνυν οἰόμενος εἶναι δεύτερον βάπτισμα, ὅσον τὸ κατ' αὐτὸν, ἄνωθεν σταυροῖ τὸν Κύριον. Τί γὰρ ἕτερον ποιεῖ ὁ δεύτερον αὐτῷ διὰ τοῦ βαπτίσματος συσταυροῦσθαι νομίζων, ἢ ὅτι καὶ αὐτὸν ἡγεῖται δεύτερον ἐσταυρῶσθαι, δι' ὧν ποιεῖ; Τὸ δὲ δεύτερον σταυροῦν τὸν Χριστὸν, ὅσον ἧκεν εἰς αὐτὸν, οὐδὲν ἕτερόν ἐστιν ἢ παραδειγματίσαι αὐτὸν καὶ καταισχῦναι· ἅπαξ γὰρ σταυρωθείς, καὶ ἀποθανὼν, ἀθάνατός ἐστι λοιπόν· ὁ δὲ ἀνασταυρῶν, ψεῦδος τοῦτο ποιεῖ, ὅπερ αἰσχύντην αὐτῷ φέρει, ὡς ψευσαμένῳ τὸ ἅπαξ ἀποθανεῖν μόνον. — ΑΔΔΩΣ. Τί ἐστιν, *ἀναστανροῦντας;* Ἐπὶ δευτέραν σταύρωσιν καὶ δεύτερον πάθος καλοῦντας αὐτὸν, εἴπερ ἡ τοιαύτη μετάνοια, καὶ τὸ ἀξιωθῆναι τῆς διὰ τοῦ βαπτίσματος ἀφέσεως, τῷ σταυρῷ τοῦ Χριστοῦ μόνῳ κατωρθώθη. Οἱ τοῦτο οὖν, φησιν, ἐννοούμενοι, ἐπιθυμοῦσι πάλιν τὸν Χριστὸν σταυρούμενον καὶ χλευαζόμενον καὶ παραδειγματιζόμενον ἰδεῖν. Ὢ τόλμης καὶ ἀπονοίας, εἴτις ἐννοεῖ τοιαῦτα! Λίαν δὲ διὰ τούτων κατασείει αὐτῶν τὰς διανοίας, ἵνα, ἀνέλπιστοι γεγονότες τοῦ δύνασθαι τυχεῖν τοιαύτης μετανοίας, ἐπὶ πλέον ἀντιποιῶνται ἀρετῆς (Φωτίου). (1).

---

(1) Θεοδωρήτου ἑρμηνεία εἰς τὸ, Ἀδύνατον γὰρ—*ἀναστανροῦντας ἑαυτοῖς τὸν υἱὸν τοῦ θεοῦ.* «Τῶν ἅπαξ ἀδυνάτων, φησὶ, τοὺς τῷ παναγίῳ προσελπλυθότας βαπτίσματι, καὶ τῆς τοῦ θείου Πνεύματος χάριτος μετειληφότας, καὶ τῶν αἰωνίων ἀγαθῶν δεξαμένους τὸν τύπον, αὖθις προσελθεῖν, καὶ τυχεῖν ἑτέρου βαπτίσματος. Τοῦτο γὰρ οὐδέν ἐστιν ἕτερον, ἢ πάλιν τὸν υἱὸν τοῦ θεοῦ τῷ σταυρῷ προσηλῶσαι, καὶ τὴν ἠγενημένην ἀτιμίαν πάλιν αὐτῷ προσάψαι. Ὥσπερ γὰρ ἅπαξ τὸ πάθος αὐτὸς ὑπέμεινεν, οὕτω καὶ ἡμεῖς ἅπαξ αὐτῷ προσήκει κοινωνῆσαι τοῦ πάθους. Συνθαπτόμεθα δὲ αὐτῷ διὰ τοῦ βαπτίσματος, καὶ συνανιστάμεθα. Οὐκ ἔδν τε οὖν ἡμᾶς πάλιν ἀπολαῦσαι τῆς τοῦ βαπτίσματος δωρεᾶς. Χριστὸς γὰρ ἀναστὰς ἐκ νεκρῶν, οὐκέτι ἀποθνήσκει· θάνατος

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

7 Γῆ γὰρ, ἡ πιοῦσα τὸν ἐπ' αὐτῆς πολλάκις ἐρχόμενον ὑετὸν, καὶ τίκτουσα βοτάνην εὔθετον ἐκείνοις, δι' οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλο-
8 γίας ἀπὸ τοῦ θεοῦ· ἐκφέρουσα δὲ ἀκάνθας καὶ τριβόλους, ἀδόκιμος καὶ κατάρας ἐγγὺς, ἧς τὸ τέλος εἰς καῦσιν.

Γῆ γὰρ, ἡ πιοῦσα.] Ἐν τῇ παραβολῇ, γῆν μὲν, τοὺς ἀνθρώπους λέγει· *ὑετὸν* δὲ, τὴν διδασκαλίαν καλεῖ, ὡς καὶ ἀλλαχοῦ, « Ἐντελοῦμαι ταῖς νεφέλαις, φησὶν ὁ θεὸς, τοῦ μὴ βρέξαι ὑετὸν εἰς τὸν ἀμπελῶνα (α)· » καὶ πάλιν· « Ὁ ποταμὸς τοῦ θεοῦ ἐπληρώθη ὑδάτων (β)· » τουτέστιν, Ὁ ἐκ τοῦ θεοῦ περὶ τὸ διδάσκειν χαριτωθεὶς, ἐπληρώθη τῶν ἄνωθεν ὑδάτων, ἤτοι, χαρισμάτων. Λινίττεται δὲ ἐνταῦθα τοὺς πολλάκις μὲν ἀκούσαντας, καὶ οἷον νοητῶς ἀρδευθέντας τῷ σωτηρίῳ λόγῳ τῆς πίστεως, καὶ οὐδὲ οὕτως ἐκ τούτου ὠφεληθέντας. *Βοτάνην εὔθετον.*] Τίς ἡ εὔθετος βοτάνη; Ἡ ὀρθὴ πολιτεία, ὁ ἐνάρετος βίος· οὐδὲν γὰρ οὕτως εὔθετον, τουτέστι, προσῆκον καὶ εὐάρεστον, ὡς βίου καθαρότης. *Ἐκείνοις, δι' οὓς καὶ γεωργεῖται.*] Ἐπειδὴ περὶ γῆς εἶπε καὶ καρπῶν, ἐνέμεινε τῇ τροπῇ. Τὴν βοτάνην, φησὶ, τουτέστι, τὴν ἀγαθὴν πολιτείαν, ἐκείνοις

αὐτοῦ οὐκέτι κυριεύει. Ὁ γὰρ ἀπέθανε, τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ· ὃ δὲ ζῇ, ζῇ τῷ θεῷ (Ῥωμ. ς', 9. 10.). Καὶ ἡμῶν δὲ ὁ παλαιὸς ἄνθρωπος συνεσταυρώθη ἐν τῷ βαπτίσματι, τοῦ θανάτου τὸν τύπον δεξάμενος. Καλὸν δὲ ῥῆμα, τὴν ὑπόσχεσιν ἔφη τῶν ἀγαθῶν. Δυνάμεις δὲ μέλλοντας αἰῶνος, τὸ βάπτισμα προσηγόρευσε, καὶ τὴν χάριν τοῦ Πνεύματος· διὰ τούτων γὰρ συνατὸν, τῶν ἐπηγγελμένων τυχεῖν ἀγαθῶν. Ταῦτα δὲ ὁ ἀπόστολος εἴρηκε, τοὺς ἐξ Ἰουδαίων πεπιστευκότας διδάσκων, μὴ νομίζειν τὸ πανάγιον βάπτισμα τοῖς Ἰουδαϊκοῖς ὁμοιοῦσθαι βαπτίσμασιν. Ἐκεῖνα μὲν γὰρ σὺν ἁμαρτήμασι ἔλυεν, ἀλλὰ τὸν δοκοῦντα τοῦ σώματος ἑκάθαιρε μολυσμόν· τοῦτο δὲ γε ἐν ἔστιν, ἅτε δὴ τοῦ σωτηρίου πάθους καὶ τῆς ἀναστάσεως ἔχον τὸν τύπον, καὶ προδιαγράφον ἡμῖν τὴν ἐσομένην ἀνάστασιν. Ταῦτα οἱ Ναυάτου κατὰ τῆς ἀληθείας ὁπλίζουσι τὰ ῥητὰ, μὴ συνιέντες, ὡς ὁ ἀπόστολος οὐ τὰ τῆς μετανοίας ἀπηγόρευσε φάρμακα, ἀλλὰ τοῦ θείου βαπτίσματος τὸν ὅρον ἐδίδαξεν. Ὅθεν ἐπήγαγεν· Ἀναστατυροῦντας ἑαυτοῖς τὸν υἱὸν τοῦ θεοῦ, καὶ παραδειγματίζοντας. Παραδειγματίσαι γάρ ἐστι τὸ θεῖον μυστήριον, τὸ δι' οὗ τούτου μεταλαγεῖν. Ὅτι γὰρ πανταχοῦ κηρύττει μετάνοιαν, μαρτυρεῖ μὲν τὰ πρὸς Κορινθίους αὐτῷ γεγραμμένα· μαρτυρεῖ δὲ τὰ πρὸς Γαλάτας. Καὶ πανταχοῦ δὲ τούτους καταστρέφει τοὺς λόγους.

(α) Ἡσ. Ε', 6. (β) Ψαλμ. ΞΔ', 10.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τίκτει ἡ γῆ, δι' οὓς καὶ γεωργεῖται, καὶ ἐκείνοις ἐστὶν εὔθετος αὕτη. Καὶ γὰρ αὐτοὶ ἐκεῖνοι οἱ καρποφοροῦντες τὴν ἀρετὴν, ἀπολαύουσι ταύτης. Τινὲς δὲ τὸ, *ἐκείνοις*, ἀντὶ τοῦ, τοῖς διδασκάλοις, ἐνόησαν· καὶ γὰρ καὶ δι' αὐτοὺς γεωργεῖται ὁ χρηστὸς βίος, ὡς καὶ αὐτῶν μετεχόντων τῆς ἀρετῆς τῶν μαθητῶν. Γεωργεῖται δὲ δηλονότι εἰς σωτηρίαν καὶ κέρδος αὐτῶν ἐκείνων τῶν καρποφορούντων. Εἰ δέ ἐστι, καθώς φησιν ὁ Κύριος, γεωργὸς ὁ πατήρ (α)· πάλιν δὲ σπορεὺς, ὁ υἱός, ὁ τὸ καλὸν σπέρμα σπείρων (β), ἐὰν ἐπιτήδειος αὐτοῖς ἡ βοτάνη, τουτέστι, τὸ γεώργιον, ὀρθῇ· (καὶ γὰρ τῷ θεῷ ὀφείλομεν καρποφορεῖν, ὥς που φησί· Νυνὶ δὲ, δουλωθέντες τῷ θεῷ, ἔχετε τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμόν (γ)·) εἰ οὖν τοῦτο, δῆλον ὅτι διὰ τὸν θεὸν γεωργοῦμεν τὸν ἐνάρετον βίον, ἵνα αὐτῷ ἀρέσωμεν· διὸ καὶ ἀξιούμεθα τῆς παρ' αὐτοῦ εὐλογίας. *Μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ θεοῦ.*] Ἡ γὰρ εὔφορος γῆ εὐλόγηται παρὰ θεοῦ. Τίς δέ ἐστιν ἡ ἔφορος γῆ; Ὁ ἐνάρετος ἄνθρωπος. *Ἐκφέρουσα δὲ ἀκάνθας.*] Οὐκέτι εἶπε, τίκτουσα, ἀλλ', *ἐκφέρουσα*, τὸ παρὰ φύσιν τῆς ἐκβολῆς αἰνιττόμενος· ὡσεὶ εἶπεν, ἐκβράσσουσα, καὶ οἷόν τι περίττωμα ἀποῤῥίπτουσα. *Ἀκάνθας* δὲ καὶ *τριβόλους*, τὴν ἁμαρτίαν λέγει, διὰ τὸ πάντοθεν αὐτὴν πλήττειν καὶ λυμαίνεσθαι τὸν κρατοῦντα. *Ἀδόκιμος καὶ κατάρας ἐγγύς.*] Μεγίστην εἶπε παραμυθίαν. Οὐ γὰρ εἶπεν, αὐτοκατάρα ἐστὶν, ἀλλ', *ἐγγὺς κατάρας*· ὁ δὲ ἐγγὺς κατάρας γενόμενος, καὶ μακρὰν γενέσθαι δύναται διὰ μετανοίας. Εἰ μὲν γὰρ εἰρήκει, Καὶ κατάρα ἐστὶν, ἔδει καὶ ἀπογνῶναι· νῦν δὲ, *ἐγγὺς κατάρας*, φησὶ, φοβῶν καὶ μονονουχὶ λέγων· Ἰδοὺ ἐγγὺς γεγένησθε τῆς κατάρας· φοβήθητε, μὴ ἐκπέσητε εἰς αὐτὴν, καὶ φύγετε αὐτήν· ὁ γὰρ ἐγγὺς ὢν, καὶ φυγεῖν δύναται· οὔπω γὰρ ἔαλω. *Ἧς τὸ τέλος εἰς καῦσιν.*] Ὅρα πάλιν, πῶς ἀσφαλῶς λαλεῖ, ἵνα μὴ δόξῃ

(α) Ἰωαν. ιέ, 1. (β) Ματθ. ιγ'. (γ) Ῥωμ. ς', 22.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸ μέγιστον ἐν ἀνθρώποις φάρμακον, τὴν μετάνοιαν, ἐκβάλλειν. Οὐ γὰρ εἶπεν, Αὐτὸ, ὃ ἤνεγκεν ἀκάνθας καὶ τριβόλους, καίεται, ἀλλὰ, *ἧς τὸ τέλος εἰς καῦσιν*, τουτέστιν, ἐὰν μέχρι τέλους ἐπιμείνῃ τῇ ἀκαρπίᾳ, καὶ μέχρι τελευτῆς ἀκάνθας ἐκφέρῃ, τότε καυθήσεται, ἐκ τῆς ἀντιδιαστολῆς δηλῶν, ὡς εἴ γε μὴ ἄχρι τέλους ἐπιμείνωμεν τὰς ἀκάνθας ἐκβάλλοντες, ἀλλὰ μεταγνῶμεν, οὐ καυθησόμεθα.

9 Πεπείσμεθα δὲ περὶ ὑμῶν, ἀγαπητοὶ, τὰ κρείσσονα καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτω λαλοῦμεν.
10 Οὐ γὰρ ἄδικος ὁ θεὸς, ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν καὶ τοῦ κόπου τῆς ἀγάπης, ἧς ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ, διακονήσαντες τοῖς ἁγίοις, καὶ
11 διακονοῦντες. Ἐπιθυμοῦμεν δὲ, ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδὴν πρὸς τὴν πληροφο-
12 ρίαν τῆς ἐλπίδος ἄχρι τέλους· ἵνα μὴ νωθροὶ γένησθε, μιμηταὶ δὲ τῶν διὰ πίστεως καὶ μακροθυμίας κληρονομούντων τὰς ἐπαγγελίας.

Πλήξας αὐτοὺς ἱκανῶς καὶ φοβήσας, νῦν παραμυθεῖται, ἵνα μὴ πάντῃ ὑπτίους ἐργάσηται· τὸν γὰρ νωθρὸν ὁ πάνυ πλήττων, νωθρότερον ἐργάζεται. Φησὶν οὖν, ὅτι οὐχ ὡς κατεγνωκὼς ὑμῶν, ταῦτα λέγω, οὐδὲ ὡς νομίζων ὑμᾶς ἀκανθῶν πλήρεις· ἀλλὰ δεδοικὼς, ἵνα μὴ τοῦτο γένηται. Διὸ οὐκ εἶπε, νομίζω, ἀλλὰ, *πέπεισμαι*, τουτέστιν, ἐν βεβαιότητί εἰμι περὶ ὑμῶν, ὅτι οὐχ οὕτως ἔχετε, ἀλλὰ κρειττόνως, καὶ ὅτι τῆς ἑαυτῶν σωτηρίας φροντίζετε, *Εἰ καὶ οὕτω λαλοῦμεν*, τουτέστι, κἂν οὕτως ἐλαλήσαμεν πληκτικῶς. Ἦ, οἶδα, φησὶν, ὅτι οὐ φύσετε ἀκάνθας καὶ τριβόλους· ἀλλ' ἄχρι λόγων πλήττω, ἵνα ἀσφαλεστέρους ὑμᾶς ποιήσω. *Οὐ γὰρ ἄδικος ὁ θεός.*] Ἴδε, πῶς αὐτοὺς ἀνεκτήσατο καὶ ἀνέῤῥωσε πρὸς τὸ ἐλπίζειν τὰ βελτίω, ἀναμνήσας αὐτοὺς τὰ πρότερα καὶ τὴν δικαιοσύνην τοῦ θεοῦ. Διὰ τοῦτό, φησι, τὰ χρηστὰ περὶ ὑμῶν πεπείσμεθα, εἰδότες, μὴ ὄντα ἄδικον τὸν θεόν. Εἰ δὲ οὐκ ἄδι-

κος, οὐκ ἐπιλήσεται τοῦ ἔργου ὑμῶν τοῦ χρηστοῦ, *καὶ τοῦ κόπου τῆς ἀγάπης*, ἣν ἐπεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ, πάντα δι' αὐτὸν ὑπομείναντες. Ὥστε μὴ μικροψυχεῖτε, ἀλλὰ πάντως ἐλπίζετε τὰ βελτίω· ἐπειδὴ καὶ πάντως ὁ θεὸς δίκαιος. Οὔκουν περὶ ὑμῶν εἶπον, ἃ εἶπον, πληκτικῶς· οἶδα γάρ, ὅτι οὐ κατάρας ἄξιοι ὑμεῖς. *Διακονήσαντες τοῖς ἁγίοις.*] Μεγάλα αὐτοῖς μαρτυρεῖ, οὐκ ἔργα μόνον, ἀλλὰ καὶ μετὰ προθυμίας ἔργα· τὸ γὰρ διακονεῖν, προθυμίας σημαντικόν. *Τοῖς ἁγίοις* δὲ, τουτέστι, τοῖς πιστοῖς. Πᾶς γὰρ πιστὸς, ἅγιος, κἂν κοσμικὸς ᾖ. Ὅρα δὲ, πῶς θεραπεύει αὐτούς. Οὐ γὰρ εἶπε, *διακονήσαντες*, καὶ ἔστη· ἀλλὰ προσέθηκε, καὶ *διακονοῦντες*· τουτέστι, καὶ ἔτι τὸ αὐτὸ ποιοῦντες. *Ἐπιθυμοῦμεν δὲ, ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδήν.*] Ὥσπερ τινὸς εἰπόντος· Εἰ πεπεισμένος εἶ περὶ ἡμῶν τὰ κρείττονα, καὶ οἶδας ἡμῶν τὰ ἔργα καὶ τὴν εἰς τοὺς ἁγίους διακονίαν, τί δήποτε ἐφόβησας ἡμᾶς, νωθροὺς καλέσας, καὶ ἀκανθῶν μεμνημένος; Διὰ τί; *Ὅτι ἐπιθυμοῦμεν, ἕκαστον ὑμῶν τὴν αὐτὴν*, ἣν ἔχετε, *ἄχρι τέλους ἐνδείξασθαι σπουδὴν πρὸς τὴν πληροφορίαν τῆς ἐλπίδος*, τουτέστι, πρὸς τὸ εἶναι ὑμᾶς ἀδιστάκτους περὶ τὴν εἰς Χριστὸν πίστιν, καὶ τὴν ἔνθεν ἐλπίδα (1). Οὐκ εἶπε δὲ, Βουλόμεθα· ὅπερ ἦν διδασκαλικῆς αὐθεντίας· ἀλλ', *ἐπιθυμοῦμεν*· ὃ πατρικῆς ἐστι φιλοστοργίας. Οὐ γὰρ μέχρι ῥημάτων τοῦτο βουλόμεθα, ἀλλ' ἡ ψυχὴ ἡμῶν καίεται ὑπὲρ ὑμῶν. Τοιοῦτον γάρ τι νόει τὸ, *ἐπιθυμοῦμεν*. *Ἵνα μὴ νωθροὶ γένησθε.*] Καὶ τοῦτο πρὸς θεραπείαν αὐτῶν· εἰς γὰρ τὸν μέλλοντα χρόνον ἐξάγει αὐτό. Καίτοι ἀνωτέρω εἶπεν· *Ἐπειδὴ νωθροὶ γεγόρατε*· ἀλλ' ἐκεῖ εἶπε, *ταῖς ἀκοαῖς*, νῦν δὲ, ὅλοι δι' ὅλων νωθροὶ γεγένησθε. *Μιμηταὶ δὲ τῶν διὰ πίστεως.*]

(1) « Ὡς ἂν σπουδάζητε πρὸς τὴν πληροφορίαν τῆς ἐλπίδος, τουτέστιν, ἵνα πλήρη καὶ τελείαν τὴν πίστιν ἐνδείξησθε, καὶ μὴ σκυλευθῆτε. Ὅρα δὲ, πῶς οὐ πλήττει φανερῶς, οὐδὲ λέγει, ὅτι ἀπηλπίσατε, καὶ ἀνακτήσασθε ἑαυτοὺς λοιπόν· ἀλλ' ὡσανεὶ τοιαῦτα λέγει· Θέλω σε σπουδάζειν ἀεί, καὶ οἷος ἦς πρότερον, τοιοῦτον εἶναι καὶ νῦν καὶ εἰς τὸ μέλλον. » Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀνέμνησεν αὐτοὺς ἀνωτέρω, ἃ αὐτοὶ κατώρθωσαν πρότερον, οἰκοθεν αὐτοῖς φέρων τὰ ὑποδείγματα· νῦν δὲ λοιπὸν καταλέγει τοὺς διὰ πίστεως κληρονομήσαντας τὰς ἐπαγγελίας, οἷον τὸν Ἀβραάμ. Ἵνα γὰρ μὴ νομίσωσιν, ὅτι ὡς οὐδενὸς ἄξιοι λόγου καταφρονηθέντες ὑπὸ θεοῦ ἐγκατελείφθησαν, δείκνυσιν, ὅτι μάλιστα τῶν γενναίων ἀνδρῶν τοῦτό ἐστι, τὸ πειράζεσθαι δηλαδὴ, καὶ ὅτι τοῖς μεγάλοις ἀνδράσιν οὕτω κέχρηται ὁ θεός. Τί δέ ἐστι τὸ, *διὰ μακροθυμίας*; τουτέστι, δι' ὑπομονῆς· ὑπέμεινε γὰρ τὴν ἐπαγγελίαν ὑπερτιθεμένην τοσαῦτα ἔτη, καὶ ἔτι ἔμεινε πιστεύων. Εἰ γὰρ ἅμα τῷ ἐπαγγείλασθαι τὸν θεὸν ἡ δόσις ἀκολουθήσει, οὐκέτι πίστεώς ἐστιν ἡ ὑπομονῆς τοῦ τὴν ἐπαγγελίαν δεξαμένου χρεία τῷ ὅλως ἀληθεύειν τὸν θεόν. Εἰ δὲ ὁ ἐπαγγειλάμενος ὑπέρθηται, καὶ ὁ τὴν ἐπαγγελίαν δεξάμενος μακροθυμήσει ἐπὶ τῇ ὑπερθέσει, τότε πιστεύει καθαρῶς, τότε ὑπομένει ἐγκρατῶς.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Ὅτι βεβαία ἡ ἐπαγγελία τοῦ θεοῦ, καὶ ταῦτα σὺν ὅρκῳ.

13 Τῷ γὰρ Ἀβραὰμ ἐπαγγειλάμενος ὁ θεὸς, ἐπεὶ κατ'
οὐδενὸς εἶχε μείζονος ὀμόσαι, ὤμοσε καθ' ἑαυτοῦ,
14 λέγων· « Ἢ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πλη-
15 θύνων πληθυνῶ σε (α). » Καὶ οὕτω μακροθυμήσας,
16 ἐπέτυχε τῆς ἐπαγγελίας. Ἄνθρωποι μὲν γὰρ κατὰ
τοῦ μείζονος ὀμνύουσι, καὶ πάσης αὐτοῖς ἀντιλογίας πέρας εἰς βεβαίωσιν ὁ ὅρκος.

Πολλῶν ὄντων τῶν διὰ τῆς πίστεως κληρονομησάντων τὰς ἐπαγγελίας, τοὺς ἄλλους μὲν τέως παρῆκε, τοῖς ἑξῆς αὐτοὺς

(α) Γενες. ΚΒ', 17.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταμιεύων· μόνον δὲ τοῦ Ἀβραὰμ μέμνηται, διά τε τὸ ἀξίωμα τοῦ προσώπου, καὶ ὅτι μάλιστα οὗτος καὶ ἐπαγγελίας ἠξιώθη καὶ ἐπέτυχε. Καὶ διὰ τούτου δείκνυσιν, ὅτι οὐ δεῖ μικροψυχεῖν, ἀλλ' ἀναμένειν τὸν θεόν, ἔθος ἔχοντα, μὴ ταχέως ἐπάγειν τὰ ἐπηγγελμένα, ἀλλὰ διὰ μακροῦ τοῦ χρόνου. *Ὤμοσε καθ' ἑαυτοῦ.*] Πότε ὤμοσε καθ' ἑαυτοῦ ὁ θεός; Ἢ ἐν αὐτοῖς τοῖς λόγοις, οἷς φησὶν, ὅτι, *Κατ' ἐμαυτοῦ ὤμοσα.* Ἴσως δὲ καὶ τὸ, Ἢ μὴν, εἴποι ἄν τις ὅρκον εἶναι τοῦ θεοῦ καθ' ἑαυτοῦ· τὸ γὰρ, Ἢ μὴν, τὸ, Ὄντως μὴν, σημαίνει· ὅπερ οὐδὲν ἄλλο ἐστὶν ἢ βεβαιωτικὸν τῆς ἀληθείας· ἀλήθεια δέ τίς ἂν εἴη ἄλλος, ἢ ὁ θεός; Ὅταν οὖν ὁρᾷς καὶ τὸν Χριστὸν λέγοντα· *Ἀμὴν ἀμὴν λέγω σοι*, ἐννόει, ὅτι κατ' οὐδενὸς ἔχων μείζονος ὀμόσαι, τὸ, Ἀμὴν, ὄμνυσιν, ὡς καὶ ὁ πατήρ. Καίτοι τινὲς ἐνόησαν, ὅτι ὁ υἱὸς ὄμνυσι τῷ Ἀβραάμ· ὁ Λόγος γὰρ ὄμνυσιν, *Ἢ μὴν εὐλογῶν εὐλογήσω σε.* Λέγει γὰρ ἡ Γραφὴ, ὅτι εἶπε δὴ πρὸς Ἀβραὰμ ὁ ἄγγελλος. Οὐδήπου δέ, φασιν, ὁ πατὴρ εἴη ἂν ἄγγελος, ἀλλ' ὁ υἱὸς, ὁ τῆς μεγάλης βουλῆς ἄγγελος (α). *Καὶ οὕτω μακροθυμήσας.*] Ὁρᾷς ὅ,τι ἡ μακροθυμία τοῦ Ἀβραὰμ ἐποίησεν; Εἶπε δὲ, ὅτι *μακροθυμήσας ἐπέτυχε τῆς ἐπαγγελίας*, ἵνα δείξῃ μεγάλην τὴν δύναμιν τῆς μακροθυμίας, καὶ ὅτι οὐχ ἡ ἐπαγγελία μόνη τὸ πᾶν εἰργάσατο· ἀλλὰ καὶ ἡ μακροθυμία. *Ἐπέτυχε τῆς ἐπαγγελίας.*] Καίτοι ἐν τῷ τέλει τῆς ἐπιστολῆς λέγει, ὅτι Καὶ *οὗτοι πάντες* οὐκ ἐκομίσαντο τὰς ἐπαγγελίας, ἀλλὰ πόρ-

(α) Ἡσ. Θ', 5.—« Τί οὖν ἐστι τὸ, Κατ' ἐμαυτοῦ ὤμοσα, λέγει Κύριος; Ἀντὶ τοῦ, Ὡς ἐστιν ἀνθρώποις ἡ τοῦ ὅρκου δύναμις βεβαιοῦσα τὸ ὑπισχνούμενον· οὕτως ἐστὶ τῆς ἐμῆς ἐπαγγελίας τὸ ἀπαράθατον. Ὅρκου γὰρ πολλάκις προελπιθότος, ἢ τὸ τῆς γνώμης οὐ πάγιον, εἰς ἐπιορκίαν τὸν ὅρκον διέλυσεν, ἢ τὸ ῥέον τῆς ὕλης καὶ τῶν ἐπιγείων πραγμάτων τὸ ἀστατον, καὶ τῆς γνώμης ἐῤῥωμένης, τῶν ὠμωμοσμένων τὸ πέρας διέκοψεν. Ἐπὶ δὲ τῆς ψιλῆς ὑποσχέσεως τοῦ θεοῦ, οὐδέν ἐστι τοιοῦτον, οὐδὲ ἐννοεῖν, μήτιγε καὶ πίστει λαβεῖν· διὸ καὶ μηδένα ὅρκον λαμβάνων ὁ θεός· ἐπεὶ παντὸς ὅρκου τὸ θεῖον ἐπάγγελμα δυνατώτερον· ἐπάγειν εἰωθε τὸ, Κατ' ἐμαυτοῦ ὤμοσα· μᾶλλον δὲ καὶ προτάττει τῶν ἰδίων ὑποσχέσεων εἴτε σκυθρωπότητος καὶ ποινῆς, εἴτε καὶ χαρᾶς καὶ θυμηδίας παρεκτικῶν. Μάτην ἄρα οἱ τοῖς ὅρκοις ἐνασελγαίνοντες, ἐπὶ τὸ προκείμενον σχῆμα τοῦ λόγου καταφεύγουσιν· οὐδαμοῦ γὰρ οὔτε τοῖς ὅρκοις, οὔτε τοῖς ὁρκιστικοῖς ἐπιῤῥήμασι τὸ θεῖον ὤφθη χρησάμενον. » Φώτιος.

Δημόσια Κεντρική Βιβλιοθήκη Θέρμης

ῥωθεν αὐτὰς εἶδον καὶ ἠσπάσαντο (α). Πῶς οὖν ὧδε φησὶν, ὅτι ὁ Ἀβραὰμ *ἐπέτυχε τῆς ἐπαγγελίας*; Καὶ φαμὲν, ὅτι οὐ περὶ τῶν αὐτῶν λέγει ἐνταῦθα κἀκεῖ· ἀλλ' ἐνταῦθα μὲν περὶ τῶν ἐν τῷ βίῳ τούτῳ ἐπηγγελμένων φησὶν, ὧν ἐπέτυχεν ὁ Ἀβραὰμ μετὰ μακρὸν χρόνον· ἐκεῖ δὲ περὶ τῶν οὐρανίων, ὧν οὔπω ἐπέτυχε· καὶ περὶ τούτων λέγει ἐν τῷ τέλει τῆς ἐπιστολῆς. Ἀμφότερα μέντοι, καὶ τὸ ἐπιτυχεῖν αὐτὸν, καὶ τὸ μήπω ἐπιτυχεῖν, εἰς παράκλησίν εἰσι τοῖς ὀλιγοψύχοις· τὸ μὲν, ὅτι καὶ ἡμεῖς, ἐὰν μακροθυμήσωμεν, τευξόμεθα· τὸ δὲ, ὅτι, ἐκείνου μήπω τυχόντος, τοῦ πρὸ τοσούτων ἐτῶν τελειωθέντος, ἀνόητοι ἡμεῖς λοιπὸν οἱ ἀσχάλλοντες, ὅτι οὔπω τυγχάνομεν (1). *Καὶ πάσης αὐτοῖς ἀντιλογίας.*] Καὶ πέρας πάσης ἀντιλογίας καὶ ἀμφισβητήσεως εἰς τὸ βεβαιῶσαι τὰ λεγόμενα ἐστὶν ὁ ὅρκος. Καὶ γὰρ λέγονται μὲν πολλὰ, καὶ ἀντιλέγονται ἐξ ἑκατέρου μέρους· ὁ δὲ ὅρκος τελευταῖος ἐπεισιὼν καὶ βεβαιῶν, τὰ ἀμφίβολα λύει πάντα.

17 Ἐν ᾧ περισσότερον βουλόμενος ὁ θεὸς ἐπιδεῖξαι
τοῖς κληρονόμοις τῆς ἐπαγγελίας τὸ ἀμετάθετον
18 τῆς βουλῆς αὐτοῦ, ἐμεσίτευσεν ὅρκῳ, ἵνα διὰ δύο
πραγμάτων ἀμεταθέτων, ἐν οἷς ἀδύνατον ψεύσα-
σθαι θεὸν, ἰσχυρὰν παράκλησιν ἔχωμεν οἱ κατα-
19 φυγόντες κρατῆσαι τῆς προκειμένης ἐλπίδος· ἣν
ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς ἀσφαλῆ τε καὶ βε-
βαίαν, καὶ εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ κα-
20 ταπετάσματος, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλ-
θεν Ἰησοῦς, κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀρχιερεὺς
γενόμενος εἰς τὸν αἰῶνα.

Ἔδει μὲν οὖν, φησὶ, καὶ χωρὶς ὅρκου πιστευθῆναι ἐπαγγειλάμενον τὸν θεόν· *ἐν ᾧ δὲ περισσότερον βουλόμενος ὁ θεὸς* τὸ

(α) Ἑβρ. ΙΑ, 13. 39.

(1) «Ἔδειξε τοῦ ἐπαγγειλαμένου τὴν ἀλήθειαν. Θεὸς γὰρ, φησὶν, ἦν, οὐδὲν ὑπερκείμενον ἔχων· καὶ μάρτυς ὁ ὅρκος· καθ' ἑαυτοῦ γὰρ ὤμοσεν. Ἀλλ' ὅμως καὶ ὑπεστόμενος, καὶ μεθ' ὅρκου τοῦτο ποιησάμενος, οὐκ εὐθὺς τὰς ἐπαγγελίας ἐπλήρωσεν· ἀλλ' ἐβεβίθη καρτερίας ὁ πατριάρχης πολλῆς, καὶ, πλείστου χρόνου διελθόντος, οὕτως εἶδε τὴν τῆς ἐπαγγελίας ἀλήθειαν.» Θεοδώρητος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐμεσίτευσεν ὅρκῳ τὴν ὑπόσχεσιν (1). Ἐπ
ονόμοις·] Ἦλθε καὶ εἰς ἡμᾶς· ἡμεῖς γὰρ ο
γελίας ἐσμὲν κληρονόμοι, οἱ κατ' ἐπαγγε
τῷ Ἀβραάμ· εἰ δὲ σπέρμα, καὶ κληρονο
ὅρκῳ.] Ὅρα τί κατασκευάζει. Ὅτι ὁ υἱὸς ἦ
ῦ καὶ ἀνθρώπων. Καὶ γὰρ καὶ νῦν μεσίτη
ανθρωπήσει· καὶ τότε ἐμεσίτευσε τῷ πατρὶ
ρκῳ αὐτὸν πληροφορήσας. Ὁ Λόγος γὰρ ἦν
καὶ λαλῶν καὶ ὀμνύς. Καλῶς δὲ ἔχει ἡ ἕ
, ἵνα οὕτως ᾖ· Ὁ θεὸς, τουτέστιν, ὁ Λόγος,
ενος τὸ ἀμετάθετον τῶν τῷ πατρὶ δοξά
πατρὶ καὶ τῷ Ἀβραὰμ ὅρκῳ· τουτέστι, με
γόνε· δι' αὐτοῦ γὰρ, ὡς λόγου, ὤμνυεν ὁ
να διὰ δύο πραγμάτων.] Δύο πράγματα,
τὸν θεὸν, καὶ τὸ τὸν ὅρκον προσθεῖναι τῇ
γὰρ παρὰ ἀνθρώποις τοῦτο δοκεῖ πιστότερον,
ῦτο καὶ αὐτὸς ταῦτα προσέθηκεν. Ἐν οἷς ἀ
ἀντὶ τοῦ, Ἐξ ὧν, τούτων τῶν δύο, πιστ
ἐπαγγελία, καὶ ἀδύνατον ψεύσασθαι τὸν
οσε δι' ἡμᾶς, (καίτοι ἀνάξιον αὐτοῦ τὸ ὀμν
ἔμαθεν, ἐξ ὧν ἔπαθε, νόει. Καὶ γὰρ οἱ ἄ
ίζουσιν ἀξιοπιστότερον, τὸ διὰ τῆς πείρας ἐ
ράκλησιν ἔχωμεν.] Τουτέστι, παραίνεσιν
οσπήν. Οἱ καταφυγόντες.] Εἰς αὐτὸν, τουτ
φαιτῆσαι.] Ἵνα ἰσχυρὰν παράκλησιν ἔχωμεν
προκειμένης ἐλπίδος, τουτέστιν, ἵνα ἀπ
ς Ἀβραὰμ εἰρημένων, πιστωθῶμεν καὶ πρ

, Διὸ, ἐπειδὴ καὶ τοῖς ἀνθρώποις ὁ ὅρκος πᾶσαν πίστιν
εἰς ὤμνυσεν. Ἢ, Ἐν Ἑαυτῷ, ἀντὶ τοῦ, Ἐν τῷ ὀμόσαι καθ' ἑ
ε ἔδειξεν ἡμῖν, ὅτι πάντως καὶ ἀμεταθέτως ποιήσει, ὃ
ν γὰρ καὶ χωρὶς ὅρκου πιστεύεσθαι τὸν θεὸν, ἀλλ' ὅμως δ
ὸ τὴν αὐτοῦ ἀξίαν σκοπεῖ, ἀλλ' ὅπως ἡμᾶς πείσῃ, ἀνάξ
έγεσθαι. » Θεοφύλακτος.

μέλλοντα, καὶ τὴν βασιλείαν τῶν οὐρανῶν. Αὕτη γὰρ ἡ ἐλπὶς ἡμῶν, ἡ νῦν μὲν ἐν ἐλπίδι προκειμένη, τότε δὲ ἐκβησομένη. Ὡσεὶ ἔλεγεν· Ἐξ ἐκείνων ταῦτα ἐπισοῦτο· ἐκεῖ ἠλήθευσεν, ἵνα ἐν τούτοις πιστευθῇ. Ἢ, ὅτι διὰ τοῦτο ὤμοσε τότε, ἵνα νῦν περὶ τῶν μελλόντων πιστεύσωμεν. Οὐδὲν γὰρ ἦν ἕτερόν, φησι, καὶ τὰ τότε μεθ' ὅρκων ἐπαγγελλόμενα, ἢ ἡ μέλλουσα ἐλπὶς τῶν πιςῶν. *Ἣν ὡς ἄγκυραν ἔχομεν.*] Ἣν ἐλπίδα, φησὶν, ὡς ἄγκυραν ἔχομεν. Καὶ γὰρ ὥσπερ ἐκείνη τὰ σαλευόμενα ἵστησι πλοῖα· οὕτω καὶ ἡ ἐλπὶς τοὺς σαλευομένους τοῖς πειρασμοῖς, ἀνδρείους καὶ ἑδραίους καὶ ὑπομονητικοὺς εἶναι ποιεῖ. Οὐχ ἁπλῶς δὲ εἶπεν, *ἄγκυραν*, ἀλλὰ καὶ *ἀσφαλῆ καὶ βεβαίαν*. Ἐνι γὰρ ἄγκυρα μὴ διαφυλάττουσα τὸ σκάφος ἀκλυδώνιστον, ἢ ὅταν ἡ σαθρὰ, ἢ ὅταν ᾖ μικροτέρα τοῦ δέοντος. *Καὶ εἰσερχομένην.*] Ἵνα ἡμῶν, φησὶν, ἔτι ἐνταῦθα ὑπαρχόντων, ἡ ἐλπὶς εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· τουτέστιν, ἵνα ταῖς ἐλπίσιν ἤδη ἐκεῖ ὦμεν. Ὅρα δὲ τί ποιεῖ ἡ ἐλπίς· προλαμβάνει τὸ ἐσόμενον. *Εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος.*] *Ἐσώτερον τοῦ καταπετάσματος*, τὸν οὐρανὸν καλεῖ (1). *Ὅπου πρόδρομος ὑπὲρ ἡμῶν.*] Εἰπὼν, ὅτι ἡ ἐλπὶς ἡμῶν εἰς τὸν οὐρανὸν εἰσέρχεται, βεβαιοῖ τὸ ῥηθὲν, διὰ τῶν πραγμάτων τοῦτο πιστούμενος. Καὶ γὰρ ὁ Χριστὸς ἐκεῖνος εἰσῆλθε· καὶ οὐ μόνον εἰσῆλθεν, ἀλλ', *ὑπὲρ ἡμῶν* εἰσῆλθεν. Ὅπου δὲ ὁ πρόδρομος ἡμῶν εἰσῆλθεν, ἐκεῖ καὶ ἡμᾶς ἀνάγκη εἰσελθεῖν. Ὁ γὰρ πρόδρομος, τινῶν ἐστιν ἀκολουθούντων πρόδρομος· καὶ οὐδὲ πάνυ πολὺ τὸ μέσον τοῦ προδρόμου καὶ τῶν ἑπομένων, ὥσπερ οὐδὲ Ἰωάννου καὶ Χριστοῦ. Μὴ τοίνυν ἀσχάλλετε· ὅσον οὔπω εἰσελευσό-

(1) «Εἶπεν ἀνωτέρω· Ἀναμείνατε· γενήσεται γὰρ τὰ ἐλπιζόμενα. Νῦν τελεώτερον πληροφορῶν, λέγει, ὅτι καὶ ἤδη ἔχομεν αὐτὰ τῇ ἐλπίδι. Αὕτη γὰρ, εἰσελθοῦσα ἐνδον τοῦ οὐρανοῦ, ἐποίησεν ἡμᾶς ἤδη εἶναι ἐν τοῖς ἐπηγγελμένοις, κἂν ἔτι κάτω ὦμεν, κἂν μήπω ἐλάβομεν. Τοσαύτην ἔχει τὴν ἰσχὺν ἡ ἐλπὶς, ὥστε τοὺς ἐπιγείους οὐρανίους ποιεῖ. Ὥσπερ δὲ ἐν τῇ Παλαιᾷ τὸ καταπέτασμα διεῖργε τὸ ἅγιον ἀπὸ τῆς λοιπῆς σκηνῆς· οὕτω καὶ ὁ οὐρανὸς ἡμῖν καταπέτασμα, διείργων τὰ κάτω ἀπὸ τῶν ἄνω τε καὶ ὑπερτέρων καὶ ὑπερουρανίων.» Θεοφύλακτος.

μεθα, ὅπου ὁ πρόδρομος ἡμῶν. Ἢ τὸ, ὑπὲρ, παρέλκεται, ἵνα ᾖ· Πρόδρομος ἡμῶν. Ἢ τὸ μετὰ σαρκὸς αὐτὸν εἰσελθεῖν, ὑπὲρ ἡμῶν· ἐστὶν, ὅπως καὶ ἡμεῖς οἱ σάρκα ἔχοντες, εἴσοδον σχοίημεν. *Ἀρχιερεὺς γενόμενος.*] Καὶ τοῦτο μεγίστη παράκλησις, εἴγε ἄνω ὁ ἀρχιερεὺς ἡμῶν, καὶ πολὺ βελτίων τῶν παρὰ Ἰουδαίοις· πρῶτον, τῷ τρόπῳ· οὐ γὰρ κατὰ τὴν τάξιν ἐκείνων, ἀλλὰ κατὰ τὴν τάξιν Μελχισεδέκ· ἔπειτα, τῷ τόπῳ καὶ τῇ σκηνῇ· ἄνω γὰρ καὶ ἐν τῷ οὐρανῷ· τρίτον, τῇ διαθήκῃ· ἐπὶ μείζοσι γὰρ καὶ τελειοτέροις· ὡσαύτως, τῷ μονίμῳ· αἰώνιος γὰρ, καὶ οὐ πρόσκαιρος· τελευταῖον, τῷ προσώπῳ· υἱὸς γὰρ θεοῦ. Ὥστε μὴ ἀθυμεῖτε. Καλῶς δὲ τὸ, *γενόμενος*, διὰ τὴν σάρκα· κατὰ γὰρ ταύτην ἐγένετο ἀρχιερεύς (1).

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τοῦ Μελχισεδὲκ, τοῦ εἰς Χριστὸν τύπου κατὰ τὸ ὄνομα, καὶ τὴν πόλιν, καὶ τὴν ζωὴν, καὶ τὴν ἱερωσύνην· ἐν ᾧ, ὅτι καὶ τοῦ Ἀβραὰμ προετιμήθη.

ΚΕΦ. VII, 1 Οὗτος γὰρ ὁ Μελχισεδὲκ, βασιλεὺς Σαλὴμ, ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου, (ὁ συναντήσας Ἀβραὰμ, ὑποστρέφοντι ἀπὸ τῆς κοπῆς τῶν βασι-
2 λέων, καὶ εὐλογήσας αὐτόν· ᾧ καὶ δεκάτην ἀπὸ πάντων ἐμέρισεν Ἀβραάμ·) πρῶτον μὲν ἑρμηνευόμενος Βασιλεὺς δικαιοσύνης, ἔπειτα δὲ καὶ Βασι-
3 λεὺς Σαλὴμ, (ὅ ἐστι βασιλεὺς εἰρήνης,) ἀπάτωρ,

(1) «Ἀρχιερεὺς δὲ εἰς τὸν αἰῶνα, οὐχ ὡς θυσίαν προσφέρων· ἅπαξ γὰρ τὸ ἑαυτοῦ προσενήνοχε σῶμα· ἀλλ' ὡς μεσίτης προσάγων τῷ πατρὶ τοὺς πιστεύοντας· δι' αὐτοῦ γάρ, φησιν, ἔσχήκαμεν τὴν προσαγωγὴν οἱ ἀμφότεροι πρὸς τὸν πατέρα (Ἐφεσ. Β', 18.). Καὶ αὐτὸς δὲ ὁ Κύριος ἐν τοῖς ἱεροῖς εὐαγγελίοις φησίν· Οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα, εἰμὴ δι' ἐμοῦ (Ἰωαν. ΙΔ', 6.)» Θεοδώρητος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀμήτωρ, ἀγενεαλόγητος, μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων, ἀφωμοιωμένος δὲ τῷ υἱῷ
4 τοῦ θεοῦ, μένει ἱερεὺς εἰς τὸ διηνεκές. Θεωρεῖτε δὲ, πηλίκος οὗτος, ᾧ καὶ δεκάτην Ἀβραὰμ ἔδωκεν ἐκ τῶν ἀκροθινίων, ὁ πατριάρχης.

Θέλει δεῖξαι καὶ νῦν πολὺ τὸ διάφορον τῆς νέας Διαθήκης πρὸς τὴν Παλαιὰν, καὶ τοῦτο δείκνυσιν ἐκ τῶν ἱερέων. Εἰπὼν δὲ, Κατὰ τὴν τάξιν Μελχισεδὲκ, δείκνυσιν, ὅτι καὶ αὐτὸς ὁ τύπος τοῦ Χριστοῦ, ὁ Μελχισεδέκ· (τύπον γὰρ αὐτὸν λέγει τοῦ Χριστοῦ·) πολὺ διέφερε τῶν κατὰ νόμον ἱερέων, τῶν παρὰ Ἰουδαίοις· τοῦτο κατασκευάζων· Εἰ ὁ τύπος τοῦ Χριστοῦ τῶν παρὰ Ἰουδαίοις διέφερε ἱερέων, πόσῳ μᾶλλον ἡ ἀλήθεια, τουτέστιν, αὐτὸς ὁ Χριστός (1); *Ἀπὸ τῆς κοπῆς τῶν βασιλέων.*] Ὅταν τοὺς βασιλεῖς, τοὺς τὸν Λὼτ αἰχμαλωτίσαντας, κατακόψας, ὑπέστρεφεν. Οἶδας τὴν ἱστορίαν (2). *Καὶ εὐλογήσας αὐτόν.*] Ἀντὶ τοῦ, εὐλόγησεν αὐτόν. *Ὦ καὶ δεκάτην.*] Ὦ, τουτέστι, τῷ Μελχισεδὲκ, δεκάτην ἔδωκεν ὁ Ἀβραάμ. *Πρῶτον μὲν ἑρμηνευόμενος.*] Λοιπὸν θέλει δεῖξαι, πῶς τύπος ἐστὶ τοῦ Χριστοῦ ὁ Μελχισεδὲκ, καὶ τέως ἐκ τοῦ ὀνόματος τοῦτο ποιεῖ. Τέως γάρ, φησι, τὸ ὄνομα αὐτοῦ ἑρμηνεύεται, *Βασιλεὺς δικαιοσύνης· Μελχὶ* μὲν γὰρ, βασιλεύς·

---

(1) «Σκεπὸς τῷ ἀποστόλῳ τὸ δεῖξαι τὸ διάφορον τῆς Παλαιᾶς καὶ τῆς Καινῆς· καὶ τοῦτο εὐθὺς μὲν καὶ ἐν προοιμίοις ἔδειξεν, εἰπὼν, ὅτι τοῖς μὲν πάλαι ὡμίλησε διὰ τῶν δούλων ὁ θεὸς, τῶν προφητῶν· ἡμῖν δὲ τοῖς ἐν τῇ Καινῇ, ἐν τῷ υἱῷ. Ἐπεὶ δὲ ἀσθενεῖς ἦσαν οἱ ἀκούοντες, ἅτε ὀλιγοψυχήσαντες ἐν τοῖς πειρασμοῖς, ἀνεκτήσατο αὐτῶν τὴν ὀλιγοψυχίαν ἐν τῷ μεταξύ· καὶ λοιπὸν μετὰ τὸ ἱκανῶς αὐτοὺς ἀνακτήσασθαι, πάλιν τὸν περὶ τοῦ ὑπερέχειν τὴν Καινὴν τῆς Παλαιᾶς εἰσάγει λόγον. Καὶ ὅρα σοφίαν! Δείκνυσι τὸν Μελχισεδὲκ, ὃς τύπος ἦν τοῦ Χριστοῦ, ὑπερέχοντα τοῦ Ἀβραάμ· εἰ μὴ γὰρ ὑπερεῖχεν, οὐκ ἂν ηὐλόγει αὐτὸν, καὶ δεκάτας ἀπ' αὐτοῦ ἐλάμβανεν. Ἐπεὶ δὲ ἀπὸ τοῦ Ἀβραὰμ κατήγοντο οἱ νομικοὶ ἱερεῖς, δῆλον, ὅτι καὶ τούτων ὑπερέχει ὁ Μελχισεδὲκ, ὡς καὶ αὐτοὺς εὐλογῶν καὶ ἀποδεκατῶν, ἐν οἷς τὸν προπάτορα αὐτῶν ηὐλόγει καὶ ἀπεδεκάτευ. Εἰ δὲ ὁ τύπος τοῦ Χριστοῦ, ὁ Μελχισεδὲκ, τοσοῦτον διαφέρει τῶν νομικῶν ἱερέων, πόσῳ μᾶλλον ὁ ἀληθινὸς Μελχισεδὲκ, ὁ Χριστός; Οὗτος μὲν οὖν ὁ νεὼς τοῦ χωρίου· συντεμὼν δὲ τὴν περὶ τοῦ Μελχισεδὲκ διήγησιν, ἐπιφέρει τὴν θεωρίαν μυστικῶς καὶ πνευματικῶς ἀλληγορῶν τὴν ἱστορίαν.» Θεοφύλακτος.

(2) Ἰδ. Γενεσ. Κεφ. ΙΔ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σεδὲκ δὲ, δικαιοσύνη. Τίνος δὲ ἑτέρου ὤφειλεν εἶναι τύπος, ἢ τοῦ Χριστοῦ, τοῦ ἀληθῶς βασιλέως δικαιοσύνης; Ἔπειτα καὶ τὴν ἄλλην λέγει ἑρμηνείαν, τὴν ἀπὸ τῆς πόλεως. *Σαλὴμ* γὰρ ἑρμηνεύεται εἰρήνη. Οὐκοῦν, οὐ μόνον βασιλεὺς δικαιοσύνης, ἀλλὰ καὶ εἰρήνης, ὡς ἀπὸ τῆς πόλεως, ἧς ἐβασίλευεν· ἀμφότερα δὲ ὁ Χριστὸς, βασιλεύς τε δικαιοσύνης καὶ βασιλεὺς εἰρήνης (1). *Ἀπάτωρ, ἀμήτωρ.*] Καὶ ἐνεχώρει τοῦτον τὸν Μελχισεδὲκ, ἄνθρωπον ὄντα, ἀπάτορα εἶναι καὶ ἀμήτορα, καὶ μήτε ἀρχὴν μήτε τέλος ἔχειν ἡμερῶν; Οὔ. Πῶς οὖν εἶπεν αὐτὸν ἀπάτορα καὶ ἀμήτορα; Ἐπειδὴ ἀντέπιπτεν αὐτῷ· Πῶς κατὰ τὴν τάξιν τοῦ Μελχισεδὲκ ὁ Χριστός ἐστι, τοῦ τελευτήσαντος καὶ μὴ γενομένου ἀρχιερέως εἰς τὸν αἰῶνα; βλέπετε τί λέγει· Οὐκ ἴσμεν, τίνα ἔχει πατέρα ἢ μητέρα, ἢ ποῖον γένος ὁ Μελχισεδὲκ, οὔτε πότε γεγέννηται, ἢ τετελεύτηκε. Καὶ τί τοῦτο; φήσειεν ἄν τις· εἰ γὰρ μὴ ἴσμεν ταῦτα, διὰ τὸ μὴ ἐμφέρεσθαι τῇ Γραφῇ, ἀλλ' ὅμως καὶ πατέρα καὶ γένος ἔσχε, καὶ γέννησιν, καὶ τελευτήν. Πῶς οὖν ὁ τοιοῦτος ἀπάτωρ καὶ ἀμήτωρ, καὶ οὐκ ἔχων ἀρχὴν ἢ τέλος ζωῆς; Καί φησιν· Ὥσπερ ὁ Μελχισεδὲκ τῷ μὴ γενεαλογεῖσθαι ὑπὸ τῆς Γραφῆς, ἡμῖν τοῖς ἀγνοοῦσιν οὐ δοκεῖ ἔχειν γονέας; ἢ ἀρχὴν ζωῆς καὶ τέλος, οὕτως ὁ Χριστὸς τῇ ἀληθείᾳ. Ὥσπερ γὰρ τούτου οὐκ ἴσμεν τὴν ἀρχὴν καὶ τὸ τέλος, οὕτως οὐδὲ τοῦ Χριστοῦ τῇ ἀληθείᾳ· ἀλλὰ τοῦ μὲν διὰ τὸ μὴ ἐγγεγράφθαι· τοῦ δὲ Χριστοῦ, διὰ τὴν ἀλήθειαν· ὁ γὰρ τύπος οὐ κατὰ πάντα ἴσος ἐστὶ τῇ ἀληθείᾳ· (ἐπεὶ καὶ αὐτὸς ἀλήθεια εὑρίσκεται, καὶ ταυτότης μᾶλλον, ἢ τύπος·) ἀλλ' εἰκόνας ἔχει τινὰς καὶ ἐνδάλματα· οἷον, ἀπάτωρ ὁ Μελχισεδὲκ τῇ ἀγνοίᾳ ἡμῶν, ἀπάτωρ ὁ Χριστὸς τὴν κάτω γέννησιν· ἐκ μόνης γὰρ τῆς παρ-

(1) «Τοῦτο τὸ Μελχισεδὲκ ὄνομα κατὰ τὴν τῶν Ἑβραίων καὶ Σύρων φωνὴν, Βασιλεὺς δικαιοσύνης σημαίνει. Οὗτος δὲ τῆς Σαλὴμ ἐβασίλευσεν· ἑρμηνεύεται δὲ τὸ Σαλὴμ, εἰρήνη. Δείξαι τοίνυν βούλεται διὰ τούτων, τύπον αὐτὸν ὄντα τοῦ δεσπότου Χριστοῦ. Λύτὸς γάρ ἐστι, κατὰ τὸν ἀπόστολον, ἡ εἰρήνη ἡμῶν (Ἐφεσ. Β', 14.), αὐτὸς, κατὰ τὸν προφήτην, κέκληται δικαιοσύνη ἡμῶν.» Θεοδώρητος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θένου Μαρίας ἐγεννήθη τὸ κατὰ σάρκα· ἀμήτωρ ὁ Μελχισεδὲκ, ἀμήτωρ ὁ Χριστὸς τὴν ἄνω γέννησιν, ἐν ᾗ οὔτε ἀρχὴν ἔσχεν ἡμερῶν· πῶς γὰρ ὁ ποιητὴς τῶν χρόνων; ἐκ μόνου γὰρ τοῦ πατρὸς πρὸ πάντων τῶν αἰώνων ἀῤῥήτως καὶ ἀνεπινοήτως γεγέννηται. Καὶ οὕτως ἅπαντα νοήσεις, ὅσα εἶχεν ὁ Μελχισεδὲκ, ἡμῶν ἀγνοούντων τὰ κατ' αὐτὸν, ταῦτα ὁ Χριστὸς ἔχει τῇ ἀληθείᾳ. Καὶ γὰρ βασιλεὺς εἰρήνης καὶ δικαιοσύνης ὁ Μελχισεδὲκ ἄχρι ψιλῶν ὀνομάτων· ὁ δὲ Χριστὸς, τῇ ἀληθείᾳ. *Ἀγενεαλόγητος.*] *Ἀγενεαλόγητον* τὸν Μελχισεδὲκ λέγει, τῷ μὴ εἶναι μὲν ἐκ τοῦ σπέρματος Ἀβραὰμ, μηδὲ ὑπὸ Μωσέως γενεαλογεῖσθαι· εἶναι δὲ Χαναναῖον τὸ γένος, καὶ ἐκ τῆς ἐπαράτου ἐκείνης σπορᾶς ὁρμᾶσθαι (1)· δίκαιον δὲ ἐκ τῶν καθ' ἑαυτὸν ἀποφανθέντα ἔργων, καὶ οὐκ ἐκ προγόνων ὁρμώμενον δικαίων, οὐδὲ ἀπό τινος δικαίας σπορᾶς. Οὐκ οὖν θέμις ἦν γενεαλογεῖν, τὸν εἰς ἄκρον δικαιοσύνης νεύοντα. Ὅτι δὲ Χαναναῖος ἦν τὸ γένος ὁ Μελχισεδὲκ, δείκνυται· καὶ ἔστι δή που τεκμήρασθαι καὶ ἀπ' αὐτῶν ἐκείνων, ὧν ἐκράτει καὶ ἐβασίλευε, κλιμάτων, καὶ οἷς ἐπλησίαζε· γείτων μὲν γὰρ ἦν Σοδόμων, πλησιαίτερος δὲ τῷ Ἀβραὰμ, οἰκοῦντι πρὸς τῇ Δρυῒ τῇ Μαμβρῇ. Οἴεσθαι δὲ χρὴ, ὅτι καὶ Σαλὴμ ἐκείνης ἐτύγχανε βασιλεὺς, ἥ τις ἐστὶν Ἱερουσαλήμ. *Ἀφωμοιωμένος δὲ τῷ υἱῷ τοῦ θεοῦ.*] Καὶ ποῦ ἡ ὁμοιότης; Ὅτι καὶ τούτου καὶ τοῦ Χριστοῦ τὸ τέλος ἀγνοεῖται καὶ ἡ ἀρχή· ἀλλὰ τούτου μὲν, παρὰ τὸ μὴ γεγράφθαι ἐν τῇ Γραφῇ· τοῦ δὲ Χριστοῦ, παρὰ τὸ μὴ εἶναι. *Μένει ἱερεὺς εἰς τὸ διηνεκές.*] Τούτῳ τῷ τρόπῳ δέξαι τὸ, *διηνεκὲς*, ᾧ καὶ τὰ ἄλλα· ὅτι, φησὶν, ὅσον ἦκεν εἰς ἡμᾶς τοὺς ἀγνοοῦντας πότε τελευτήσας ἀπέθετο τὴν ἱερωσύνην, *εἰς τὸ διηνεκὲς* ἐστιν ἱερεύς. Ὁ γὰρ τύπος εἰκόνας ἀμυδρὰς σώζει τοῦ πρωτοτύπου. Ἢ, ὅτι καὶ ὁ τρόπος τῆς τοῦ Μελχι-

(1) Γεν. Θ,' 52.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σεδὲκ ἱερωσύνης· (οἶδας δὲ τί λέγω·) εἰς τὸ διηνεκὲς μένει (
Θεωρεῖτε δὲ, πηλίκος οὗτος.] Ἐπειδὴ ἐφήρμοσε τῇ ἀληθ
τὸν τύπον, ἤγουν τὰ τοῦ Μελχισεδὲκ τῷ Χριστῷ, λοι
βούλεται δεῖξαι, ὅτι καὶ αὐτὸς ὁ τύπος τοῦ Χριστοῦ, του
στιν, ὁ Μελχισεδὲκ, μείζων ἦν αὐτῶν τῶν παρὰ Ἰουδαί
ἀληθινῶν ἱερέων. Καὶ τί λέγω, ἱερέων; Αὐτοῦ μενοῦν
πατριάρχου Ἀβραὰμ μείζων ἦν. Εἰ δὲ ὁ τύπος τοῦ Χριστ
φησὶ, μείζων καὶ αὐτοῦ τοῦ πατριάρχου, τί ἂν τις εἴποι π
τοῦ Χριστοῦ, τοῦ ἀληθινοῦ ἀρχιερέως; Ἄλλως μὲν, κρείττ
ἦν ὁ Ἀβραὰμ τοῦ Μελχισεδὲκ, ἀλλ' ὁ τύπος ἦν ὁ νικῶν. Θ
τως ὁ ἐν ἁγίοις Κύριλλος ἐν βιβλίῳ δευτέρῳ τῆς Ἐν πνεύμ
καὶ ἀληθείᾳ λατρείας. *Ὃ καὶ δεκάτην Ἀβραὰμ ἔδωκε
Ἴδετε οὖν, φησι, πηλίκός ἐστιν οὗτος, καὶ πόσον ὑπερέχει,
δῶρα προσέφερεν, οὐχ ὁ τυχὼν ἄνθρωπος, ἀλλ' ὁ Ἀβραὰμ
τοσοῦτος, ὁ πατριάρχης· οὐκ ἀλόγως γὰρ τὸ, *πατριάρχης*, π
ἔθηκεν, ἀλλ' ἵνα ἐξάρῃ τὸ πρόσωπον· καὶ *ἐκ τῶν ἀκροθιν
τουτέστιν, ἐκ τῶν σκύλων καὶ λαφύρων τῶν κρειττόνων
τιμιωτέρων. Καὶ οὐκ ἔστιν εἰπεῖν, ὅτι δέδωκεν αὐτῷ δε
τας, ὡς κεκοινωνηκότι τοῦ πολέμου, καὶ συμπονήσαντι,
ἀμοιβὴν τοῦ κόπου· ἀλλὰ κατὰ σέβας καὶ τιμὴν, ὥσπερ ἀπ
χάς. Διὰ τοῦτο γὰρ εἶπεν ἄνω, ὅτι Ὑποστρέφοντι τῷ Ἀβρ
ἀπὸ τῆς κοπῆς ὑπήντησεν. Εἰ δὲ τοῦ πατριάρχου μείζ
(καὶ τοῦτο δηλοῖ ἡ τῶν δεκατῶν δόσις·) πολλῷ μᾶλλον
παρὰ Ἰουδαίοις ἱερέων.

5 Καὶ οἱ μὲν ἐκ τῶν υἱῶν Λευὶ τὴν ἱερατείαν λαμ
νοντες, ἐντολὴν ἔχουσιν ἀποδεκατοῦν τὸν λαὸν κ
τὸν νόμον, τουτέστι, τοὺς ἀδελφοὺς αὐτῶν, κ

(1) «Περὶ τοῦ Μελχισεδὲκ ἔφη, ὅτι μένει ἱερεὺς εἰς τὸ διηνεκὲς, ἐπειδ
τὴν ἱερωσύνην οὐ παρέπεμψεν εἰς παῖδας, καθάπερ Ἀαρὼν, καὶ Ἐλε
καὶ Φινεές· ὁ γὰρ εἰς ἕτερον τοῦτον παραπέμπων τὸν κλῆρον, δοκεῖ πως ἀφ
σθαι τὴν ἀξίαν, ἄλλου τὴν ἐνέργειαν ἔχοντος. Ἔχει δὲ καὶ ἑτέραν διάνοιαν. Ὁ
γὰρ Μωσῆν, οὐ τὸν νομοθέτην μόνον καλοῦμεν, ἀλλὰ καὶ αὐτὸν τὸν νόμον·
καὶ Μελχισεδὲκ, καὶ τὸ πρόσωπον ὀνομάζομεν καὶ τὸ πρᾶγμα, τὴν ἱερωσ
ταύτην δὲ ἔχει ὁ δεσπότης Χριστὸς, ἀτελεύτητον ἔχων ζωήν.» Θεοδώρητος.

6 περ ἐξεληλυθότας ἐκ τῆς ὀσφύος Ἀβραάμ· ὁ δὲ μὴ γενεαλογούμενος ἐξ αὐτῶν, δεδεκάτωκε τὸν Ἀβραὰμ, καὶ τὸν ἔχοντα τὰς ἐπαγγελίας εὐλόγηκε.
7 Χωρὶς δὲ πάσης ἀντιλογίας, τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται.

Νῦν κατασκευάζει, πῶς ὁ τύπος τοῦ Χριστοῦ μείζων τῶν παρὰ Ἰουδαίοις ἱερέων· καί φησιν, ὅτι οἱ Λευῖται, ὡς τιμιώτεροι ὄντες τοῦ λοιποῦ λαοῦ, τὰς δεκάτας ἀπολαμβάνουσιν. Ἐπεί τί δήποτε παρὰ ἀδελφῶν, τῶν τὸν αὐτὸν ἐχόντων πατέρα, λαμβάνουσι τὰς ἐκ παντὸς εἴδους δεκάτας; Δῆλον οὖν ὡς τιμῆς καὶ τοῦ ἱερωτέρους εἶναι συμβολόν εἰσιν αἱ δεκάται. Τοιγαροῦν καὶ ὁ Μελχισεδὲκ, καὶ ταῦτα ἀλλόφυλος ὢν, καὶ ἀγενεαλόγητος, οὐκ ἂν παρ' αὐτοῦ τοῦ πατριάρχου εἴληφε δεκάτας, εἰ μὴ μείζων ἦν αὐτοῦ· τῷ γὰρ μὴ ὄντι μείζονι οὐκ ἂν ἔδωκεν ὁ Ἀβραὰμ δεκάτας. Εἰ δὲ ὁ Μελχισεδὲκ, ὁ τύπος, τοῦ πατριάρχου μείζων, δῆλον ὡς πολλῷ μείζων τῶν παρὰ Ἰουδαίοις ἱερέων ὁ ἀληθινὸς ἀρχιερεύς. *Ἀποδεκατοῦν τὸν λαόν.*] *Ἀποδεκατοῦν*, οἷον, δεκάτας λαμβάνειν παρ' αὐτῶν· ἐλάμβανον γὰρ οἱ Λευῖται δεκάτας ἀπὸ τοῦ λαοῦ. *Καίπερ ἐξεληλυθότας.*] Τοῦτό φησι· Καίπερ ὁμοτίμων ὄντων κατὰ τὰ ἄλλα πάντα, ὅμως ἐκ τοῦ τοὺς μὲν διδόναι δεκάτας, τοὺς δὲ λαμβάνειν, πολλὴ ἡ ὑπεροχὴ ἐπιδείκνυται. Εἰ δὲ ἐνταῦθα τοῦτο, δῆλον ὅτι καὶ ἐπὶ τοῦ Ἀβραὰμ καὶ Μελχισεδὲκ, τοῦ μὲν, δόντος, τοῦ δὲ, λαβόντος. Ὥστε ὁ τοῦ Χριστοῦ τύπος, μείζων τοῦ πατριάρχου Ἀβραάμ· εἰ δὲ τοῦ Ἀβραὰμ, πολλῷ μᾶλλον τῶν ἱερέων. Εἶδ' ὁ τύπος, τί ἄν τις εἴποι περὶ αὐτοῦ τοῦ Χριστοῦ; *Ὁ δὲ μὴ γενεαλογούμενος ἐξ αὐτῶν.*] *Ἐξ αὐτῶν*, τουτέστιν, εἰς αὐτούς. Ὁ τοίνυν μὴ γενεαλογούμενος εἰς αὐτοὺς, καὶ μὴ ἐγκαταλεγόμενος τῷ γένει αὐτῶν, Μελχισεδὲκ, εἴληφε τὰς δεκάτας. *Καὶ τὸν ἔχοντα τὰς ἐπαγγελίας.*] Ἐξῆρε τὸν Ἀβραὰμ, ἵνα πλεῖον ἐξάρῃ τὸν Μελχισεδὲκ. Ἐπειδὴ ἄνω καὶ κάτω τοῦτο ἦν τὸ μεγαλύνον τὸν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀβραὰμ, τὸ τὰς ἐπαγγελίας λαβεῖν παρὰ θεοῦ, προστίθησι τοῦτο νῦν, ὅτι τὸν τοσοῦτον καὶ τηλικοῦτον, τὸν ὁμιλίας θείας ἀξιωθέντα, καὶ ἔχοντα ὁρμιλέτην τὸν θεὸν, τοῦτον εὐλόγησεν ὁ τύπος τοῦ Χριστοῦ. *Τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται.*] Εἶπεν, ὅτι ὁ Μελχισεδὲκ εὐλόγησε τὸν τηλικοῦτον Ἀβραάμ· πάντες δὲ κοινῶς καὶ ἀναντιῤῥήτως οἴδαμεν, ὅτι ὁ εὐλογῶν, κρείττων ἐστὶ τοῦ εὐλογουμένου. Οὐκοῦν κρείττων καὶ ὁ Μελχισεδὲκ, ὁ τύπος τοῦ Χριστοῦ, καὶ αὐτοῦ τοῦ πατριάρχου.

8 Καὶ ὧδε μὲν δεκάτας ἀποθνήσκοντες ἄνθρωποι
9 λαμβάνουσιν· ἐκεῖ δὲ μαρτυρούμενος, ὅτι ζῇ. Καί, ὡς
ἔπος εἰπεῖν, διὰ Ἀβραὰμ, καὶ Λευὶ, ὁ δεκάτας λαμ-
10 βάνων, δεδεκάτωται· ἔτι γὰρ ἐν τῇ ὀσφύϊ τοῦ πατρὸς ἦν, ὅτε συνήντησεν αὐτῷ ὁ Μελχισεδέκ.

Δεῖξαι θέλει, ὅτι πολὺ ἦν τὸ ὑπερέχον τοῦ Μελχισεδὲκ, καὶ διὰ τοῦτο ἔλαβε τὰς δεκάτας· καί φησι· Καὶ οἱ Λευῖται μὲν οὖν λαμβάνουσιν, ἀλλ' οὐδὲν μέγα· ἀποθνήσκουσι γάρ· τίς δὲ φθονήσει τιμῆς τῷ ἀποθνήσκειν μέλλοντι; Ὁ δὲ Μελχισεδὲκ, καὶ ταῦτα μαρτυρούμενος ζῆν, ἔλαβε τὰς δεκάτας. Τὸ δὲ, *μαρτυρούμενος, ὅτι ζῇ*, δέξαι κατὰ τὴν ἄνω ἔννοιαν· Διότι, φησὶν, οὐκ εἶπεν ἡ Γραφὴ τὴν τελευτὴν αὐτοῦ, ἀλλὰ τὴν ζωὴν μόνον, τὸ ζῆν αὐτῷ μόνον ἔδοξε μαρτυρεῖν· ὡς εἰ εἶπεν· Προῄδει ὁ Ἀβραὰμ, ὅτι οὐκ ἔσται δῆλη ἡ τελευτὴ τοῦ Μελχισεδὲκ· καὶ οὐδὲ τοῦτο ἐποίησεν αὐτὸν φθονῆσαι αὐτῷ τῆς τιμῆς τῶν δεκατῶν· ᾔδει γὰρ αὐτοῦ τὸ ὑπερέχον. Ἢ ἁπλούστερον δέξαι τὸ εἰρημένον, ὅτι ὁ τρόπος τῆς ἱερωσύνης, τῶν μὲν Λευϊτῶν, ἀποθνήσκει· καὶ γὰρ ἐπαύσατο, τῆς ἀληθείας φανείσης· ὁ δὲ τῆς τοῦ Μελχισεδὲκ, ἤτοι, τῆς κατὰ Χριστὸν, ζῇ, καὶ μένει, καὶ ἔσται ἀεί. Πῶς δὲ ἐμαρτυρήθη; Ἐν τῷ εἰπεῖν τὸν θεόν· Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. Καὶ ἔνθεν οὖν τὸ διάφορον τοῦ Μελχισεδὲκ, καὶ τῶν παρὰ Ἰουδαίοις

Δημόσια Κεντρική Βιβλιοθήκη Βερ

ἱερεύς. *Ἀποθνήσκοντες ἄνθρωποι.*] Οὐδὲ γάρ ἐστιν ὑπολαβεῖν, φησί, μή ποτε πρὸς μέν τινα καιρὸν ἐγένετο μείζων, μετὰ δὲ τοῦτο εἰς ἐλάττονα κατέστη μοῖραν· ἐπεί περ ὧδε μέν, τουτέστιν, ἐν τῷ νόμῳ, λαμβάνουσι δεκάτας οἱ Λευῖται, οἳ καὶ τελευτῶντες, τὴν ἀξίαν παραπέμπουσιν εἰς ἑτέρους· ὥστε μὴ τοὺς αὐτοὺς εἶναι ἀεὶ τοὺς τὴν δεκάτην δεχομένους· ἐκεῖ δέ, τουτέστιν, ἐν τῷ κατὰ τὸν Μελχισεδὲκ πράγματι, οὐδὲν τοιοῦτον μεμαθήκαμεν. Ὥστε ἀεὶ φαίνεσθαι αὐτὸν ὑπερέχοντα, εἴπερ μένει πάντοτε ἐπὶ τῆς οἰκείας ἀξίας. Τὸ γὰρ μένειν αὐτὸν, ὡς ἔφην, ἱερέα διηνεκῆ, ἀπὸ τῆς Γραφῆς ἔλαβεν, ὡς ἐν τῷ λέγειν· Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ· τοῦτο ἐμφαινούσης, ὅτι κἀκεῖνος τοιοῦτος ἱερεὺς διηνεκής. *Καὶ, ὡς ἔπος εἰπεῖν.*] Ἵνα μὴ λέγωσιν οἱ νομικοὶ ἱερεῖς· Καὶ τί πρὸς ἡμᾶς, εἰ ὁ Ἀβραὰμ δεκάτας ἔδωκε; Ναί, φησιν· ἐν γὰρ τῷ Ἀβραὰμ ἦν ὁ Λευΐ, ὁ ἀρχηγὸς τῆς καθ' ἡμᾶς ἱερωσύνης, ὁ δεκάτας λαμβάνων, εἰ καὶ μήπω ἦν τεχθείς, ὅτε τὰς δεκάτας ἐδίδου ὁ Ἀβραάμ. Εἰ τοίνυν τῇ δυνάμει ἐν τῷ Ἀβραὰμ ἦν ὁ Λευΐ, δῆλον, ὡς καὶ αὐτὸς ὁ Λευΐ, ὁ προπάτωρ τῶν ἱερέων, δέδωκε δεκάτας, τοῦ Ἀβραὰμ δεδωκότος. Ἆρα οὖν οὐκ ἔστι καὶ τοῦ Λευΐ κρείττων ὁ Μελχισεδέκ, ὡς καὶ παρ' αὐτοῦ δεκάτας λαβεῖν ἐοικὼς διὰ μέσου τοῦ Ἀβραάμ; Τὸ δέ, *ὡς ἔπος εἰπεῖν*, ἢ τοῦτο σημαίνει, ὅτι, Καὶ ἐν συντόμῳ εἰπεῖν, ἢ ἀντὶ τοῦ, Ἵν' οὕτως εἴπω. Ἐπειδὴ γὰρ τόλμημα ἐδόκει τὸ εἰπεῖν, ὅτι ὁ Λευΐ, μήπω εἰς γένεσιν παραχθείς, ἐδεκατώθη παρὰ τοῦ Μελχισεδέκ, ἐκόλασε τοῦτο. — ΑΔΔΟ. Διότι ὁ Ἀβραὰμ δέδωκε δεκάτας, διὰ τοῦτο, φησί, καὶ ὁ Λευΐ, ὁ τὰς δεκάτας λαμβάνων, *δεδεκάτωται*, τουτέστι, δέδωκε δεκάτας. Ἐν γοῦν τῷ, *διὰ Ἀβραάμ*, δεῖ ὑποστίζειν, ἵνα τὸ νόημα παντελῶς ἀβίαστον γένηται. Διὰ γὰρ τὸν δεκατωθέντα Ἀβραάμ, φησι, τρόπον τινὰ καὶ ὁ ἐν τῇ ὀσφύϊ αὐτοῦ ἔτι ὢν Λευΐ δεδεκάτωται (Φωτίου). — *Ἔτι γὰρ ἐν τῇ ὀσφύϊ.*] Τὸ γὰρ σπέρμα, τὸ τῆς ζωῆς αἴτιον τοῦ Λευΐ, ἔνδον ἦν ἐν τῇ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὀσφύϊ τοῦ Ἀβραάμ. Ἦν γὰρ ὁ Ἰσαὰκ ὁ αἴτιος τοῦ Λευΐ (1).

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Ὅτι παύσεται ἡ τοῦ Ἀαρὼν ἱερωσύνη, ἡ ἐπὶ γῆς οὖσα· ἵσταται δὲ ἡ ἐπουράνιος, ἡ Χριστοῦ, ἐξ ἑτέρου γένους, οὐ κατὰ σάρκα, οὐ διὰ νόμου σαρκίνου.

11 Εἰ μὲν οὖν τελείωσις διὰ τῆς ἱερωσύνης ἦν· (ὁ λαὸς γὰρ ἐπ' αὐτῇ νενομοθέτητο·) τίς ἔτι χρεία, κατὰ τὴν τάξιν Μελχισεδὲκ ἕτερον ἀνίστασθαι ἱερέα, καὶ
12 οὐ κατὰ τὴν τάξιν Ἀαρὼν λέγεσθαι; Μετατιθεμένης γὰρ τῆς ἱερωσύνης, ἐξ ἀνάγκης καὶ νόμου
13 μετάθεσις γίνεται. Ἐφ' ὃν γὰρ λέγεται ταῦτα, φυλῆς ἑτέρας μετέσχηκεν, ἀφ' ἧς οὐδεὶς προσέσχηκε τῷ
14 θυσιαστηρίῳ. Πρόδηλον γάρ, ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος ἡμῶν· εἰς ἣν φυλὴν οὐδὲν περὶ ἱερωσύνης Μωϋσῆς ἐλάλησε.

Δείξας τὸν Μελχισεδὲκ βελτίονα ὄντα τοῦ Λευΐ καὶ τῶν ἱερέων, καὶ αὐτοῦ τοῦ πατριάρχου Ἀβραὰμ, λοιπὸν δείκνυσιν, ὅτι αὕτη ἡ ἱερωσύνη, ἡ τῆς Νέας, βελτίων τῆς τῆς Παλαιᾶς, καὶ ἡ διαθήκη, τῆς διαθήκης τελειοτέρα. Καὶ γὰρ εἰ τὸ τέλειον εἶχεν ἡ Λευϊτικὴ ἱερωσύνη ἐν τοῖς δόγμασι, τίς ἦν χρεία, μὴ κατὰ τὴν τάξιν Ἀαρὼν, ὃς καὶ αὐτὸς τῆς Λευϊτικῆς ἱερωσύνης ἦν, τὸν Χριστὸν ἀναστῆναι; ἀλλ' ἐδεήθη κατὰ τὴν τάξιν ἀναστῆναι τοῦ Μελχισεδέκ; Οὐκ εὔδηλον, ὅτι διὰ τὸ ἀτελὲς τῆς

(1) « Οὐδέπω τοῦ Ἰσαὰκ ἐγεγόνει πατὴρ, ὅτε τοῦ Μελχισεδὲκ ὁ πατριάρχης τὴν εὐλογίαν ἐδέξατο. Ἔτι τοίνυν ἐν ἐκείνῳ εἶχε τῆς παιδοποιΐας τὰς ἀφορμάς. Ἐκ δὲ τοῦ Ἰσαὰκ ὁ Ἰακὼβ ἐβλάστησεν· ἐξ ἐκείνου δὲ ὁ Λευΐς. Ἐν αὐτῷ τοίνυν, φησὶν, ἦν ὁ Λευΐς, ἡνίκα καὶ τὴν δεκάτην προσήνεγκε, καὶ τὴν εὐλογίαν ἐδέξατο. Ἀνάγκη τοίνυν καὶ αὐτὸν δεδεκατῶσθαι, καὶ τῆς εὐλογίας μετειληφέναι. » Θεοδώρητος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Λευϊτικῆς ἱερωσύνης τοῦτο γέγονεν; *Ὁ λαὸς γὰρ ἐπ' αὐτῇ νενομοθέτητο.*] Εἰ γὰρ ἦν τελεία ἡ Λευϊτικὴ ἱερωσύνη ἔδει κατὰ τὴν τάξιν Ἀαρὼν ἀναστῆναι τὸν Χριστὸν, μάλιστα, ὅτι ὁ λαὸς ἐπὶ ταύτῃ τῇ Λευϊτικῇ ἱερωσύνῃ *νενομοθέτηται*, τουτέττιν, ὡρίσθη, ὥστε ταύτῃ κεχρῆσθαι, ταύτῃ στοιχεῖν, ὑπὸ ταύτης ἄγεσθαι. Διὰ τί τοίνυν ἐξεβλήθη; Ἢ δηλονότι ὡς ἀνίσχυρος. *Μετατιθεμένης γὰρ τῆς ἱερωσύνης.*] Ὅρα, πῶς εὐφυῶς δείκνυσι καὶ τὸν νόμον καταργούμενον ἀκολούθως, καὶ τὴν νέαν Διαθήκην εἰσάγει. Ὁπότε γάρ, φησι, μετάθεσις τῆς ἱερωσύνης γέγονε, τῷ μηκέτι κατὰ τὴν τάξιν Ἀαρὼν, ἀλλὰ τοῦ Μελχισεδὲκ ἀνίσασθαι ἱερέα, καὶ τῷ μηκέτι ἐκ γένους Λευΐ, ἀλλὰ ἐκ γένους Ἰούδα· (ἔνθεν γὰρ ὁ Χριστὸς τὸ κατὰ σάρκα γενέσθαι ἱερέα·) ἀνάγκη πᾶσα καὶ τὸν νόμον καὶ τὴν διαθήκην *μετατεθῆναι*, τουτέστιν, ἀλλαγῆναι, καὶ ἄλλην νεαρὰν ἀντεισαχθῆναι. *Ἐφ' ὃν γὰρ λέγεται ταῦτα.*] *Ἐφ' ὃν*, ἀντὶ τοῦ, Περὶ οὗ λέγεται ταῦτα· ἐπὶ τὸν Χριστὸν δηλονότι εἴρηται τό· Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. *Φυλῆς ἑτέρας μετέσχηκεν.*] Καὶ τοσοῦτον, φησὶ, γίνεται μετάθεσις καὶ ἐναλλαγὴ τοῦ τε νόμου καὶ τῆς παλαιᾶς Διαθήκης, ὅτι καὶ τῆς φυλῆς αὐτῆς, ἥτις τὴν παλαιὰν ἱερωσύνην μετεχειρίζετο, γέγονεν ἐναλλαγή· ὁ γὰρ Χριστὸς ἑτέρας ἐστὶ φυλῆς, καὶ οὐ τῆς τοῦ Λευΐ, ἀλλὰ τῆς τοῦ Ἰούδα. *Ἀφ' ἧς οὐδεὶς προσέσχηκε τῷ θυσιαστηρίῳ.*] Ἥτις Ἰούδα φυλὴ οὐδέποτε ὡς ἱερατεύουσα παρέζη ἐν τῷ θυσιαστηρίῳ. Τὸ γάρ, *προσέσχηκεν*, ἡ προέζη νοήσεις, ἢ προσέσχεν. Ὅσον γάρ, φησιν, εἰς τὸ ἱερατεῦσαι, οὐδὲ προσέσχε τῷ θυσιαστηρίῳ ἡ τοῦ Ἰούδα φυλή. *Ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος ἡμῶν.*] Πεποιημένη λέξις τῇ κατὰ σάρκα γεννήσει τοῦ Σωτῆρος ἡμῶν θεοῦ τὸ, *ἀνατέταλκε*, καὶ ἐκ τῆς τοῦ Βαλαὰμ προφητείας ληφθεῖσα, *Ἀνατελεῖ ἄστρον ἐξ Ἰακὼβ*, λέγοντος (α)· καὶ ἐκ τοῦ Μαλαχίου δὲ, *ἥλιον δι-*

(α) Ἀριθ. ΚΔ', 17.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καιοσύσης ἀποκαλοῦντος αὐτόν (α). Δι' ὧν δηλοῦται τὸ εἰς φωτισμὸν τοῦ κόσμου τὴν παρουσίαν τοῦ Κυρίου γενέσθαι. *Εἰς ἣν φυλὴν οὐδὲν περὶ ἱερωσύνης Μωϋσῆς ἐλάλησε.*] Ἦν γὰρ εἰς τὴν τοῦ Λευὶ πάντα τὰ τῆς ἱερωσύνης ἀναθεὶς ὁ Μωσῆς.

15 Καὶ περισσότερον ἔτι κατάδηλόν ἐστιν, εἰ κατὰ τὴν
ὁμοιότητα Μελχισεδὲκ ἀνίσταται ἱερεὺς ἕτερος, ὃς
16 οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς γέγονεν, ἀλλὰ
17 κατὰ δύναμιν ζωῆς ἀκαταλύτου. Μαρτυρεῖ γάρ· «Ὅτι σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.»

Καὶ οὐ μόνον, φησὶν, ἔνθεν δῆλόν ἐστιν, ὅτι ἐνηλλάγη ἥ τε ἱερωσύνη καὶ ἡ διαθήκη, ἐκ τοῦ ἑξ' ἑτέρας φυλῆς, καὶ οὐ τῆς τοῦ Λευὶ, εἶναι τὸν ἀνιστάμενον ἱερέα, ἀλλὰ καὶ ἐξ ἐκείνου περισσῶς δῆλόν ἐστι. Ποίου τούτου; Ἐκ τοῦ κατὰ τὴν τάξιν Μελχισεδὲκ, καὶ οὐ κατὰ τὴν τοῦ πάλαι ἱερέως Ἀαρὼν γενέσθαι ἱερέα τὸν Χριστόν. *Εἰ κατὰ τὴν ὁμοιότητα.*] Τὸ, *Εἰ*, ἀντὶ τοῦ, Ὅτι, νοήσεις, ἤγουν, Ἐπειδή· ὡσεὶ εἶπε· Καὶ ἐκ τούτου κατάδηλός ἐστιν ἥ τε ἐναλλαγὴ, καὶ ἡ μετάθεσις τῆς παλαιᾶς Διαθήκης, ἐπειδὴ κατὰ τὴν ὁμοιότητα τοῦ Μελχισεδὲκ ἀνίσταται ἱερεὺς, καὶ οὐ κατὰ τὴν ὁμοιότητα Ἀαρών. *Ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς γέγονεν.*] Ὅστις ἱερεὺς ἕτερος, τουτέστιν, ὁ Χριστὸς, γέγονεν ἀρχιερεὺς, *οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου.* Τί δέ ἐστι τὸ, *Κατὰ νόμον ἐντολῆς σαρκικῆς;* Ὅτι ὁ νόμος τὰς ἐντολὰς σαρκικὰς εἶχεν, οἷον, περιτομὴν, ἀργίαν, τόδε φαγεῖν, καὶ τόδε μὴ φαγεῖν, ἅπερ σαρκὸς ἦν καὶ οὐ ψυχῆς καθάρσια. Οὐ γέγονεν οὖν, φησὶν, ἱερεὺς ἀπὸ τοῦ νόμου, τοῦ τὰς σαρκικὰς ἐντολὰς ἐντελλομένου· ἐκεῖνος γὰρ τοὺς Λευίτας οἶδεν ἱερέας· ἀλλὰ γέγονεν ὁ Χριστὸς ἱερεὺς διά τε δυνάμεως ἰδίας, καὶ τῆς τοῦ πατρὸς, καὶ διὰ ζωῆς ἀπεράντου. *Μαρτυρεῖ γάρ.*] Καὶ ὅτι,

(α) Μαλαχ. Δ', 2.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φησιν, οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς γέγονεν ἱερεὺς ὁ Χριστός, ἡ μαρτυρία δηλοῖ τοῦ πατρός. Μαρτυρεῖ γὰρ αὐτὸν ὁ πατὴρ λέγων· Κατὰ τὴν τάξιν Μελχισεδὲκ ἱερέα. Εἰ γὰρ κατὰ τὸν νόμον ἐγίνετο, ἔδει αὐτὸν κατὰ τὴν τάξιν Ἀαρὼν γενέσθαι· νῦν δὲ, ἐπειδὴ κατὰ τὴν τάξιν Μελχισεδὲκ γέγραπται, δῆλον, ὡς οὐ κατὰ τὸν νόμον, ἀλλὰ κατά τινα ἕτερον τρόπον θειότερον.

18 Ἀθέτησις μὲν γὰρ γίνεται προαγούσης ἐντολῆς,
19 διὰ τὸ αὐτῆς ἀσθενὲς καὶ ἀνωφελές· (οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος·) ἐπεισαγωγὴ δὲ κρείττονος
20 ἐλπίδος, δι' ἧς ἐγγίζομεν τῷ θεῷ. Καὶ καθ' ὅσον
21 οὐ χωρὶς ὁρκωμοσίας· (οἱ μὲν γὰρ χωρὶς ὁρκωμοσίας εἰσὶν ἱερεῖς γεγονότες· ὁ δὲ, μετὰ ὁρκωμοσίας, διὰ τοῦ λέγοντος πρὸς αὐτόν· «Ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται· Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα
22 κατὰ τὴν τάξιν Μελχισεδέκ·») κατὰ τοσοῦτον κρείττονος διαθήκης γέγονεν ἔγγυος Ἰησοῦς.
23 Καὶ οἱ μὲν πλείονές εἰσι γεγονότες ἱερεῖς, διὰ τὸ
24 θανάτῳ κωλύεσθαι παραμένειν· ὁ δὲ, διὰ τὸ μένειν αὐτὸν εἰς τὸν αἰῶνα, ἀπαράβατον ἔχει τὴν ἱερωσύ-
25 νην· ὅθεν καὶ σώζειν εἰς τὸ παντελὲς δύναται τοὺς προσερχομένους δι' αὐτοῦ τῷ θεῷ, πάντοτε ζῶν, εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν.

Εἶπεν, ὅτι βελτίων ἡ νέα Διαθήκη· καὶ τοῦτο δηλοῖ, φησὶ, τὸ τῶν ἱερέων διάφορον. Εἶπεν, ὅτι καὶ ἐνηλλάγη πάντα. Λοιπὸν τὴν αἰτίαν τῆς ἐναλλαγῆς λέγει, καί φησιν· *Ἀθέτησις γίνεται*, τουτέστιν, ἐναλλαγὴ καὶ ἐκβολή. Ἀθέτησις τοιγαροῦν γίνεται *προαγούσης ἐντολῆς*, τουτέστι, παλαιοτέρου νόμου, οὐχ ἁπλῶς, ἀλλὰ τότε, ὅταν ἀσθενὴς καὶ ἀνωφελὴς εὑρεθῇ· ἐπεὶ, μὴ ὄντος μώμου τινὸς, τίς χρεία τῆς ἐναλλαγῆς; Τοιγαροῦν, φησὶ, διὰ τοῦτο καὶ ὁ νόμος· (οὗτος γὰρ, ἡ *προάγουσα ἐντολή*·) ἐκβέβληται, διὰ τὸ ἀσθενὲς αὐτοῦ καὶ ἀνωφελές. Οὐδὲ γὰρ ἴσχυεν ὁ νόμος τέλειόν τινα ἐν ἀρετῇ ποιῆσαι. Ἔλεγε γὰρ μόνον, Τόδε ποιῆσαι, καὶ Τόδε μὴ ποιῆσαι· οὐκέτι δὲ καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐνεδυνάμου καὶ συνυπούργει πρὸς τὸ γίνεσθαι τὰ λεχθέντα· ὃ νῦν γίνεται ἡμῖν διὰ τοῦ Πνεύματος. *Ἐπεισαγωγὴ δέ.*] Ἀπὸ κοινοῦ τὸ, γίνεται. *Κρείττονος ἐλπίδος.*] Εἶχε μὲν γὰρ καὶ ὁ νόμος ἐλπίδα, ἀλλ' οὐ τοιαύτην, οἵα ἡ ἀντεισαχθεῖσα. Οἱ μὲν γὰρ πληροῦντες τὸν νόμον, ἤλπιζον ἕξειν τὴν γῆν· *Τὰ ἀγαθὰ* γάρ, φησι, *τῆς γῆς φάγεσθε* (α)· ἡ δὲ διὰ Χριστοῦ ἐλπὶς, κρείττων· τὴν βασιλείαν γὰρ δίδωσι τῶν οὐρανῶν, καὶ τὸ ἐγγὺς εἶναι θεοῦ, καὶ παρεστάναι καὶ λειτουργεῖν αὐτῷ μετὰ ἀγγέλλων. Ἀνωτέρω μὲν οὖν εἶπεν· *Εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος*· νῦν δέ· *Δι' ἧς ἐγγίζομέν*, φησι, *τῷ θεῷ*· ἡ γὰρ ἐλπὶς παρ' αὐτὸν ἡμᾶς ἄγει τὸν θεῖον θρόνον, καὶ μετὰ τῶν Χερουβὶμ ἱστᾷ. *Καὶ καθ' ὅσον οὐ χωρὶς ὁρκωμοσίας.*] Καὶ τοσοῦτον, φησὶ, κρείττων ἀντεισήχθη ἐλπὶς, καθ' ὅσον ὁ Χριστὸς οὐ χωρὶς ὁρκωμοσίας γέγονεν ἱερεύς. Ἡ γὰρ ὁρκωμοσία τὸ ἀμετάθετον δηλοῖ τοῦ ἔσεσθαι αὐτὸν ἀρχιερέα εἰς τὸν αἰῶνα. *Οἱ μὲν γὰρ χωρὶς ὁρκωμοσίας.*] Εἶτα ἐκ τοῦ ἐλάττονος αἱ συγκρίσεις τῶν παρὰ Ἰουδαίοις ἱερέων καὶ τοῦ ἡμῶν ἀρχιερέως. Οἱ μὲν γὰρ νομικοὶ, φησιν, ἱερεῖς, χωρὶς ὁρκωμοσίας καθίσταντο· ἐπ' οὐδενὸς γὰρ εὕρηται ὀμόσας ὁ θεός· Ὅτι σὺ ἔσῃ ἱερεὺς κατὰ τὸν νόμον· ὁ δὲ Χριστὸς, μετὰ ὁρκωμοσίας, τῆς γενομένης *διὰ τοῦ λέγοντος πρὸς αὐτὸν*, οἷον, διὰ τοῦ θεοῦ· διὰ τοῦ Δαυὶδ γὰρ ὁ θεὸς ἐλάλει· *Σὺ ἱερεὺς*, καινῷ τινι τρόπῳ· οὐ γὰρ κατὰ τὸν Ἀαρὼν, ἀλλὰ κατὰ τὸν Μελχισεδέκ. *Κατὰ τοσοῦτον κρείττονος.*] Καθόσον, φησιν, οἱ μὲν παρὰ Ἰουδαίοις ἱερεῖς δίχα ὅρκου, ὁ δὲ Χριστὸς μετὰ ὅρκου γέγονεν ἀρχιερεύς. Οὐκ ἂν δὲ τοῦτο γέγονεν εἰ μὴ μεγίστη ἦν ἡ διαφορά. Τοιγαροῦν καὶ τῆς Νέας μεγίστη ἡ διαφορὰ πρὸς τὴν Παλαιάν. Τί δὲ ἐστὶ τό, *Ἔγγυος*; Οἷον, ἐγγυητὴς, μεσίτης (1). *Καὶ οἱ μὲν πλείο-*

(α) Ἡσ. Α, 19.

(1) «Δείξας τὴν ἱερωσύνην τῷ νόμῳ συνεζευγμένην, εἶτα τὴν μὲν λευϊτικὴν παυομένην, τὴν δὲ κατὰ τάξιν Μελχισεδὲκ πεφηνυῖαν, ἀϊδίως λοιπὸν γυμνοῖ καὶ τὴν καινὴν Διαθήκην, καὶ ἀποφαίνει αὐτὴν τοσούτῳ τῆς Παλαιᾶς διαφέρουσαν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

νες.] Καὶ κατ' ἄλλον, φησὶ, τρόπον μείζων ἡμῶν ὁ ἀρχιερεὺς, οὐ μόνον διὰ τὸν ὅρκον· ὅτι ἐκεῖ μὲν πολλοί εἰσι, *διὰ τὸ θανάτῳ κωλύεσθαι*, τουτέστι, διὰ τὸ θνητοὶ εἶναι, *παραμένειν*, ἐν τῇ ἱερωσύνῃ δηλονότι· ἐνταῦθα δὲ, εἷς, διὰ τὸ ἀθάνατος εἶναι. *Ἀπαράβατον ἔχει τὴν ἱερωσύνην.*] Ἀπαράβατον, τουτέστιν, ἀδιάκοπον, ἀδιάδοχον, ἀτελεύτητον. Ὁρᾷς, πόσῳ μείζων ἐστὶν; Ὅσον τὸ ἀθάνατον τοῦ θνητοῦ. *Ὅθεν καὶ σώζειν εἰς τὸ παντελὲς δύναται.*] Ἐπειδὴ, φησὶν, ἀθάνατός ἐστι, δύναται προΐστασθαι καὶ σώζειν *εἰς τὸ παντελές*· τουτέστιν, οὐ πρόσκαιρον σωτηρίαν διδόναι, ἀλλὰ *παντελῆ*· τουτέστιν, οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἐν τῇ μελλούσῃ ζωῇ· τοῦτο γὰρ τὸ παντελὲς καὶ παντέλειον. *Τοὺς προσερχομένους δι' αὐτοῦ.*] Διὰ τῆς εἰς αὐτὸν πίστεως. Ὁ γὰρ εἰς τὸν υἱὸν πιστεύων, τῷ πατρὶ προσέρχεται πάντως· αὐτὸς γάρ ἐστιν ἡ πρὸς τὸν πατέρα ὁδὸς, καὶ ὁ ταύτης δραξάμενος, ἐκεῖ καταλύει. *Πάντοτε ζῶν.*] Διὰ τοῦτο, φησὶν, εἰς τὸ παντελὲς σώζει, διὰ τὸ πάντοτε ζῆν· σώζει δὲ, διὰ τοῦ ἐντυγχάνειν ὑπὲρ τῶν προσερχομένων τῷ θεῷ καὶ πατρί. *Εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν.*] Περὶ τοῦ κατὰ σάρκα Χριστοῦ εἴρηται τὸ ταπεινὸν τοῦτο. Ὅταν δὲ εἴπω, *κατὰ σάρκα*, οὐ διαίρεσιν δηλῶ, μὴ γένοιτο! ἀλλ' οἶδα αὐτὸν ἀδιαιρέτως, ἀσυγχύτως ἐν μιᾷ ὑποστάσει προσκυνούμενον μετὰ τῆς ἰδίας αὐτοῦ σαρκός. Τί δὲ τὸ, *ἐντυγχάνειν*; Οἷον, δέεται τοῦ πατρὸς αὐτοῦ ὑπὲρ ἡμῶν. Ἐπειδὴ γὰρ εἶπεν αὐτὸν *ἱερέα*, ἴδιον δὲ ἱερέως τὸ δεῖσθαι ὑπὲρ τοῦ λαοῦ, διὰ τοῦτο εἶπε τὸ, *ἐντυγχάνειν*. Ὅτι γὰρ τοῦτό ἐστι, δῆλον· ὁ γὰρ οἰκεία αὐθεντίᾳ νεκροὺς ἐγείρων, καὶ ἁμαρτίας ἀφιεὶς, οὐκ ἂν εἰς τὸ σῶ-

---

ὅσῳ τῆς πρωτέρας ἱερωσύνης κρείττων πέφηνεν ἡ δευτέρα. Ἐπειδὴ δὲ ἡ καινὴ Διαθήκη τὴν βασιλείαν ἡμῖν ὑπέσχετο τῶν οὐρανῶν, καὶ τῶν νεκρῶν τὴν ἀνάστασιν, καὶ τὴν ζωὴν τὴν αἰώνιον, οὐδὲν δὲ τούτων ἐωρᾶτο, εἰκότως ταύτης ἔγγυον ὠνόμασε τὸν Κύριον Ἰησοῦν, ὃς διὰ μὲν τῆς οἰκείας ἀναστάσεως ἐβεβαίωσε τῆς ἡμετέρας ἀναστάσεως τὴν ἐλπίδα· τὴν δὲ οἰκείαν ἀνάστασιν διὰ τῶν ἐπιτελουμένων ὑπὸ τῶν ἀποστόλων ἐδείδου θαυμάτων. Θεοδώρητος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σαι ἐδεήθη τοῦ πατρὸς, ὡς αὐτὸς ἀδύνατος ὢν οἰκείᾳ σῶσα
δυνάμει. Ἢ τὸ, *ἐντυγχάνειν*, δέξαι, καθὼς τό· *Ἔχομεν αὐ*
τὸν παράκλητον πρὸς τὸν πατέρα (α). Ἐξ αὐτῆς, φησὶ, τῆ
ἐνανθρωπήσεως παρακαλεῖ καὶ προτρέπεται τὸν πατέρα ἐλεεῖ
ἡμᾶς.

26 Τοιοῦτος γὰρ ἡμῖν ἔπρεπεν ἀρχιερεὺς, ὅσιος, ἄκα
κος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν
27 καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος· ὃς οὐ
ἔχει καθ' ἡμέραν ἀνάγκην, ὥσπερ οἱ ἀρχιερεῖς, πρό
τερον ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας ἀναφέρειν
ἔπειτα τῶν τοῦ λαοῦ· τοῦτο γὰρ ἐποίησεν ἐφά
28 παξ, ἑαυτὸν ἀνενέγκας. Ὁ νόμος γὰρ ἀνθρώπου
καθίστησιν ἀρχιερεῖς, ἔχοντας ἀσθένειαν· ὁ λόγο
δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον, υἱὸν εἰ
τὸν αἰῶνα τετελειωμένον.

Προφανὲς ἐκ τούτων, ὅτι περὶ τοῦ κατὰ σάρκα Χριστοῦ λέγ
τὰ πρὸ τούτων, καὶ ταῦτα. Πῶς γὰρ ἂν ἔλεγε περὶ τῆς θεότ
τος τοιαῦτα, καὶ οὐκ ἂν ἠσχύνθη, τῇ ἀκαταλήπτῳ ἐκείνῃ φύσ
ταῦτα προσανατιθείς; *Ὅσιος* μὲν οὖν ἐστιν, ὁ μηδὲν τῶν ὠφε
λημένων αὐτῷ παραλιμπάνων. *Ἄκακος* δὲ, ὁ ἄδολος καὶ ἀπ
νηρος. Δόλος γάρ, φησιν, οὐχ εὑρέθη ἐν τῷ στόματι αὐτοῦ (β
Ἀμίαντος.] Οὐδὲ τοῦτο θεοῦ ἔπαινον εἴποι ἄν τις· φύσιν γ
ἔχει μὴ μιαίνεσθαι. Ἀλλὰ δῆλον, ὅτι περὶ τῆς ἀνθρωπότητ
τοῦ ἑνὸς Χριστοῦ τοῦτο. *Κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶ*
Οἱ μὲν παρὰ Ἰουδαίοις, φησὶν, ἀρχιερεῖς, κἂν ἅγιοι εἶεν τ' ἀ
λα, ὡς ἄνθρωποι ὅμως ἐπισύρονταί τι τῆς κακίας, καὶ οὐ πά
τη κεχωρισμένοι εἰσὶ τῶν ἁμαρτωλῶν· πῶς γὰρ, εἴγε καὶ α
τοὶ ἁμαρτίαις ἔνοχοι; καὶ προσέτι, οὐδεὶς αὐτῶν ἐν οὐρα
ἐγένετο· ὁ δὲ ἡμέτερος ἀρχιερεὺς, μετὰ τοῦ πάσης ἀρετ
ὑπερπλήρης εἶναι καὶ τῶν ἁμαρτωλῶν κεχωρίσθαι, ἔτι κ
ὑψηλότερος τῶν οὐρανῶν ἐγένετο· εἰς αὐτὸν γὰρ τὸν πατρι

(α) Α' Ἰωαν. Β', 1. (β) Α' Πετρ. Β', 22. Ἡσ. ΝΓ', 9.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκάθισε Θρόνον. Τὸ δὲ, *γενόμενος*, οὐ βοᾷ, ὅτι περὶ τῆς σαρκὸς αὐτοῦ ταῦτα λέγει; Ὁ γὰρ θεὸς Λόγος ἦν ἀεὶ ὑψηλότερος τῶν οὐρανῶν. *Ὃς οὐκ ἔχει καθ' ἡμέραν ἀνάγκην.*] Οὐ μόνον, φησὶν, ἀπὸ τοῦ ἀναμάρτητον αὐτὸν εἶναι ἐστὶν ἡ διαφορὰ πρὸς τοὺς Ἰουδαίων ἱερέας, ἀλλὰ καὶ ἀπὸ τοῦ τρόπου τῆς θυσίας· ὅτι οὐχ ὑπὲρ ἑαυτοῦ προσφέρει πρῶτον θυσίαν, ὥσπερ οἱ ἀρχιερεῖς τῶν Ἰουδαίων, ἔπειτα ὑπὲρ τοῦ λαοῦ· καὶ ὅτι ἅπαξ ἐποίησε τὴν θυσίαν ὑπὲρ τοῦ λαοῦ μόνον. *Τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ.*] Τοῦτο. Ποῖον; Τὸ ὑπὲρ τοῦ λαοῦ ἀνενέγκαι αὐτὸν θυσίαν· ὑπὲρ γὰρ ἑαυτοῦ, οὔτε ἅπαξ πεποίηκεν· οὐ γὰρ ἐδεῖτο, ἀναμάρτητος ὢν, ὑπὲρ ἑαυτοῦ ἀναγαγεῖν. Μὴ τοίνυν, ἀρχιερέα αὐτὸν ἀκούων, νόμιζε αὐτὸν ἀεὶ ἱερᾶσθαι· καὶ γὰρ τοῦτο ποιήσας ἅπαξ, λοιπὸν εἰς τὸν πατρικὸν ἐκάθισε Θρόνον. Λειτουργοῦ μὲν γὰρ καὶ ἱερέως, τὸ ἑστάναι· τὸ δὲ καθῆσθαι δῆλοῖ, ὅτι ἅπαξ τὴν θυσίαν προσαγαγὼν, τουτέστι, τὸ ἴδιον σῶμα, λοιπὸν κεκάθικε, λειτουργούμενος ὑπὸ τῶν ἀσωμάτων δυνάμεων. *Ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς, ἔχοντας ἀσθένειαν.*] Καὶ τίνος ἕνεκεν οὐκ ἐδεήθη ὑπὲρ ἑαυτοῦ θυσίαν ἀναγαγεῖν, οὐδὲ ὑπὲρ τοῦ λαοῦ πολλάκις, ὥσπερ οἱ ἀρχιερεῖς, ἀλλὰ ἅπαξ ἀνενέγκας ἠρκέσθη; Διά τί; Ὅτι οἱ μὲν ἀπὸ τοῦ νόμου προβαλλόμενοι ἱερεῖς, ὑπὸ ἁμαρτίας εἰσί· διὸ δέονται ἀεὶ ὑπέρ τε ἑαυτῶν καὶ τοῦ λαοῦ ἀναφέρειν θυσίαν (1). *Ὁ λόγος δὲ τῆς ὁρκωμοσίας, τῆς μετὰ τὸν νόμον, υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον.*] Τουτέστιν, Ὁ δὲ ἀπὸ τοῦ θεοῦ

(1) « Ἵνα μὴ νομίσῃς, ὅτι ἅπαξ μὲν προσήνεγκε, πλὴν καὶ ὑπὲρ ἑαυτοῦ· κατασκευάζει νῦν, ὅτι οὐχ ὑπὲρ οἰκείων ἁμαρτιῶν προσήνεγκεν. Ὁ μὲν γὰρ νόμος, ψιλοὺς ἀνθρώπους καθίστησιν ἀρχιερεῖς, ἔχοντας ἀσθένειαν, τουτέστι, μὴ δυναμένους ἀντιστῆναι τῇ ἁμαρτίᾳ, ἀλλὰ καὶ αὐτοὺς, ὡς ἀσθενεῖς, ὑποπίπτοντας πταίσμασιν· ὁ δὲ οὕτως ὢν δυνατὸς, ὡς υἱὸς, πῶς ἂν ἔχοι ἁμαρτίαν; μὴ ἔχων δὲ, τίνος ἕνεκεν προσφέρειν ἂν ὑπὲρ ἑαυτοῦ; Ἀλλ' οὐδὲ ὑπὲρ τῶν ἄλλων πολλάκις, ἀλλ' ἅπαξ. Δυνατὸς γὰρ ὤν, ἦρκει καὶ διὰ τοῦ ἅπαξ προσαγαγεῖν, τὸ πᾶν ἀνῦσαι· Νοήσεις δὲ ἀσθένειαν, καὶ αὐτὸν τὴν ἁμαρτίαν, ὡς πολλαχοῦ φησὶν αὐτὸς οὗτος ὁ Παῦλος, ἢ καὶ τὸν θάνατον. Θνητοὶ γὰρ ὄντες οἱ νομικοὶ ἀρχιερεῖς, καὶ ἀσθενεῖς, οὔτε αὐτοὶ ἀναμάρτητοι ἦσαν, οὔτε ἄλλους ἠδύναντο καθαρίσαι· ὁ

διὰ τῆς ὁρκωμοσίας, τῆς μετὰ τὸν νόμον γενομένης, προβαλλόμενος ἀρχιερεὺς, ὁ Χριστὸς, υἱὸς ὢν αὐτοῦ, κατεστάθη ἱερεὺς τετελειωμένος, καὶ μὴ τὴν ἴσην τοῖς κατὰ τὸν νόμον ἱερεῦσιν περικείμενος ἀσθένειαν καὶ ἁμαρτίαν, ἅπαξ ὡς υἱὸς θεοῦ καὶ θεός. Ὅρα τὰς ἀντιδιαστολάς· ἐκεῖ νόμος, ἐνταῦθα λόγος ὁρκωμοσίας, τουτέστι, βεβαιότατος, ἀληθέστατος· ἐκεῖ ἄνθρωποι, δοῦλοι πάντως, ἐνταῦθα υἱὸς, δεσπότης δηλαδή· ἐκεῖ ἀσθενεῖς, τουτέστι, προσπταίοντες, ἁμαρτίαν ἔχοντες, θανάτῳ ὑποκείμενοι, ἐνταῦθα *εἰς τὸν αἰῶνα τετελειωμένος*, τουτέστιν, ἀΐδιος, δυνατὸς, οὐ νῦν μόνον ἀναμάρτητος, ἀλλ' ἀεί. Εἰ τοίνυν υἱός τέ ἐστι, καὶ εἰς τὸν αἰῶνα παντέλειος, τίνος ἕνεκεν προσήνεγκεν ἂν ὑπὲρ ἑαυτοῦ, ἢ ὅλως ὑπὲρ ἄλλων πολλάκις,

ΚΕΦ. VIII. 1 Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον ἔχομεν ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ 2 τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς, τῶν ἁγίων λειτουργὸς καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, 3 ἣν ἔπηξεν ὁ Κύριος καὶ οὐκ ἄνθρωπος. Πᾶς γὰρ ἀρχιερεὺς εἰς τὸ προσφέρειν δῶρά τε καὶ θυσίας καθίσταται· ὅθεν ἀναγκαῖον ἔχειν τι καὶ τοῦτον, ὃ 4 προσενέγκῃ. Εἰ μὲν γὰρ ἦν ἐπὶ γῆς, οὐδ' ἂν ἦν ἱερεὺς, ὄντων τῶν ἱερέων τῶν προσφερόντων κατὰ 5 τὸν νόμον τὰ δῶρα· (οἵτινες ὑποδείγματι καὶ σκιᾷ λατρεύουσι τῶν ἐπουρανίων, καθὼς κεχρημάτισται Μωϋσῆς, μέλλων ἐπιτελεῖν τὴν σκηνήν· «Ὅρα γάρ, φησι, ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέν- 6 τά σοι ἐν τῷ ὄρει (α)·») νυνὶ δὲ διαφορωτέρας τέτευχε λειτουργίας, ὅσῳ καὶ κρείττονός ἐστι διαθήκης μεσίτης, ἥτις ἐπὶ κρείττοσιν ἐπαγγελίαις νενομοθέτηται.

Κεφάλαιον δέ.] Ἀεὶ τὸ μέγιστον λέγει *κεφάλαιον*. Ὅταν τις ἐν ὀλίγῳ τὰ κυριώτερα παραλαβεῖν μέλλῃ, ἐν κεφαλαίῳ φησὶ

(1) Ἔξοδ. ΚΕ', 40.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ποιεῖσθαι τὸν λόγον· ὥσπερ καὶ ἡ κεφαλὴ, μικρὰ οὖσα, τὸ κυριώτερόν ἐστι τοῦ σώματος. Φησὶν οὖν καὶ νῦν ὁ ἀπόστολος· *Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις· τοιοῦτόν ἐστιν, Ἵνα εἴπω τὸ μέγιστον καὶ συνεκτικώτερον, θεὸν ἔχομεν ἀρχιερέα· τὸ γὰρ καθῆσθαι οὐδενὸς ἄλλου, ἢ θεοῦ. Τοιοῦτον ἔχομεν ἀρχιερέα.*] Ἀναμίγνυσιν ἐνταῦθα τὰ ταπεινὰ τοῖς ὑψηλοῖς, ἵνα διὰ τῶν ταπεινῶν ὁδοποιήσῃ τοῖς ὑψηλοῖς. Ταπεινὰ, τὸ, *ἀρχιερέα*, καὶ, *λειτουργόν*· ὑψηλὰ, τὸ, *ἐκάθισεν ἐν δεξιᾷ τοῦ θεοῦ*, καὶ, *ἐν τοῖς οὐρανοῖς. Τοῦ θρόνου τῆς μεγαλωσύνης.*] *Θρόνον μεγαλωσύνης*, τὸν πατρικόν φησιν, ἢ ὅτι καὶ ὁ πατὴρ λεχθείη ἂν αὐτῷ μεγαλωσύνη· ἢ ὅτι ἁπλῶς οὕτω, *θρόνος μεγαλωσύνης*, ὁ μέγιστος θρόνος. *Τῶν ἁγίων λειτουργός.*] Ἀρχιερεύς, φησι, τῶν ἡγιασμένων παρ' αὐτοῦ ἀνθρώπων· ἡμῶν γάρ ἐστιν ἀρχιερεύς. Ἀλλ' εἰ ἐκάθισεν ἐκ δεξιῶν τοῦ πατρὸς, πῶς ἐστι λειτουργός; λειτουργοῦ γὰρ ἴδιον τὸ ἑστάναι καὶ λειτουργεῖν· τὸ δὲ καθῆσθαι, θεοῦ, ᾧ ἡ λειτουργία ἀναφέρεται. Ἀλλ', ὡς εἴρηται, τὰ ταπεινὰ τοῖς ὑψηλοῖς μίγνυσιν, ἵνα διὰ μὲν τοῦ, *καθῆσθαι*, τὴν θεότητα δείξῃ, διὰ δὲ τοῦ, *λειτουργεῖν*, τὴν περὶ ἡμᾶς κηδεμονίαν καὶ ἀνθρωπότητα. Ἢ τοῦτο λειτουργῶν καὶ τοῦτο ἱερατεύων, τὸ τοὺς ἀνθρώπους ἀποκαθαίρειν τῶν ἁμαρτιῶν καὶ ἁγίους ποιεῖν· τῷ γὰρ τοιούτῳ λειτουργῷ καὶ αὐτουργῷ τῶν ἁγίων, πρέπει, ὡς θεῷ ἀληθινῷ, καὶ υἱῷ, ἐκ δεξιῶν τοῦ πατρὸς καθῆσθαι (1). *Καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς.*] *Σκηνὴν* ἐνταῦθα, τὸν οὐρανόν φησιν. Ἐπειδὴ γὰρ ἔλεγον ἴσως οἱ ἐξ Ἰουδαίων πιστοί· Εἰ ἀρχιερεύς ἐστι, ποῦ ἡ σκηνή, ἐν ᾗ ἱερουργεῖ; δείκνυσιν εἶναι καὶ σκηνήν· καὶ τὸ διάφορον αὐτῆς ὡς πρὸς τὴν Ἰουδαϊκὴν σκηνὴν δεῖξαι θέλων, φησὶν, *ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος. Πᾶς γὰρ*

(1) «Τὸ μέντοι λειτουργὸς προστέθεικεν, ἐπειδὴ περὶ ἀρχιερέως ποιεῖται τοὺς λόγους. Ἐπεὶ ποίαν ἐπιτελεῖ λειτουργίαν, ἅπαξ προσενέγκας ἑαυτὸν, καὶ οὐκέτι ἑτέραν θυσίαν προσφέρων; Πῶς δὲ οἷόν τε αὐτὸν ὑμοῦ καὶ συνεδρεύειν καὶ λειτουργεῖν; Εἰμή τις ἄρα λειτουργίαν εἴποι τῶν ἀνθρώπων τὴν σωτηρίαν, ἣν δεσποτικῶς πραγματεύεται ». Θεοδώρητος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀρχιερεύς.] Ἐπειδὴ γάρ, φησιν, ἴδιον ἱερέων τὸ προσφέρειν δῶρα καὶ θυσίας· (ἐπὶ τούτῳ γὰρ καθίστανται·) ἀναγκαῖον ἔχειν τι καὶ τὸν Χριστὸν, ὃ προσενέγκῃ, θυσίας λόγῳ· διὸ ἔσχε τὴν σάρκα τὴν ἰδίαν, ἣν καὶ προσήνεγκε. Τοῦτο δὲ εἶπεν, ἵνα μή τις λέγῃ· Εἰ ἀρχιερεύς ἐστιν εἰς τὸν αἰῶνα, διὰ τί ἀπέθανε; Διὰ τί; Ἵνα προσενέγκῃ θυσίαν ἑαυτόν. Δίχα γὰρ θυσίας, οὐδὲ ἀρχιερεὺς ἂν ἦν. *Ἀναγκαῖον ἔχειν τί καὶ τοῦτον, ὃ προσενέγκῃ.*] *Τοῦτον*, οἷον, τὸν Χριστόν. *Εἰ μὲν γὰρ ἦν ἐπὶ γῆς.*] Τοῦτο δὲ ἦν, εἰ μὴ ἐτεθνήκει, μηδὲ ἐγερθεὶς ἀνελήφθη. *Οὐδ' ἂν ἦν ἱερεύς.*] Ἦσαν γὰρ ἕτεροι, καὶ λοιπὸν ἦν στάσις ἐν τῷ πράγματι. Νῦν δὲ ἀπέθανε μὲν, ἵνα τὴν θυσίαν προσενέγκῃ· ἀναστὰς δὲ ἐκ νεκρῶν, ἀνελήφθη, ἵνα σχοίη τόπον τὸν οὐρανὸν, ἔνθα αὐτὸν ἱεράσθαι δεῖ· ἱεράσθαι δὲ νόει, τὸ ἐντυγχάνειν ὑπὲρ ἡμῶν τῷ πατρί. Ταῦτα δὲ πάντα τὰ ταπεινὰ ῥήματα, διά τε τὴν ἀνθρωπότητα εἴρηκε, καὶ διὰ τὸ νηπιώδες τῶν ἀκουόντων. *Οἵτινες ὑποδείγματι καὶ σκιᾷ λατρεύουσι τῶν ἐπουρανίων.*] *Οἵτινες*, ἱερεῖς τῶν Ἰουδαίων, φησί. Καὶ πῶς *ὑποδείγματι καὶ σκιᾷ λατρεύουσι τῶν ἐπουρανίων*; προϊὼν λέγει. «*Ὅρα γάρ, φησι, ποιήσεις πάντα κατὰ τὸν τύπον, τὸν δειχθέντα σοι ἐν τῷ ὄρει.*» τὰ δὲ δειχθέντα αὐτῷ, οὐράνια ἦν· ἦσαν δὲ καὶ λατρεῖαι, καὶ εὐχαὶ, καὶ θυσίαι, καὶ ἡ τῆς σκηνῆς κατασκευή (1). *Καθὼς κεχρημάτισται Μωϋσῆς.*] Ἀκήκοεν, οἶδεν. *Κατὰ τὸν τύπον τὸν δειχθέντα σοι.*] Ἐπειδὴ εὐμαθεστέρα ἡ ὄψις τῆς ἀκοῆς, διὰ τοῦτο ὁ θεὸς τῷ Μωσῇ ὑπέδειξε πάντα, οὐ μόνον τὴν κατασκευὴν τῆς σκηνῆς, ἀλλὰ καὶ τὰ περὶ θυσιῶν καὶ τῆς ἄλλης λατρείας. *Νυνὶ δὲ διαφορωτέρας τετύχηκε λειτουργίας.*] Ἐκείνου τοῦ νοήματος

(1) «Ἐνταῦθα τὴν ὑπεροχὴν δείκνυσι τῆς κατὰ Χριστὸν ἱερωσύνης, τὴν μὲν παλαιὰν ὑπόδειγμα καὶ σκιὰν καλῶν· τὰ δὲ ἡμέτερα, ἐπουράνια. Ὅταν γὰρ μηδὲν ἐπίγειον, ἀλλὰ πάντα πνευματικὰ τὰ ἐν τοῖς μυστηρίοις τελούμενα, ἔνθα ὕμνοι ἀγγελικοὶ, ἔνθα κλεῖδες τῆς βασιλείας τῶν οὐρανῶν, καὶ ἄφεσις ἁμαρτιῶν, καὶ αὖ πάλιν δεσμά· ὅταν ἡμῶν τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχῃ, πῶς οὐκ ἐπουράνια τὰ καθ' ἡμᾶς; Τούτων οὖν τύποι ἦσαν καὶ ὑποδείγματα, τουτέστιν, ἀμυδρὰ δείγματα, καὶ οἷον σκιαγραφήματα, τὰ ἐν τῇ Παλαιᾷ ὑποδειχθέντα τῷ Μωσῇ.» Θεοφύλακτος.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ἤρτηται ταῦτα, τοῦ· *Εἰ μὲν γὰρ ἦν ἐπὶ γῆς, οὐκ ἂν ἦν ἱερεύς.* Νυνὶ δέ, φησιν, ἐπειδὴ οὐκ ἔστιν ἐν τῇ γῇ, ἀλλ' ἐν τῷ οὐρανῷ, βελτίονος ἐπέτυχε λειτουργίας, τουτέστιν, ἐπὶ βελτίονα λειτουργίαν ἐστὶν ἀρχιερεύς. Ὅρα δὲ πῶς ἐνδιατρίβει τοῖς ταπεινοῖς διὰ τὸ τῶν ἀκουόντων ἀσθενές· ὑψηλὸν δὲ εἶπον εἶπη, εὐθὺς ἀπαλλάττεται, δεδοικὼς μὴ οὐ παραδεχθῇ. *Ὅσῳ καὶ κρείττονός ἐστι διαθήκης μεσίτης.*] Ἐπάρας τὴν κατὰ Χριστὸν ἱερωσύνην ἀπὸ τοῦ τόπου, καὶ τοῦ ἱερέως, καὶ τῆς θυσίας, οὕτω καὶ τῆς διαθήκης τὸ μέσον τίθησι. Τοσούτῳ, φησίν, ἐστὶν ἡ νέα λειτουργία βελτίων τῆς παλαιᾶς, ὅσῳ καὶ ἡ Διαθήκη ἡ νέα, ἧς μεσίτης ἐστὶν ὁ Χριστὸς, τῆς παλαιᾶς. *Ἥτις ἐπὶ κρείττοσιν ἐπαγγελίαις νενομοθέτηται.*] Ἥτις διαθήκη, φησὶν, ἐπὶ κρείττοσιν ἐπαγγελίαις νενομοθέτηται. Ἡ μὲν γὰρ Παλαιὰ, τὰ ἀγαθὰ τῆς γῆς ἐπηγγέλλετο, οἷον, γῆν ῥέουσαν μέλι καὶ γάλα, εὐτεκνίαν καὶ πολυτεκνίαν, καὶ τὰ τούτοις προσόμοια· ἡ δὲ Καινὴ, ζωὴν αἰώνιον, καὶ βασιλείαν οὐρανῶν. Καὶ οὕτω κρείττονες αἱ ἐκ ταύτης ἐπαγγελίαι· ὅτι ἡ μὲν εἰσηνέχθη, ἐκβέβληται δὲ ἡ παλαιά. Διὰ τοῦτο γὰρ ἡ Νέα κρατεῖ, ὅτι βελτίων, καὶ ἐπὶ βελτίοσιν ἐπαγγελίαις δέδοται· ἡ δὲ βελτίους ἔχουσα τὰς ἐπαγγελίας, ὅτι βελτίων ἐστὶ, παντί που δῆλον.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Ὑπεροχὴ τῆς δευτέρας διαθήκης ὑπὲρ τὴν προτέραν, ἐν ἱλασμῷ καὶ ἁγιασμῷ

7 Εἰ γὰρ ἡ πρώτη ἐκείνη ἦν ἄμεμπτος, οὐκ ἂν δευτέ-
8 ρας ἐζητεῖτο τόπος. Μεμφόμενος γὰρ αὐτοῖς, λέ-
γει· « Ἰδοὺ, ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ συντελέσω ἐπὶ τὸν οἶκον Ἰσραὴλ καὶ ἐπὶ τὸν οἶκον
9 Ἰούδα διαθήκην καινήν· οὐ κατὰ τὴν διαθήκην, ἣν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐποίησα τοῖς πατράσιν αὐτῶν, ἐν ἡμέρᾳ ἐπιλαβομέ
νου μου τῆς χειρὸς αὐτῶν, ἐξαγαγεῖν αὐτοὺς ἐ
γῆς Αἰγύπτου· ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ δια
θήκῃ μου, κἀγὼ ἠμέλησα αὐτῶν, λέγει Κύριος (α).

Ορα τάξιν! Εἶπεν, ὅτι κρειττων ἐστὶν ἡ κατὰ Χριστὸν Δια
θήκη τῆς Παλαιᾶς. Καὶ πόθεν δῆλον; Διότι, φησὶν, ἐπὶ κρείτ
τοσιν ἐπαγγελίαις νενομοθέτηται. Εἰ γὰρ κρείττους αἱ ἐπαγ
γελίαι καὶ αἱ ἀντιμισθίαι, εὔδηλον, ὅτι καὶ ἡ Διαθήκη κρείττων
καὶ τὰ ἐπιτάγματα θειότερα. Πόθεν δὲ δῆλον, ὅτι κρείττου
αἱ ἐπαγγελίαι; Ἐξ ὧν, φησιν, ἐκείνη μὲν ἐξεβλήθη, αὕτη δ
ἀντεισήχθη. Διὰ γὰρ τοῦτο ἡ Νέα κρατεῖ, ὅτι βελτίων καὶ τ
λειοτέρα. Εἰ γὰρ ἐκείνη ἦν *ἄμεμπτος*· τουτέστιν· Εἰ οὐδὲν εἶ
χεν ἐλλιπές, εἰ ἀμέμπτους ἐποίει τοὺς ἀνθρώπους, οὐκ ἂν δεύ
τερα εἰσήγετο (1). *Μεμφόμενος γὰρ αὐτοῖς.*] Οὐκ εἶπε
Μεμφόμενος αὐτῇ, ἀλλ', *αὐτοῖς*. Τίσι; τοῖς ἐν τῇ Παλαι
νομοθετουμένοις καὶ διευθυνομένοις Ἰουδαίοις, τοῖς μὴ δυνα
μένοις τελειωθῆναι διὰ τῶν νομικῶν προσταγμάτων. *Ἰδοὺ
ἡμέραι ἔρχονται.*] Μετὰ τὸ διὰ πολλῶν ἐν τοῖς ἄνω κατ
σκευάσαι τὴν Νέαν τῆς Παλαιᾶς ἀμείνω, νῦν φανερῶς καὶ τ
ἐκβολὴν τῆς Παλαιᾶς κωμῳδεῖ· ἀλλ' οὐκ ἀφ' ἑαυτοῦ τοῦ
ποιεῖ, ἵνα μὴ γένηται φορτικὸς, τὸν δὲ Ἱερεμίαν παράγ
λέγοντα· Ὅτι ἑτέραν διαθήσομαι διαθήκην *καινὴν*, τουτέστ
πάντη νέαν. *Ἐν ἡμέρᾳ ἐπιλαβομένου μου.*] Ἐν τῇ ἡμέ
ἐκείνῃ, φησὶν, ἐν ᾗ ἐπελαβόμην τῆς χειρὸς αὐτῶν ἐπὶ τὸ ἐξ
γαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου, ἵνα μὴ ὑπονοήσωσι τῆς πρ
τὸν Ἀβραὰμ γενομένης διαθήκης εἶναι τὴν ἐκβολήν· εἰς Χ
στὸν γὰρ ἐκείνη ἐγεγόνει· Καὶ τῷ σπέρματί σου γάρ, φησι
ὅς ἐστι Χριστός (α)· ἐπάγει, ποίας διαθήκης γέγονεν ἐκβολ

(α) Ἱερ. ΛΗ', 31, καὶ ἑξῆς.
(1) « Τὸ, ἄμεμπτος, ἀντὶ τοῦ, τελεία, τέθεικε, τουτέστιν, ἀποχρῶσα π
τελειότητα, ἀμέμπτους τοὺς χρωμένους ἐργαζομένη. » Θεοδώρητος.
(α) Γαλατ. Γ', 16. Γενεσ. ΚΒ', 18.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς ἐν τῇ Ἐξόδῳ, φησὶ, διὰ Μωσέως γενομένης. Τῷ γὰρ εἰπεῖν, *Οὐ κατὰ τὴν διαθήκην ἐκείνην*, δείκνυσιν αὐτὴν ἐκβεβλημένην· ὡσεὶ ἔλεγεν· Ἄλλην δώσω διαθήκην, οὐχ οἵαν ἔδωκα ἤδη· ἐκείνη γὰρ διὰ τὸ ἀσθενὲς αὐτῆς ἐκβέβληται παρ' ἐμοῦ. *Ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου.*] Ὥσπερ ἀπολογία ἐστὶ τῆς ἀμελείας τοῦ θεοῦ τὸ εἰρημένον. Ὅτι, φησὶν, *αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου*, καὶ διὰ τοῦτο *ἠμέλησα αὐτῶν*. Ἤρξατο γὰρ ἐξ αὐτῶν πρῶτον ἡ παρακοὴ, καὶ οὕτως ἡ τοῦ θεοῦ ἀμέλεια ἐπηκολούθησεν.

10 «Ὅτι αὕτη ἡ διαθήκη, ἣν διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει Κύριος, διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίας αὐτῶν ἐπιγράψω αὐτούς· καὶ ἔσομαι αὐτοῖς
11 εἰς θεὸν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν. Καὶ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν πλησίον αὐτοῦ, καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, λέγων· Γνῶθι τὸν Κύριον· ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ αὐτῶν ἕως μεγάλου αὐτῶν.
12 Ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν, καὶ τῶν
13 ἁμαρτιῶν αὐτῶν καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι.» Ἐν τῷ λέγειν, καινὴν, πεπαλαίωκε τὴν πρώτην· τὸ δὲ παλαιούμενον καὶ γηράσκον, ἐγγὺς ἀφανισμοῦ.

Ὅτι *αὕτη ἡ διαθήκη.*] *Αὕτη.* Ποία; Ἡ Νέα δηλαδή. *Μετὰ τὰς ἡμέρας ἐκείνας.*] Ποίας ἡμέρας; Οἱ μὲν λέγουσι, τὰς τῆς Ἐξόδου, ἐν αἷς ἐδόθη ὁ μωσαϊκὸς νόμος· ἐμοὶ δὲ δοκεῖ περὶ ἐκείνων τῶν ἡμερῶν λέγειν, περὶ ὧν ἀνωτέρω εἶπεν· *Ἰδοὺ, ἡμέραι ἔρχονται.* Μεθ' ὃ οὖν διέλθωσιν αἱ ἡμέραι ἐκεῖναι, τοιαύτην διαθήκην διαθήσομαι, οἵαν ἐξῆς ἀκούσῃ. *Διδοὺς νόμους μου.*] Ἣν διαθήσομαι, διδοὺς νόμους μου. *Καὶ ἐπὶ καρδίας αὐτῶν.*] Οὐδὲ γὰρ ἐν γράμμασι νομοθετηθεῖσαν τὴν Νέαν παρελάβομεν, ἀλλὰ διὰ Πνεύματος ἁγίου· καὶ τοῦτο δηλοῖ ὁ Χριστὸς, λέγων τοῖς ἀποστόλοις· *Ἐκεῖνος*, τουτέστιν, *ὁ παράκλητος, ἐλθὼν, ἀναμνήσει ὑμᾶς πάντα, καὶ διδάξει ὑμᾶς πάν-*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τα (α). Ὁρᾷς, ὅτι οὐκ ἐν γράμμασιν ἡ Νέα, ἀλλὰ διὰ Πνεύματος ἁγίου; Λογίζου οὖν ὅση καὶ ἡ ὑπεροχὴ τῆς Νέας. *Καὶ ἔσομαι αὐτοῖς εἰς θεόν.*] Τοῦτο κατώρθωτο διὰ τοῦ εὐαγγελίου. Οἱ γὰρ πρότερον εἰδωλολατροῦντες, νῦν τὸν ἀληθινὸν θεὸν ἐπιγνόντες, λαὸς αὐτοῦ γεγόνασι. Τίς γὰρ μετέπεισεν εὐχερῶς τινὰ ἐν τῇ Παλαιᾷ, ἀποστῆναι τῆς ἰδίας δεισιδαιμονίας; τοὐναντίον μὲν οὖν ἀπὸ τῆς θεογνωσίας τοῦ Ἰσραὴλ εἰς τὴν πλάνην μετετίθετο. *Καὶ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν πλησίον αὐτοῦ.*] *Διδαχὴν* ἐνταῦθα, τὴν ἐπιπονωτέραν διδασκαλίαν λέγει. Ἰδοὺ γὰρ ὁρῶμεν, ὅτι οὔτε πλειόνων λόγων χρεία πρὸς τοὺς ὑγιαίνοντας τὸν νοῦν, εἰς τὸ πεῖσαι πιστεύειν Χριστῷ· θεοδίδακτοι γὰρ ἅπαντες εἰσὶν ἄνθρωποι· ἐπὶ γὰρ ταῖς καρδίαις ἡμῶν τοὺς νόμους αὐτοῦ ἔγραψεν ὁ Χριστός. *Ὅτι πάντες εἰδήσουσί με.*] Ἡ μὲν γὰρ ἰουδαϊκὴ γνῶσις καὶ πίστις, εἰς μίαν τῆς οἰκουμένης γωνίαν ἀποκέκλειστο, τὴν Παλαιστίνην, καὶ ὀλίγοι ἤδεσαν ταύτην· τῶν δὲ ἀποστόλων ὁ φθόγγος εἰς πᾶσαν ἐξῆλθε τὴν γῆν. Καὶ ἄλλως δέ, τοῦ θεοῦ ἐπὶ τῆς γῆς ἐν σαρκὶ διατρίψαντος, καὶ τὴν φύσιν ἡμῶν τῇ προσλήψει θεώσαντος, ἔλαμψεν ἐν ταῖς πάντων ψυχαῖς τὸ τῆς ἀληθοῦς θεογνωσίας φῶς, καὶ οἷόν τις ἐπιτηδειότης ἐνετέθη τῇ ἀνθρωπίνῃ φύσει ὑπὸ τῆς χάριτος πρὸς τὸ τὸν ὄντως εἰδέναι θεόν. *Ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν.*] Ταῖς προγενομέναις. Ἵλεως δὲ γίνεται, ἀφεὶς ἡμῖν αὐτὰς ἐν τῷ βαπτίσματι. *Καὶ τῶν ἁμαρτιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι.*] Τῶν γὰρ ἐν τῷ βαπτίσματι ἀφεθεισῶν, οὐκέτι μιμνήσκεται αὐτῶν. *Ἐν τῷ λέγειν, καινήν.*] Ἑρμηνεύει τὴν προφητικὴν ῥῆσιν, καί φησιν, ὅτι αὐτὸ τοῦτο τὸ ὅλως ὀνομάσαι, *καινήν*, τὴν πρώτην παλαιὰν ἐποίησε. *Τὸ δὲ παλαιούμενον καὶ γηράσκον.*] Νῦν λαβὼν παῤῥησίαν παρὰ τοῦ προφήτου, καὶ αὐτὸς ἀποφαίνεται. Αὕτη μέν, φησι, καινὴ, παλαιὰ δὲ ἐκείνη· τὸ δὲ παλαιούμενον, ἠφάνισται· τοιγαροῦν καὶ

(α) Ἰωάν. ΙΓ', 26.

Δημόσια Κεντρική Βιβλιοθήκη Θεσσαλονίκης

ἐκβέβληται, καὶ καταλέλυται ἐκ τοῦ γήρως· ὡς εἰ ἔλεγεν· Οὐκ ἀκαίρως κατέπαυσεν ἡ Νέα τὴν Παλαιὰν, ἀλλὰ διὰ τὸ γῆρας καὶ τὴν παλαιότητα αὐτῆς, τουτέστι, διὰ τὸ ἀσθενὲς καὶ ἀνωφελές· τὸ γὰρ ἀδύνατον, φησὶν ἀλλαχοῦ, τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός (α).

ΚΕΦ. IX, 1 Εἶχε μὲν οὖν καὶ ἡ πρώτη σκηνὴ (1)
2 δικαιώματα λατρείας, τό τε ἅγιον κοσμικόν. Σκηνὴ γὰρ κατεσκευάσθη ἡ πρώτη, ἐν ᾗ ἥ τε λυχνία, καὶ ἡ τράπεζα, καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἥτις
3 λέγεται ἅγια· μετὰ δὲ τὸ δεύτερον καταπέτασμα,
4 σκηνὴ, ἡ λεγομένη ἅγια ἁγίων, χρυσοῦν ἔχουσα θυμιατήριον καὶ τὴν κιβωτὸν τῆς διαθήκης, περικεκαλυμμένην πάντοθεν χρυσίῳ, ἐν ᾗ στάμνος χρυσῆ, ἔχουσα τὸ μάννα, καὶ ἡ ῥάβδος Ἀαρὼν, ἡ βλα-
5 στήσασα, καὶ αἱ πλάκες τῆς διαθήκης· ὑπεράνω δὲ αὐτῆς Χερουβὶμ δόξης, κατασκιάζοντα τὸ ἱλαστήριον· περὶ ὧν οὐκ ἔστι νῦν λέγειν κατὰ μέρος.

Ἔδειξεν ἄνω ἀπὸ τῆς ἐναλλαγῆς τοῦ ἱερέως, ἀπὸ τῆς ἱερωσύνης, ἀπὸ τῆς διαθήκης, ὅτι τέλος εἴληφεν ἡ Παλαιὰ, καὶ ὅτι ἀμείνων ἐκείνης ἡ Νέα πολλοῖς τρόποις· νῦν δεῖξαι θέλει καὶ ἐξ αὐτοῦ τοῦ *σχήματος* τῆς σκηνῆς, ὅτι τύπος ἦν ἐκεῖνα τῶν ἀληθινῶν· ὁ δὲ τύπος, τῆς ἀληθείας ἐπιστάσης, τέλος λαμβάνει. *Εἶχε μὲν οὖν*, φησὶ, *καὶ ἡ πρώτη*. Τὸ δὲ, εἶχε, δηλοῖ, ὅτι νῦν οὐκ ἔχει. Ὥστε, εἰ καὶ μὴ παντελῶς ἐπαύσατο, διὰ τὸ τινὰς αὐτῇ ἔτι στοιχεῖν, τὰ μέντοι δικαιώματα οὐκ ἔχει.— ΑΛΛΩΣ. Τὸ, *Εἶχε μὲν οὖν καὶ ἡ πρώτη δικαιώματα λατρείας*, οὐ περὶ τῆς σκηνῆς εἰρῆσθαι νομίζω, ἀλλὰ περὶ αὐτῆς τῆς παλαιᾶς Διαθήκης· οὐ γὰρ τὴν σκηνὴν τῇ νέᾳ συνέκρινε Διαθήκῃ, ἀλλ' ὅλην τὴν παλαιὰν Διαθήκην τῇ Νέᾳ, καὶ πρὸς ὅλην ἐκείνην ταύτης ἐδείκνυ τὴν ὑπεροχήν. Ἰδοὺ γάρ, φησιν, *ἡμέραι ἔρχονται, καὶ συντελέσω ἐπὶ τὸν οἶκον Ἰσραὴλ καὶ*

(α) Ρωμ. Η', 3. (1) Παρ' ἄλλοις λείπει τὸ, σκηνή.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπὶ τὸν οἶκον Ἰούδα διαθήκην καινὴν, οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν· καὶ πάλιν· *Ἐν τῷ λέγειν, καινὴν, πεπαλαίωκε τὴν πρώτην.* Καὶ ταῦτα εἰπὼν, ἐπάγει· *Εἶχε μὲν οὖν καὶ ἡ πρώτη.* Ὥστε δῆλον, ὅτι περὶ τῆς Διαθήκης αὐτῷ ἔτι ὁ λόγος. Ἐπεὶ γὰρ κατέβαλεν αὐτὴν τῇ πρὸς τὴν Νέαν παραθέσει, ἵνα μήτις εἴπῃ, ὅτι, Οὐκοῦν ἀεὶ ἀπόβλητος ἦν, προλαβὼν, φησὶν, ὅτι εἶχε κἀκείνη *δικαιώματα λατρείας*, τουτέστι, νόμους καὶ τάξιν καὶ ἀκολουθίαν ἐμπρέπουσαν λατρείᾳ θεοῦ. Εἰπὼν δὲ κατὰ γένος, ὅτι εἶχε δικαιώματα λατρείας, ἐπεξέρχεται καὶ κατὰ μέρος, ἀρξάμενος ἀπὸ τῆς σκηνῆς. Εἶχέ, φησι, τὸ *ἅγιον τὸ κοσμικόν*. Εἶτα μετὰ τὸ ἅγιον τὸ κοσμικὸν καὶ πᾶσι δατὸν, εἶχε πάλιν ἑτέραν σκηνὴν, προτεταγμένην τῆς μυστικωτέρας ἔτι καὶ ἁγιωτέρας σκηνῆς. Καὶ ἐν μὲν τῇ προτεταγμένῃ, ἥ τε λυχνία καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἥτις σκηνὴ, οὐ λέγεται κοσμικὸν ἅγιον, ὥσπερ ἡ πασῶν σκηνὴ πρώτη, ἀλλ' ἁπλῶς *ἅγια*. Μετ' ἐκείνην δὲ, σκηνὴ, καὶ ἐξῆς (Φωτίου).—*Ἡ πρώτη*, εἶπεν, ὡς πρὸς τὰ ἅγια τῶν ἁγίων· ἐπεὶ οὐκ ἦν πρώτη, ἀλλὰ μέση. Πρώτη γὰρ ἦν, ἔνθα τὸ χαλκοῦν θυσιαστήριον, τό τῶν ὁλοκαυτωμάτων, ἐν ὑπαίθρῳ ἱσάμενον· δευτέρα αὕτη, περὶ ἧς φησὶν, ἐν ᾗ ἡ λυχνία, καὶ ἡ πρόθεσις τῶν ἄρτων ἐν τῇ τραπέζῃ· τρίτη, ἐν ᾗ τὸ χρυσοῦν θυμιατήριον καὶ ἡ κιβωτὸς τῆς διαθήκης.—*Δικαιώματα λατρείας.*] Σύμβολα, ἢ θεσμοὺς καὶ νομοθεσίας λατρειῶν καὶ εὐχῶν (1). *Τό τε ἅγιον κοσμικόν.*] *Κοσμικὸν* αὐτὸ λέγει, διὰ τὸ πᾶσιν ἐξεῖναι εἰσιέναι εἰς αὐτό.—*Ἅγιον* δὲ ἐνταῦθα καλεῖ τὸν ναὸν εἰκότως, ἐν ᾧ τὴν λειτουργίαν ἀποδίδοσθαι τῷ θεῷ συνέβαινεν, εἴτε καὶ τὴν σκηνὴν, ἐπειδὴ ταύτην ἐν τάξει τοῦ ναοῦ πρότερον εἶχον, οὕτως αὐτὴν καλοῦντες. Καὶ τοῦτο μαθεῖν ἐστὶν ἀπὸ τῆς πρώτης τῶν Βασιλειῶν, σαφῶς λεγούσης· *Καὶ Σαμουὴλ*

(1) « Τὰς ἐντολὰς οὕτως ἐκάλεσε, καθὼς τὴν θείαν ἐποιοῦντο λατρείαν. Οὕτω γὰρ καὶ ὁ μακάριος λέγει Δαυίδ· Τὰ δικαιώματά σου ἐδιδάχθην με (Ψαλμ. ΡΙΗ', 26.)· καὶ αὐτὸς δὲ ὁ νομοθέτης· Ταῦτα τὰ κρίματα, καὶ τὰ δικαιώματα, ἃ ἐλάλησε Κύριος τοῖς υἱοῖς Ἰσραήλ (Δευτ. Ϛ', 1,).» Θεοδώρητος.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκάθευδεν ἐν τῷ ναῷ Κυρίου, οὗ ἦν ἡ κιβωτὸς τοῦ θεοῦ (α). Τὸ μὲν οὖν ἅγιον, ἔφην, ἐπὶ τῆς παλαιᾶς Διαθήκης ἦν κοσμικόν, ἵνα εἴπω, ὅτι κατεσκεύαστο ὁ ναὸς εἰς τύπον τοῦ κόσμου. Πεποίηκε μὲν οὖν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, ὡς ὁ Μωϋσῆς φησιν, ἐν ἀρχῇ (β), *οὐρανὸν* τὸν ἀνώτερον λέγων· τῇ δευτέρᾳ ἡμέρᾳ, τὸν ὁρώμενον τοῦτον οὐρανόν, ἐν μέσῳ τῶν ὑδάτων ὑποστῆναι παρασκευάσας· ὥστε καὶ ὑψωθέντα ἔχειν ἐπὶ νότου τὰ ὕδατα. Ὥσπερ οὖν σύμβολον τοῦ κόσμου κατασκευάσαι κατά τινα τύπον Μωσῆ κελεύων ὁ θεὸς τὴν σκηνὴν, προσέταξεν αὐτῷ· *Περίβολον ποιήσεις ἀπὸ τῶν καταπετασμάτων, μέσῳ διειλημμένον ἑτέρῳ*· οὕτω δὴ καὶ ὁ ναὸς κατὰ τὸν αὐτὸν ὕστερον ἐγένετο τύπον. Καὶ ἦν ὁ πᾶς οἶκος, μέσῳ διειλημμένος τοίχῳ. Ὥσε τὸν μὲν ἐκτὸς οἶκον, ἐν ᾧ δεῖ τοὺς ἱερεῖς τὴν διὰ τῶν θυσιῶν θεραπείαν καὶ τῶν λοιπῶν δὴ πάντων ἀποδιδόναι τῷ θεῷ, συνέβαινε σύμβολον εἶναι τούτου δὴ τοῦ περὶ γῆν τόπου, ἐφ' οὗ διάγειν νῦν ἡμᾶς συμβέβηκε· τὸν δὲ ἐνδότερον, ἐν ᾧ τὸν ἀρχιερέα ἅπαξ μόνον τοῦ ἐνιαυτοῦ εἰσιέναι ἐχρῆν, σύμβολον τῶν ὑπερουρανίων, ἐν οἷς τὸν θεὸν ἐδόξαζον οἰκεῖν οἱ Ἰουδαῖοι.—*Σκηνὴ γὰρ κατεσκευάσθη ἡ πρώτη.*] Τρεῖς ἐσημειωσάμην εἰς τὴν Ὀκτάτευχον σκηνὰς οὔσας· μίαν μὲν, περὶ ἧς φησι τὸ ἅγιον τὸ κοσμικόν, ἔνθα ἦν τὸ χαλκοῦν θυσιαστήριον, τὸ τῶν ὁλοκαυτωμάτων, καὶ παντὶ ἐξῆν τῷ λαῷ εἰσιέναι εἰς αὐτὸ, καὶ τὰς θυσίας ἐπιτελεῖν· δευτέραν δὲ, ἔνθα τοῖς ἱερεῦσιν ἐξῆν ἀεὶ τὰς λατρείας ἐπιτελεῖν· ἔνθα ἦν ἡ λυχνία, καὶ ἡ τράπεζα, καὶ ἡ πρόθεσις τῶν ἄρτων· τρίτην, ἔνθα ἦν τὸ θυμιατήριον καὶ ἡ κιβωτὸς, ἐν ᾗ ἅπαξ τοῦ ἐνιαυτοῦ εἰσήει μόνος ὁ ἀρχιερεύς. *Μετὰ δὲ τὸ δεύτερον καταπέτασμα.*] Ἆρα οὐκ ἦν ἓν μόνον καταπέτασμα. *Σκηνὴν* δὲ πανταχοῦ καλεῖ, παρὰ τὸ σκηνοῦν ἐκεῖ τὸν θεόν. *Τὴν κιβωτὸν τῆς διαθήκης.*] *Κιβωτὸν τῆς διαθήκης* ταύτην καλεῖ, ὡς φέρουσαν τὰ τῆς διαθήκης σύμβολα, οἷον τὰς πλά-

(α) Α' Βασιλ. Γ', 3. (β) Γενεσ. Α', 1.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

κας τοῦ νόμου, καὶ τὰ ἄλλα. *Ἐν ᾗ στάμνος χρυσῆ.*] Πάντα ταῦτα ἦν ἐν τῇ κιβωτῷ, τὴν ἀγνωμοσύνην τῶν Ἰουδαίων ἐλέγχοντα· ἡ μὲν ῥάβδος, διὰ τὴν ἐπὶ τὸν Ἀαρὼν ἐπανάστασιν (α)· αἱ δὲ πλάκες, διὰ τὸ πρόφασιν γενέσθαι τοὺς Ἰουδαίους κατεαγῆναι τὰς πρώτας (β)· τὸ δὲ μάννα, διὰ τὸ τρώγοντας ἀπογογγύζειν (γ). Ἔδει οὖν καὶ εἰς τοὺς ἐκγόνους ταῦτα τὰ σύμβολα παραπεμφθῆναι πρὸς φόβον αὐτῶν. *Ὑπεράνω δὲ αὐτῆς.*] Τουτέστι, τῆς κιβωτοῦ. *Χερουβὶμ δόξης.*] Ἢ τὰ ἔνδοξα, ἢ τὰ ὄντα τῆς δόξης, τουτέστι, τοῦ θεοῦ (1). *Κατασκιάζοντα τὸ ἱλαστήριον.*] Ἦν γὰρ ἐπάνω τῆς κιβωτοῦ, ὡσανεὶ τράπεζά τις τετράγωνος χρυσῆ, ὅπερ *ἱλαστήριον* ἐκαλεῖτο, τυποῦσα τὸν Χριστὸν, τὸν λεγόμενον ἡμῖν *ἱλασμὸν* καὶ *ἀπολύτρωσιν* (δ). Ὅρα δὲ τὴν ἐν τῇ Ἐξόδῳ παραγραφὴν, ἐν τοῖς περὶ τούτων τόποις (ε). *Περὶ ὧν οὐκ ἔστι νῦν λέγειν κατὰ μέρος.*] Θέλει δεῖξαι, ὅτι αἰνίγματά τινα ἦν τὰ ὁρώμενα, καὶ τύποι τῶν ἀληθινῶν. Οὐκ ἔστιν οὖν νῦν, φησὶ, κατὰ μέρος λέγειν περὶ αὐτῶν· πλειόνων γὰρ δέονται λόγων, ἢ κατὰ τὴν παροῦσαν ὁρμήν.

6 Τούτων δὲ οὕτω κατεσκευασμένων, εἰς μὲν τὴν πρώτην σκηνὴν διαπαντὸς εἰσίασιν οἱ ἱερεῖς, τὰς
7 λατρείας ἐπιτελοῦντες· εἰς δὲ τὴν δευτέραν, ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεὺς, οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων.

Καὶ συνέβαινε τοὺς Ἰουδαίους μήτε ὁρᾷν τὰ γινόμενα, διείργοντος αὐτοὺς τοῦ καταπετάσματος. Ὥστε οὐκ ἐκείνοις μᾶλλον ἦν, ἢ οἷς προετυποῦτο, τουτέστιν ἡμῖν (2)· *Ἅπαξ τοῦ ἐνιαυ-*

(α) Ἀριθ. Ιϛ', καὶ ΙΖ'. (β) Δευτ. Θ', 17. (γ) Ἔξοδ. Ιϛ'.

(1) «Ἢ τὰ ἔνδοξα, ἢ τὰ λειτουργικὰ τοῦ θεοῦ, καὶ πρὸς δοξαν αὐτοῦ ὄντα. Ταῦτα δὲ ἐπίτηδες ἐπαίρει, ἵνα δείξῃ μείζονα ὄντα τὰ καθ' ἡμᾶς». Θεοφύλακτος.

(δ) Α' Ἰωαν. Β', 2. Δ', 10. Α', Κορ. Α', 30. (ε) Ἔξοδ. Κεφ. ΚΕ, καὶ ἑξῆς.

(2) «Ἦν μέν, φησι, ταῦτα· οὐκ ἀπέλαυον δὲ τούτων οἱ Ἰουδαῖοι, ἅτε τοῦ καταπετάσματος διείργοντος αὐτούς. Ἡμῖν γὰρ ἐτηρεῖτο ταῦτα, οἷς προεφητεύετο». Θεοφύλακτος.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ *μόνος ὁ ἀρχιερεύς.*] Ἐπειδὴ προσίστατο αὐτοῖς, ἔτι νηπίοις οὖσι, πῶς ἴσχυσε μία θυσία, ἡ κατὰ Χριστὸν, ῥύσασθαι τὰς τοῦ κόσμου ἁμαρτίας; δείκνυσι καὶ ἐν τῇ Παλαιᾷ τοῦτο ὄν, ἥτις ἦν τύπος τῆς Νέας (1). Ἐζήτησαν δέ τινες, πῶς ἐν τῇ Ἐξόδῳ, ἐν τοῖς περὶ τούτων τόποις, γέγραπται, ὅτι δὶς τῆς ἡμέρας εἰσήει ὁ ἀρχιερεὺς εἰς τὰ ἅγια τῶν ἁγίων θυμιάσων, ἔνθα ἦν τὸ χρυσοῦν θυσιαστήριον. Γέγραπται δὲ οὕτω· *Καὶ θυμιάσει ἐπ' αὐτοῦ*, τουτέστιν, ἐπὶ τοῦ χρυσοῦ θυσιαστηρίου, ὃ ἦν δηλαδὴ ἐν τοῖς ἁγίοις τῶν ἁγίων, *ὁ Ἀαρὼν θυμίαμα συνθέσεως λεπτῆς τὸ πρωΐ πρωΐ· ὅταν ἐπισκευάζῃ τοὺς λύχνους, θυμιάσει ἐπ' αὐτοῦ. Καὶ ὅταν ἅπτῃ Ἀαρὼν τοὺς λύχνους τὸ ὀψὲ, θυμιάσει θυμίαμα ἐνδελεχισμοῦ* (α)». Πῶς οὖν ὧδε φησὶν ὁ ἅγιος Παῦλος, *Ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεύς*; Καὶ ἐπιλύονται, ὅτι μετὰ αἵματος μὲν ἅπαξ εἰσήει τοῦ ἐνιαυτοῦ, ὡς καὶ ἐν αὐτῷ τῷ τόπῳ τῆς Ἐξόδου φησί· θυμιάσων δέ, δὶς τῆς ἡμέρας. Καὶ γὰρ καὶ ὧδε φησὶν, *Οὐ χωρὶς αἵματος*, τουτέστι, μετὰ αἵματος, ἵνα ᾖ οὕτως· Ἅπαξ τοῦ ἐνιαυτοῦ ὁ ἀρχιερεὺς μετὰ αἵματος, οὐ μετὰ θυμιάματος. [Πλὴν ἴσθι, ὅτι κακῶς ἠπόρησαν καὶ ἀνεπιστημόνως· οὐ γὰρ ἐπὶ τοῦ χρυσοῦ θυμιατηρίου ἐθυμία ὁ Ἀαρὼν δὶς τῆς ἡμέρας, ἀλλ' ἐπὶ τοῦ χρυσοῦ θυσιαστηρίου· τοῦτο δὲ οὐκ ἐν τοῖς ἁγίοις τῶν ἁγίων ἦν, ἀλλ' ἐν μέσῃ τῇ σκηνῇ, ἐν ᾗ ἥ τε λυχνία καὶ ἡ τράπεζα· ἐπεὶ μετά γε τοῦ χρυσοῦ θυμιατηρίου ἅπαξ εἰσήει τοῦ ἐνιαυτοῦ εἰς τὰ ἅγια τῶν ἁγίων· ἄλλο γὰρ θυμιατήριον, καὶ ἄλλο θυσιαστήριον. Παρεθέμην δὲ καὶ τὴν ἀπορίαν, ἵνα μὴ παρ' ἄλλων ἀκούσας ταύτην, ὁ ἀναγινώσκων ταῦτα πλανηθῇ, δόξας αὐτὴν ὑγιῶς ἔχειν (2).] *Οὐ χωρὶς αἵματος.*] Μετὰ θυσιῶν, φησίν. Ὥστε καὶ τὸ τοῦ αἵματος, τύπος ἦν τοῦ Χριστοῦ.

(1) «Ὁρᾷς ἤδη τοὺς τύπους προκαταβεβλημένους; Ἵνα γὰρ μὴ λέγωσιν, ὅτι Ἅπαξ ἐγένετο ἡ κατὰ Χριστὸν θυσία, καὶ πῶς πάντας ἠγίασε; δείκνυσιν αὐτὸ ἄνωθεν ὄν, εἴγε ἁγιωτέρα ἦν καὶ φριατοτέρα, ἡ ἅπαξ προσφερομένη καὶ ἐν τῇ Παλαιᾷ ὑπὸ τοῦ ἀρχιερέως.» Θεοφύλακτος. (α) Ἐξοδ. Δ', 7. 8.

(2) Ἐκ τοῦ Θεοφυλάκτου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὁ προσφέρει ὑπὲρ ἑαυτοῦ.] Πανταχοῦ τὸ, *ὑπὲρ ἑαυτοῦ*, τίθησι, δεικνὺς τὸ διάφορον τοῦ Χριστοῦ καὶ τοῦ παρὰ Ἰουδαίοις ἀρχιερέως. Ὁ μὲν γὰρ νομικός, φησιν, ἀρχιερεὺς, ὑπὲρ ἑαυτοῦ προσέφερεν· ὁ δὲ Χριστὸς, οὐχ ὑπὲρ ἑαυτοῦ· πῶς γὰρ, ὅστις κεχώρισται τῶν ἁμαρτωλῶν; Ὥστε πάμπολυ τὸ διάφορον τούτου πρὸς ἐκεῖναν. *Καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων.*] Καὶ ἐντεῦθεν τὸ διάφορον δεικνὺς τῆς κατὰ Χριστὸν θυσίας καὶ τῶν νομικῶν, οὕτως εἶπεν. Αἱ μὲν γὰρ κατὰ νόμον θυσίαι, ὑπὲρ ἀγνοημάτων προσεφέροντο· τὰ γὰρ ἐν ἀγνοίᾳ συνεχώρουν ἁμαρτήματα· ἡ δὲ τοῦ Χριστοῦ θυσία, καὶ τὰ ἐν γνώσει ἁμαρτήματα ἀφίησιν.

8 Τοῦτο δηλοῦντος τοῦ Πνεύματος τοῦ ἁγίου, μήπω πεφανερῶσθαι τὴν τῶν ἁγίων ὁδὸν, ἔτι τῆς πρώτης
9 σκηνῆς ἐχούσης στάσιν· ἥτις παραβολὴ εἰς τὸν καιρὸν τὸν ἐνεστηκότα, καθ' ὃν δῶρά τε καὶ θυσίαι προσφέρονται, μὴ δυνάμεναι κατὰ συνείδησιν τε-
10 λειῶσαι τὸν λατρεύοντα, μόνον ἐπὶ βρώμασι καὶ πόμασι, καὶ διαφόροις βαπτισμοῖς, καὶ δικαιώμασι σαρκὸς, μέχρι καιροῦ διορθώσεως ἐπικείμενα.

Τοῦτο *δηλοῦντος τοῦ Πνεύματος τοῦ ἁγίου.*] Διὰ τοῦτό, φησιν, οὕτω κατεσκεύαστο ἡ σκηνὴ, ἵνα, τῆς πρώτης ἑστώσης, ἔνθα ἡ λυχνία καὶ ἡ πρόθεσις τῶν ἄρτων, καὶ εἰργούσης ἐπιβαίνειν τοὺς λοιποὺς ἱερέας εἰς τὰ ἅγια τῶν ἁγίων, δῆλον γένηται, ἄβατον ἔτι εἶναι τὸν οὐρανόν· τύπος γὰρ τοῦ οὐρανοῦ, τὰ ἅγια τῶν ἁγίων· τὸ δὲ μόνον τὸν ἀρχιερέα εἰσιέναι ἐν αὐτοῖς, τύπος ἦν καὶ τοῦτο τοῦ τὸν Χριστὸν μόνον, τὸν ἀληθινὸν ἀρχιερέα, ἀνελήλυθέναι ἐν τῷ οὐρανῷ. Ἀλλὰ λοιπὸν ἀνελθὼν, συνεισήγαγε τὸ γένος τῶν ἀνθρώπων. Ἦν μὲν γὰρ πρὸ τούτου ἄβατος· νῦν δὲ διὰ τοῦ Χριστοῦ, βατὸς γέγονε. *Μήπω πεφανερῶσθαι.*] Μήπω εἶναι βατὴν καὶ λιπτὴν τὴν εἰς οὐρανοὺς ὁδὸν, ἣν πρῶτος ἐνεκαίνισεν ὁ Χριστός. *Ἔτι τῆς πρώτης σκηνῆς ἐχούσης στάσιν.*] Ἑστώσης, φησὶ, καὶ εἰργούσης τρό-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τον τινὰ τὴν εἰς τὰ ἅγια τῶν ἁγίων πρόοδον (1). *Ἥτις παραβολὴ εἰς τὸν καιρὸν τὸν ἐνεστηκότα.*] Ἥτις, φησί, σκηνή, ἐν ᾗ διαπαντὸς εἰσήρχοντο οἱ ἱερεῖς, *παραβολὴ* ἦν, τουτέστι, τύπος καὶ σκιαγραφία τοῦ κατὰ τὸν νόμον ἐνεστηκότος καιροῦ, τοῦ πρὸ τῆς Χριστοῦ παρουσίας. *Καθ' ὃν δῶρά τε καὶ θυσίαι προσφέρονται.*] Καθ' ὃν καιρὸν τοιαῦται θυσίαι προσφέρονται, *μὴ δυράμεναι*, τουτέστι, καὶ οὕτως ἀσθενεῖς, ὥστε μὴ δύνασθαι, *κατὰ συνείδησιν*, οἷον, κατὰ τὸν ἔσω ἄνθρωπον, ψυχικῶς, *τελειῶσαι τὸν λατρεύοντα*, τουτέστιν, οὐδὲ αὐτὸν τὸν τὰς θυσίας προσφέροντα, ἐδύναντο καθαρίσαι. Σωματικαὶ γὰρ οὖσαι, σῶμα ἐκάθαιρον. Σωμάτων γὰρ ῥύπους, οὐ ψυχῶν ἁμαρτίας ἐκάθαιρον. *Μόνον.*] Καθ' ὑπερβατόν, οἷον, Μόνον ἐπικείμενα. *Ἐπὶ βρώμασι καὶ πόμασιν.*] Αἱ θυσίαι, φησίν, αἱ προσφερόμεναι, καὶ αἱ λατρεῖαι, οὐκ ἴσχυον ψυχικῶς τινὰ τελειῶσαι, ἀλλὰ περὶ τὴν σάρκα εἶχον τὴν ἐνέργειαν καὶ τὰ σαρκικά· καὶ εἰς τοῦτο διελύοντο τοῖς προσφέρουσιν, εἰς τὸ, πόδε φαγεῖν, ἢ μὴ φαγεῖν, καὶ ὕδατι λούεσθαι τοὺς κεκοινωμένους (2). Πῶς δὲ εἶπε, *Καὶ πόμασι*, καίτοι περὶ πομάτων διαφορᾶς οὐ διελάμβανεν ὁ νόμος; Ἢ τοίνυν τοῦτό φησι περὶ τοῦ τὸν ἱερέα μὴ πίνειν οἶνον, ὅταν ἔμελλεν εἰσελθεῖν εἰς τὸ ἅγιον· ἢ καὶ περὶ τῶν εὐχὰς, τουτέστιν, ὑποσχέσεις, περὶ ἀποχῆς οἴνου ποιουμένων· ἢ ἁπλῶς ἐξευτελίζων τὰ τοιαῦτα διατάγματα καὶ διασύρων, τοῦτο εἶπε. *Καὶ διαφόροις βαπτισμοῖς.*] Διάφοροι βαπτισμοὶ ἦσαν. Καὶ γὰρ κἂν νεκροῦ ἅψατό τις, κἂν λεπροῦ,

---

(1) «Ἄρχεται λοιπὸν ἀναγωγικώτερον θεωρεῖν τὰ περὶ τῶν σκηνῶν, καί φησιν, ὅτι, ἐπειδὴ τὰ μὲν ἅγια τῶν ἁγίων ἄθικτα ἦν τοῖς ἄλλοις ἱερεῦσιν, ἃ τύπος εἰσὶ τοῦ οὐρανοῦ· ἡ μέντοι πρώτη σκηνή, τουτέστιν, ἡ μετὰ τὸ ἐξωθεν θυσιαστήριον, τὸ χαλκοῦν, πρώτη εὐθὺς οὖσα, βάσιμος ἦν αὐτοῖς διαπαντὸς, σύμβολον οὖσα τῆς κατὰ τὸν νόμον λατρείας, ἐδηλοῦτο συμβολικῶς, ὅτι, ἕως οὗ ἵσταται ἡ σκηνὴ αὕτη, τουτέστιν, ἕως οὗ κρατεῖ ὁ νόμος, καὶ αἱ κατ' αὐτὸν λατρεῖαι τελοῦνται, οὐκ ἔστι βάσιμος ἡ τῶν ἁγίων ὁδὸς, τουτέστιν, ἡ εἰς τὸν οὐρανὸν εἴσοδος, τοῖς τὰς τοιαύτας λατρείας ἐπιτελοῦσιν· ἀλλὰ τούτοις μὲν ἀφανὴς ἐστι καὶ ἀποκέκλεισται, μόνῳ δὲ τῷ ἑνὶ ἀρχιερεῖ Χριστῷ ἀφωρίσθη ἡ ὁδὸς αὕτη». Θεοφύλακτος

(2) «Μόνον, φησίν, ἐπικείμενα τοῖς τότε ἀνθρώποις, καὶ διαταττόμενα περὶ βρωμάτων καὶ πομάτων. Τόδε γάρ, φησι, φάγε, καὶ, Τόδε μὴ φάγῃς.» Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἂν γονορρυὴς ἐγίνετό τις, ἐβαπτίζετο, καὶ οὕτως ἐδόκει κα-
αρίζεσθαι. Ταῦτα δὲ ἦσαν *δικαιώματα σαρκὸς*, τουτέστι, σάρκα
καθαίροντα, καὶ οὐδαμοῦ ψυχὴν, οὐδαμοῦ νοῦν, οὐδὲ περὶ τὸν
ω ἄνθρωπον, ἀλλὰ περὶ τὸν ἔξω ἠσχολοῦντο (1). Οὐ μέντοι
χρι τέλους ἔμελλον ἐπικεῖσθαι, ἀλλ' *ἄχρι καιροῦ διορθώσεως*
οῖος δὲ οὗτος ὁ τῆς διορθώσεως καιρός; Ὁ τῆς τοῦ Σωτῆρο
τιδημίας δηλονότι, τοῦ μέλλοντος διορθώσασθαι ταῦτα, κα
ὴν ἀληθινὴν καὶ πνευματικὴν λατρείαν ἐπεισαγαγεῖν. *Ἐπι*
κείμενα.] Καλῶς τὸ, *ἐπικείμενα*· βάρος γὰρ ἦν μόνον τὰ ἔ
ῷ νόμῳ, καθὼς φασιν οἱ ἀπόστολοι· «Τί πειράζετε τὸν θεὸν
πιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν οὔτε ο
κατέρες ἡμῶν, οὔτε ἡμεῖς ἰσχύσαμεν βαστάσαι (α);

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ τοῦ αἵματος τοῦ Χριστοῦ, ἐν ᾧ ἦν
νέα Διαθήκη, ὅτι τοῦτο ἀληθὲς καθάρ
σιον εἰσαεὶ, τὰ τὰ ἐν αἵμασι ζώων πολ
λάκις προσφερόμενα.

11 Χριστὸς δὲ παραγενόμενος ἀρχιερεὺς τῶν μελλό
των ἀγαθῶν, διὰ τῆς μείζονος καὶ τελειοτέρας σκ
νῆς, οὐ χειροποιήτου, (τοῦτ' ἔστιν, οὐ ταύτης τ
12 κτίσεως,) οὐδὲ δι' αἵματος τράγων καὶ μόσχω
διὰ δὲ τοῦ ἰδίου αἵματος εἰσῆλθεν ἐφάπαξ εἰς
ἅγια, αἰωνίαν λύτρωσιν εὑράμενος.

Χριστὸς δὲ παραγενόμενος ἀρχιερεύς.] Ἡ μὲν παλαιὰ, φη
λατρεία οὐκ εἰσῆγεν εἰς τὸν οὐρανόν· *ὁ δὲ Χριστὸς παρα*
νόμενος, εἰσῆλθεν ἐφάπαξ εἰς τὰ ἅγια· ἐκεῖσε γὰρ ἀποδίδο

(1) «Ταῦτα δὲ δικαιώματα ἦσαν σαρκὸς, τουτέστιν, ἐντολαὶ σαρκίναι, σάρ
καθαίρουσαι, καὶ σαρκικῶς δικαιοῦσαι τοὺς κατὰ σάρκα δικοῦντας ἀκαθάρτου
Θεοφύλακτος. (α) Πραξ. ΙΕ, 10.

ἡ ἔννοια. Οὐκ εἶπε δὲ, γενόμενος ἀρχιερεὺς, ἀλλὰ, *παραγενόμενος ἀρχιερεὺς*, τουτέστιν, εἰς αὐτὸ τοῦτο ἐλθών. Οὐ πρότερον παρεγένετο, εἶτα συμβὰν οὕτω, ἐγένετο ἀρχιερεύς· ἀλλ' ὁ σκοπὸς τοῦ παραγεγονέναι αὐτὸν εἰς τὴν γῆν, ἡ ἀρχιερωσύνη ἦν. *Τῶν μελλόντων ἀγαθῶν.*] Οὐκ εἶπεν, Ἀρχιερεὺς τῶν θυομένων, ἀλλὰ, *τῶν μελλόντων ἀγαθῶν*, τῶν εἰς ἡμᾶς δηλονότι γενομένων ἀγαθῶν· ὡς οὐκ ἰσχύοντος τοῦ λόγου παραστῆσαι τὸ πᾶν ἀκριβῶς, ἁπλῶς καὶ ἀδιορίστως *ἀγαθὰ* ἐκάλεσε, τὰ εἰς ἡμᾶς γενόμενα· *μέλλοντα* δὲ ταῦτα εἶπεν, ὡς πρὸς τὸν τοῦ νόμου καιρόν. Ὥσπερ γὰρ ἐκεῖναν *ἐνεστηκότα* ἐκάλεσεν, οὕτω *μέλλοντα*, τὰ κατὰ Χριστὸν ὀνομάζει, ὡς πρὸς σύγκρισιν ἐκείνου· ἢ καὶ τῶν ἐν τῷ μέλλοντι αἰῶνι ἀνακαλυφθησομένων ἡμῖν μυστηρίων. *Διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς.*] *Σκηνὴν*, τὸ σῶμα τοῦ Χριστοῦ λέγει, διὰ τὸ ἐν αὐτῷ κατῳκηκέναι πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς (α)· *μείζονα* μὲν, διὰ τὸ θεὸν εἶναι· *τελειοτέραν* δὲ, διὰ τὸ τελειοῦν τοὺς προσερχομένους αὐτῷ (τ). *Οὐ χειροποιήτου.*] Οὐ κατὰ μίμησιν, φησι, τῆς παρὰ Ἰουδαίοις σκηνῆς (2). —*Σκηνὴν ἐνταῦθα ἀχειροποίητον*, τὴν ἀνθρωπείαν φύσιν ἐκάλεσεν, ἣν ἀνέλαβεν ὁ δεσπότης Χριστός. Οὐ γὰρ κατὰ γαμικὸν γεγένηται νόμον, ἀλλὰ τὸ πανάγιον Πνεῦμα τὴν σκηνὴν κατεσκεύασε. Τὸ δὲ, *Οὐ ταύτης τῆς κτίσεως*, ἀντὶ τοῦ, Οὐ κατὰ νόμον φύσεως, τῆς ἐν τῇ κτίσει πολιτευομένης (Θεοδωρήτου). — *Οὐ ταύτης τῆς κτίσεως.*] Τὸ σῶμα τοῦ Χριστοῦ, καὶ

(α) Κόλοσ. Β', 9. (1) «Σκηνὴν, τὴν σάρκα ἐνταῦθα λέγει, μείζονα μὲν οὖσαν, καθὸ καὶ θεὸς Λόγος, καὶ πᾶσα ἡ τοῦ Πνεύματος ἐνέργεια οἰκεῖ ἐν αὐτῇ· οὐ γὰρ ἐκ μέρους δέδωκεν ὁ θεὸς τὸ Πνεῦμα (Ιωαν. Γ', 34.)· τελειοτέραν δὲ, ὡς τελειότερα κατορθοῦσαν». Θεοφύλακτος.

(2) «Ὅτι τὴν μὲν παλαιὰν σκηνὴν χεῖρες τῶν περὶ Βεζελεὴλ τεχνιτῶν ἐποίησαν· τὴν δὲ τοῦ θεοῦ Λόγου σκηνὴν, τὸ Πνεῦμα συνεζήσατο. Διὸ εἶπεν αὐτὴν μὴ εἶναι ταύτης τῆς κτίσεως, τουτέστιν, οὐ τούτων τῶν κτισμάτων, ἀλλὰ πνευματικὴν καὶ θείαν. Τῶν μὲν γὰρ κτισμάτων οὐδὲν ἔχει ἐν ἑαυτῷ τὸν θεὸν Λόγον καθ' ὑπόκρισιν· ἐκείνη δὲ καθ' ὑπόστασιν ἥνωτο τούτῳ. Κατὰ μὲν οὖν τὴν ὕλην, τὸ σῶμα τοῦ Κυρίου καθ' ἡμᾶς ἦν, καὶ ὁμοούσιον ἡμῖν. ὡς ἐκ τῶν ἁχράντων αἱμάτων τῆς ἁγίας Παρθένου συμπαγέν· κατὰ δὲ τὸν τρόπον τῆς συστάσεως, ὑπὲρ ἡμᾶς, καὶ ὅτι καθ' ὑπόστασιν ἥνωτο τῷ θεῷ Λόγῳ.» Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταύτης ἦν τῆς κτίσεως, καὶ οὐ ταύτης· ταύτης μέν, κατὰ τὸ ἴσον εἶναι καὶ διὰ πάντων ὅμοιον τῷ ἡμετέρῳ σώματι· οὐ ταύτης δὲ, κατὰ τὸ ἔχειν ἀσυγχύτως καὶ ἀδιαιρέτως τὴν θεότητα. Τὸ οὖν εἰρημένον τῷ ἀποστόλῳ, *Οὐ ταύτης τῆς κτίσεως*, δέξαι ὡς πρὸς τὸ ἔχειν τὴν θεότητα· ὡς τόγε σῶμα αὐτὸ καθ' αὑτὸ, ὁμοούσιον ἦν τῷ ἡμετέρῳ. Ἤ ὅτι οὐκ ἦν ταύτης τῆς κτίσεως, φησὶν, ἐξ ἧς ἡ Ἰουδαίων σκηνή. Ἐπειδὴ γὰρ *σκηνὴν* τὸ σῶμα ἐκάλεσε τοῦ Χριστοῦ, ἐδεήθη τούτου τοῦ προσδιορισμοῦ. *Οὐδὲ δι' αἵματος τράγων καὶ μόσχων.*] Ἰδοὺ, πάντα ἐξηλλαγμένα, καὶ τοσαύτη ὑπεροχὴ, ὅση αἵματος θείου πρὸς τὰ τῶν ζώων, μεθ' ὧν εἰσῄει ὁ ἀρχιερεὺς εἰς τὰ ἅγια τῶν ἁγίων. *Εἰσῆλθεν ἐφάπαξ εἰς τὰ ἅγια.*] Τουτέστιν, εἰς τὸν οὐρανόν. *Αἰωνίαν λύτρωσιν εὑράμενος.*] Τουτέστι, κατορθώσας αἰωνίαν λύτρωσιν, εὕρατο αὐτὴν, οὐχ ἑαυτῷ· (πῶς γὰρ ὁ ἀναμάρτητος;) ἀλλὰ τῷ λαῷ αὐτοῦ. Ἤ, ἐπειδὴ κεφαλὴ τῆς ἀνθρωπότητος ἠξίωσεν εἶναι, τὰ ἡμῖν κατορθωθέντα, αὐτῷ κατορθῶσθαι λέγει ὁ ἀπόστολος (1).

13 Εἰ γὰρ τὸ αἷμα ταύρων καὶ τράγων, καὶ σποδὸς
δαμάλεως, ῥαντίζουσα τοὺς κεκοινωμένους, ἁγιά-
14 ζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα· πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, ὃς διὰ πνεύματος αἰωνίου ἑαυτὸν προσήνεγκεν ἄμωμον τῷ θεῷ, καθαριεῖ τὴν συνείδησιν ὑμῶν ἀπὸ νεκρῶν ἔργων, εἰς τὸ λατρεύειν θεῷ ζῶντι;

Εἶτα, ἐπειδὴ ἀπίθανον εἶναι ἐδόκει τὸ διὰ μιᾶς θυσίας καὶ αἵματος ἑνὸς λύτρωσιν αἰωνίαν παρασχεῖν, κατασκευάζει αὐτὸ, καὶ δείκνυσι πιθανὸν τοῦτο καὶ μὴ ἀπαδὸν ὑπάρχον ἐκ τῆς παρὰ τοῖς Ἰουδαίοις δόξης. Εἰ γὰρ ὑμεῖς, φησὶν, ἐπιστεύετε καθαίρεσθαι ῥαντιζόμενοι τῷ αἵματι τῆς δαμάλεως,

---

(1) « Οὐ τῆς τοιαύτης καθαιρῶν, ὡς ἐκεῖνοι, ἀλλ' αἰωνίαν ἐλευθερίαν ψυχικῶν κακῶν τρόπων. Ἢ ὅτι, καὶ ἁπλῶς, διὰ μιᾶς εἰσόδου ἀΐδιον εὐεργεσίαν ἡμῖν κατέθετο. » Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ αὖ τῇ σποδῷ αὐτῆς ὕδατι φυρομένῃ· (ἐτηρεῖτο γὰρ ἡ σποδὸς εἰς κάθαρσιν τῶν *κεκοινωμένων*, τουτέστι, τῶν μεμιασμένων (1)·) πῶς τὸ τοῦ Χριστοῦ αἷμα οὐ καθαριεῖ τὰς ψυχάς; *Ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα.*] Ἁγιάζει δὲ, οὐ ψυχικῶς, ἀλλὰ πρὸς καθαρισμὸν τῆς σαρκός. Ὅρα αὐτὸν ἀκριβῶς λαλοῦντα! Οὐκ εἶπεν, ὅτι ἐκαθάριζε τὸ αἷμα τῶν τράγων καὶ ἡ σποδὸς τῆς δαμάλεως, ἀλλ' ὅτι *ἡγίαζεν*· οὐχ ὡς δοξάζων τὰ νομικὰ, ἀλλ' ἵνα κατορθώσῃ ὃ βούλεται. Εἰ γὰρ αἷμα τράγου, εἰ σποδὸς δαμάλεως ἁγιασμὸν παρεῖχεν, ὡς πιστεύετε, πολλῷ μᾶλλον πεισθήσεσθε παρέχειν ἁγιασμὸν τὸ τοῦ Χριστοῦ αἷμα. *Ὃς διὰ Πνεύματος αἰωνίου.*] Οὐκ ἀρχιερεύς τις προσήνεγκε τὸν Χριστὸν, ἀλλ' αὐτὸς ἑαυτόν· καὶ οὐ διὰ πυρὸς, ὡς τὰς δαμάλεις ἐν τῇ Παλαιᾷ, ἀλλὰ διὰ Πνεύματος ἁγίου, ὥστε καὶ τὴν χάριν καὶ τὴν ἀπολύτρωσιν διαιωνίζειν. *Ἄμωμον τῷ θεῷ.*] Καὶ τὸ ἐν τῇ Παλαιᾷ προσαγόμενον ἱερεῖον, ἄμωμον εἶναι ἐπεζητεῖτο· τύπος δὲ ἦν τοῦ σώματος τοῦ Χριστοῦ, τοῦ ἀμώμου καὶ πάντοθεν καθαροῦ· ἁμαρτίαν γάρ, φησιν ὁ Ἡσαΐας, οὐκ ἐποίησε, καὶ δόλος οὐχ εὑρέθη ἐν τῷ στόματι αὐτοῦ (α). *Καθαριεῖ τὴν συνείδησιν ὑμῶν.*] Ἐπὶ μὲν τοῦ αἵματος τῶν ταύρων, καὶ τῆς σποδοῦ τῆς δαμάλεως εἶπε τὸ, *ἁγιάζει*· ἀλλὰ προσέθηκε καὶ τὸ, *πρὸς τὴν τῆς σαρκὸς καθαρότητα*· ἐπὶ δὲ τοῦ αἵματος τοῦ Χριστοῦ, *καθαριεῖ*, εἰπὼν, ἔδειξεν εὐθὺς τὴν ὑπεροχήν. Ἐπάγει γάρ, ὅτι τὴν συνείδησιν καθαριεῖ. Τί δέ ἐστι τὸ, *τὴν συνείδησιν καθαριεῖ*; Τουτέστι, καὶ τὴν ψυχὴν ὑμῶν καθαίρει, ὡς μηδὲ συνειδέναι τί ἑαυτοῖς τοῦ λοιποῦ παράπτωμα. *Ἀπὸ νεκρῶν ἔργων.*] Τῶν φαύλων, τῶν μιαινόντων τὴν ψυχήν. Ὁ νεκροῦ γὰρ ἁψάμενος παρὰ Ἰουδαίοις, ἐμολύνετο· παρ' ἡμῖν δὲ τὰ ἄτοπα ἔργα μολύνει. *Εἰς τὸ λατρεύειν θεῷ ζῶντι.*] Δηλοῖ ἄλλως μὴ δύνασθαι λατρεύειν θεῷ, εἰ μὴ

(1) Ἀριθμ. ΙΘ'. (α) Ἡσ. ΝΓ', 9.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

καθαρὸν ὄντα ἀπὸ νεκρῶν ἔργων· ὡς οἵγε μετ' ἐκείνων λατρεύοντες, οὐ λατρεύουσιν, ἀλλ' αὐτοὶ ἑαυτοὺς κατακρίνουσι (1).

15 Καὶ διὰ τοῦτο διαθήκης καινῆς μεσίτης ἐστίν,
ὅπως, θανάτου γενομένου εἰς ἀπολύτρωσιν τῶν
ἐπὶ τῇ πρώτῃ διαθήκῃ παραβάσεων, τὴν ἐπαγγε-
λίαν λάβωσιν οἱ κεκλημένοι τῆς αἰωνίου κληρονο-
16 μίας. Ὅπου γὰρ διαθήκη, θάνατον ἀνάγκη φέρε-
17 σθαι τοῦ διαθεμένου· διαθήκη γὰρ ἐπὶ νεκροῖς βε-
βαία, ἐπεὶ μή ποτε ἰσχύει, ὅτε ζῇ ὁ διαθέμενος.
18 Ὅθεν οὐδ' ἡ πρώτη χωρὶς αἵματος ἐγκεκαίνισται.

Ἐπειδὴ πολλοὺς τῶν ἀσθενεστέρων ἐτάραττεν ὁ θάνατος τοῦ Χριστοῦ· (εἰ γὰρ ἀπέθανεν, ἔλεγον, πῶς δώσει ἃ ἐπήγγελται;) τοῦτο νῦν ὁ Παῦλος θεραπεύων, δείκνυσιν, ὅτι δι' αὐτὸ μενοῦν τοῦτο βεβαία ἐστὶν ἡ διαθήκη αὐτοῦ· διότι ἀπέθανεν· ἐπὶ γὰρ ζώντων διαθήκη οὐ λέγεται. Διὰ τοῦτό, φησι, διὰ τὸ καθαρίσαι ἡμᾶς, ἀπέθανε, καὶ ἐν διαθήκῃ κατέλιπεν ἡμῖν τὴν ἄφεσιν, καὶ τὴν ἀπόλαυσιν τῶν πατρῴων ἀγαθῶν, μεσίτης γενόμενος τοῦ πατρὸς καὶ ἡμῶν. Ἠβούλετο γὰρ ὁ πατὴρ, κληρονόμους ἡμᾶς γενέσθαι τῶν ἐπαγγελιῶν· ἀλλ' οὐκ ἠδυνάμεθα, ἐχθροὶ ὄντες καὶ ἐκπεπολεμωμένοι πρὸς αὐτόν. Τί οὖν; Ὁ υἱὸς ἐμεσίτευσε, καὶ κατήλλαξεν ἡμᾶς τῷ οἰκείῳ πατρί. Ἀλλ' ἐπειδὴ ἔδει καὶ τιμωρίαν δοῦναι τοὺς ἐπὶ τῆς γῆς δι' ἃ ἐπλημμελήσαμεν· (σὺν τῷ φιλανθρώπῳ γὰρ καὶ δίκαιος ὁ θεός·) καὶ ταύτην αὐτὴν ὑπὲρ ἡμῶν ὑπέμεινεν ὁ υἱὸς, καὶ ἐποίησεν ἡμᾶς ἀξίους τῆς διαθήκης, καὶ λοιπὸν ἡ διαθήκη βεβαία ἐγένετο διὰ τοῦ θανάτου τοῦ υἱοῦ, ὡς οὐκ εἰς ἀναξίους τὴν κληρονομίαν παραπέμψασα. Ὅπως, *θανάτου γενο-*

(1) «Ὡσὲ ὁ νεκρῶν ἔργων ἀποτόμενος, οὐ λατρεύει θεῷ ζῶντι καὶ ἀληθινῷ, ἀλλὰ τὰ ἔργα, ἃ προαιρεῖται, ἐκεῖνα θεοποιεῖ. Οὕτως ὁ φαρισαῖος θεοποιεῖ τὴν κοιλίαν· οὕτως ὁ πλεονέκτης εἰδωλολατρεῖ. Νεκρὰ οὖν εἰσι τὰ τοιαῦτα, οὐμόνον ὡς τῆς αἰωνίου ζωῆς ἀλλότρια, ἀλλ' ὅτι καὶ ἐν αὐτῷ τῷ πράττεσθαι βδελυκτὰ εἰσι· καὶ ψευδῆ δέ, ὡς δελεάζοντα ἡμᾶς, καὶ δοκοῦντα μὲν ἡδέα, μὴ ὄντα δέ.» Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μένου.] Θανάτῳ γὰρ βεβαιοῦται ἡ διαθήκη. Διὰ τοῦτο ἀπέθανεν ὁ Χριστὸς, ἵνα ἡ εἰς ἡμᾶς αὐτοῦ διαθήκη βεβαιωθῇ. *Εἰς ἀπολύτρωσιν.*] Ὁρᾷς, ὅτι ὁ θάνατος τοῦ Χριστοῦ πρὸς τὸ ἀπολυτρώσασθαι ἡμᾶς γέγονε; Πῶς οὖν τοῦτον ἀσθενείας εἶναι νομίζεις, τὸν οὕτως ἰσχύσαντα, ὥστε καὶ τὰς ἐν τῷ νόμῳ παραβάσεις ἰάσασθαι; Πῶς οὖν προστρέχεις τῷ νόμῳ, τῷ οὕτως ἀδυνάτῳ, ὥστε μηδὲ τὰς ἐπ' αὐτῷ παραβάσεις δύνασθαι διορθώσασθαι; Οὐχ ὅτι πονηρὸς ἦν, ἀλλ' ὅτι ἀσθενής. *Τὴν ἐπαγγελίαν λάβωσιν οἱ κεκλημένοι τῆς αἰωνίου κληρονομίας.*] Εἰμὴ γὰρ ὁ θάνατος τοῦ Χριστοῦ ἀπήλλαξεν ἡμᾶς τῶν ἁμαρτιῶν, δι' ἃς ἐξεπολεμώσαμεν ἑαυτοῖς τὸν πατέρα, πῶς ἂν ἐλάβομεν τὴν οὐράνιον κληρονομίαν; Τὸ δὲ, *κεκλημένοι*, τοῦτο δηλοῖ· ὅτι παρὰ μὲν τὴν ἀρχὴν πρὸς ἡμᾶς, ὡς πατὴρ πρὸς τέκνα διέκειτο ὁ θεὸς, καὶ κεκλημένοι ἦμεν πρὸς τὴν κληρονομίαν· ὕστερον δὲ, αὐτοὶ ἑαυτοὺς διὰ τῶν ἁμαρτιῶν ἀναξίους ἐποιήσαμεν ταύτης. *Θάνατον ἀνάγκη φέρεσθαι τοῦ διαθεμένου.*] Τοῦτο τὸ ταράσσον αὐτοὺς, ὁ θάνατος τοῦ Χριστοῦ. Ὅτι πῶς, φασὶν, ἔχει ἡμῖν δοῦναι τὰς ἐπαγγελίας ὁ ἀποθανών; Περιστρέφει οὖν καὶ δείκνυσιν, οὐκ ἄλλως ἡμᾶς δυναμένους λαβεῖν τὴν κληρονομίαν καὶ τὴν ἐπαγγελίαν, εἰμὴ ἐτετελευτήκει ὁ Χριστός. Εἰ μὴ γὰρ ἐτετελευτήκει, οὔτε διαθήκην ἂν ἐποίησεν, ὥστε κληρονομῆσαι ἡμᾶς· (ἀναμφίβολον γὰρ, ὅτι ἡ διαθήκη μετὰ θάνατον κρατεῖ·) οὔτε ὅλως ἄξιοι ἂν ἦμεν κληρονομίας, ὡς τῆς ἔχθρας μὴ λυθείσης. *Ἐπεὶ μή ποτε ἰσχύει, ὅτε ζῇ ὁ διαθέμενος.*] Διαθήκη γὰρ, ὡς εἶπεν, ἐπὶ νεκροῖς βεβαία. *Οὗτε οὐδ' ἡ πρώτη.*] Οὐ μόνον ἀπὸ τῆς κοινῆς συνηθείας ἐπιστώσατο ὃ ἔλεγεν, ἀλλὰ καὶ ἀπὸ τῶν ἐν τῇ Παλαιᾷ συμβάντων, ὃ μᾶλλον τοὺς Ἑβραίους ὑπήγετο. Καὶ οὕτω, φησὶ, θανάτῳ βεβαιοῦται ἡ διαθήκη, ὅτι καὶ ἡ πρώτη οὐ χωρὶς αἵματος ἐνεκαινίσθη· αἷμα δὲ, θανάτου σύμβολον. Ἡ δὲ Νέα, τὸν ὄντως θάνατον ἔχει· καθὰ ἐκεῖνα μὲν, τύποι ἦσαν, ἀλή-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θεια δὲ, τὰ ἐν τῇ Νέᾳ (1). Τί δέ ἐστι τὸ, ἐγκεκαίνισται; Τοῦτ' ἐστι, τὴν ἀρχὴν τῆς συζάσεως καὶ βεβαιώσεως ἔλαβεν. Οὐκ ἄλλως γὰρ ἔλαβεν ἀρχὴν τοῦ ἐνεργεῖν, εἰμὴ αἱματεκχυσία προέβη.

19 Λαληθείσης γὰρ πάσης ἐντολῆς κατὰ νόμον ὑπὸ
Μωϋσέως παντὶ τῷ λαῷ, λαβὼν τὸ αἷμα τῶν μό-
σχων καὶ τράγων μετὰ ὕδατος καὶ ἐρίου κοκκίνου
καὶ ὑσσώπου, αὐτό τε τὸ βιβλίον καὶ πάντα τὸν
20 λαὸν ἐῤῥάντισε, λέγων· «Τοῦτο τὸ αἷμα τῆς δια-
21 θήκης, ἧς ἐνετείλατο πρὸς ὑμᾶς ὁ θεός (α)·» καὶ
τὴν σκηνὴν δὲ καὶ πάντα τὰ σκεύη τῆς λει-
22 τουργίας τῷ αἵματι ὁμοίως ἐῤῥάντισε. Καὶ σχε-
δὸν ἐν αἵματι πάντα καθαρίζεται κατὰ τὸν νόμον,
καὶ χωρὶς αἱματεκχυσίας οὐ γίνεται ἄφεσις.
23 Ἀνάγκη οὖν τὰ μὲν ὑποδείγματα τῶν ἐν τοῖς οὐ-
ρανοῖς, τούτοις καθαρίζεσθαι· αὐτὰ δὲ τὰ ἐπουρά-
νια, κρείττοσι θυσίαις παρὰ ταύτας.

Λαληθείσης γὰρ πάσης ἐντολῆς.] Μετὰ γὰρ τὸ λαλῆσαι τὴν ἐντολὴν, τότε τῷ αἵματι ἐῤῥάντισεν ὁ Μωσῆς. *Κατὰ νόμον.*] Τουτέστι, Καθὼς ὁ θεὸς ἐνομοθέτησε, κατὰ τὸν τοῦ θεοῦ νόμον· ἡ *πάσης ἐντολῆς* τῆς κατὰ τὸν νόμον, τουτέστι, τῆς νομοθετηθείσης. *Λαβὼν γὰρ τὸ αἷμα τῶν μόσχων.*] Τύπος ἦν τοῦτο τὸ αἷμα τοῦ αἵματος τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν, τοῦ καθάραντος ἡμᾶς ἀπὸ πάσης κηλίδος. *Μετὰ ὕδατος.*] Τὸ ὕδωρ τύπος ἦν τοῦ βαπτίσματος. *Καὶ ἐρίου κοκκίνου καὶ ὑσσώπου.*] Ὕσσωπον παρελαμβάνετο, διὰ τὸ συγκρατητικόν· τὸ γὰρ ὕσσωπον, πυκνὸν ὑπάρχον καὶ ἁπαλὸν, ἐκκάτει τὸ αἷμα, καὶ ἐῤῥάντιζε· καὶ τὸ ἔριον ὁμοίως. *Κόκκινον* δὲ ἦν τὸ ἔριον, ἵνα ἐκ τῆς χροιᾶς τύπον φέρῃ τοῦ αἵ-

(1) «Ἀλλ' ἐκεῖ μὲν ἀμνοῦ αἷμα· τύπος γὰρ ἦν· ἐνταῦθα δὲ, τῆς ἀληθείας λαμψάσης, ὁ υἱὸς τοῦ θεοῦ σαρκὶ ἀπέθανεν ὑπὲρ ἡμῶν.» Θεοφύλακτος.

(α) Ἔξοδ. ΚΔ', 8. Λευϊτ. ΙΔ', 4. Ἀριθ. ΙΘ', 6.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ματος τοῦ Χριστοῦ (1). *Αὐτό τε τὸ βιβλίον.*] Τύπος ἦν τῶν πιστῶν τὸ βιβλίον, τῶν ἐν ἑαυτοῖς ἐχόντων τὸν νόμον τοῦ θεοῦ. *Λέγων· Τοῦτο τὸ αἷμα τῆς διαθήκης.*] Ὁ δὲ Χριστός· *Τοῦτο τὸ αἷμα τὸ τῆς καινῆς διαθήκης, εἰς ἄφεσιν ἁμαρτιῶν* (α)· ἐκεῖ δὲ οὔτε καινὴ, οὔτε ἄφεσις ἁμαρτιῶν. Ὁρᾷς οὖν, πῶς τὸ αἷμα *διαθήκην* ὠνόμασεν; Ὥστε ἀνάγκη θάνατον νοεῖσθαι, ὅπου διαθήκη λέγεται. *Καὶ τὴν σκηνὴν δέ.*] Καὶ ἡ σκηνὴ τύπος ἦν τῶν πιστῶν· ἡμεῖς γὰρ ἐσμὲν ἡ σκηνὴ, κατὰ τό· *Ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω* (β). Ἐῤῥαντίσθημεν οὖν τῷ ἀληθινῷ αἵματι τοῦ Χριστοῦ, καὶ ἡγιάσθημεν εἰς τὸν θάνατον αὐτοῦ βαπτισθέντες. *Καὶ σχεδόν.*] *Σχεδὸν* διὰ τοῦτο εἶπεν, ἐπειδὴ μὴ καθαρῶς καὶ εἰλικρινῶς τότε ἐκαθαρίζετο. Τότε γὰρ σωματικοὶ ἦσαν οἱ καθαρισμοὶ, τύποι ὄντες τῶν νῦν ψυχὰς καὶ σώματα καθαιρόντων. *Καὶ χωρὶς αἱματεκχυσίας οὐ γίνεται ἄφεσις.*] Ἐδόκουν γὰρ καὶ τότε οἱ τοιοῦτοι καθαρμοὶ ἄφεσιν παρέχειν, οὐ μὴν δὲ παρεῖχον. *Ἀνάγκη οὖν τὰ μὲν ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς.*] *Οὐράνια*, τὰ ἐν τῇ Καινῇ λέγει· ἐπειδὴ ἡ ἐν αὐτῇ μυσταγωγία οὐρανία ἐστί· καὶ οὐρανοπολῖται εἰσὶν οἱ πιστοὶ, εἰ καὶ ἐπὶ γῆς τέως πολιτεύονται. *Ὑποδείγματα* γὰρ τὰ τῆς Παλαιᾶς, ὡς τύποι ὄντα τῆς Νέας (2). *Τούτοις καθαρίζεσθαι.*] Τοῖς εἰρημένοις, αἵματι μόσχων καὶ τράγων, καὶ σποδῷ δαμάλεως, καὶ τοῖς ἄλλοις τοῖς οὕτω εὐτελέσιν. *Αὐτὰ δὲ τὰ ἐπουράνια.*] Τὰ τῆς Νέας (3). *Κρείττοσι θυσίαις.*] Ἐπεὶ οὖν ἔχρηζε κατὰ τὰς ἀξίας αὐτῶν κρείττονος θυσίας, αὐτὸς ὁ τοῦ

(1) « Τύπος ἦν, τοῦ μὲν βαπτίσματος, τὸ ὕδωρ· τοῦ δὲ σωτηρίου αἵματος, τῶν ἀλόγων τὸ αἷμα· τῆς δὲ τοῦ θείου Πνεύματος χάριτος, ἡ τοῦ θερμοῦντος· τοῦ δὲ καινοῦ ἐνδύματος, τὸ κόκκινον ἔριον· τοῦ δὲ ἀπαθοῦς τῆς θεότητος, τὸ κίδρινον ξύλον· ἄσηπτον γὰρ τὸ ξύλον· τοῦ δὲ πάθους τῆς ἀνθρωπότητος, ἡ τῆς δαμάλεως κόνις. » Θεοδώρητος.

(α) Ματθ. ΚϚ', 28. (β) Β' Κορ. Ϛ', 16. Λευϊτ. ΚϚ', 12.

(2) « Οὐράνια, τὰ καθ' ἡμᾶς λέγει, τὰ τῆς ἐκκλησίας. Εἴρηται δὲ ἀνωτέρω, πῶς οὐρανὸς ἡ ἐκκλησία. Τούτων οὖν ὑποδείγματα ἦσαν καὶ τύποι τὰ ἰουδαϊκά. » Θεοφύλακτος. (3) « Τὰ τῆς ἐκκλησίας, τὰ ἡμέτερα. » Ὁ αὐτός.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θεοῦ υἱὸς ἐτύθη (1). Ὥστε ὁ θάνατος τοῦ Κυρίου, οὐ μόνον πρὸς τὸ βεβαιῶσαι τὴν διαθήκην ὠφέλησε καὶ ἐνήργησεν, ἀλλὰ καὶ πρὸς τὸ καθαρισμὸν ἀληθῆ καὶ ψυχικὸν ἀπεργάσασθαι. Ἄνω δὲ καὶ κάτω τὸν θάνατον ἀποδείκνυσι τοῦ Κυρίου, τὴν σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων ἐργασάμενον, διὰ τὸ τινὰς τῶν ἀσθενεστέρων σκανδαλίζεσθαι ἐπὶ τῷ θανάτῳ, καὶ μάλιστα τῷ διὰ σταυροῦ.

24 Οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθεν ὁ Χριστὸς, ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν οὐρα-
25 νόν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ θεοῦ ὑπὲρ ἡμῶν· οὐδ' ἵνα πολλάκις προσφέρῃ ἑαυτὸν, ὥσπερ ὁ ἀρχιερεὺς εἰσέρχεται εἰς τὰ ἅγια κατ' ἐνιαυτὸν
26 ἐν αἵματι ἀλλοτρίῳ· (ἐπεὶ ἔδει αὐτὸν πολλάκις παθεῖν ἀπὸ καταβολῆς κόσμου·) νῦν δὲ ἅπαξ ἐπὶ συντελείᾳ των αἰώνων, εἰς ἀθέτησιν ἁμαρτίας, διὰ
27 τῆς θυσίας αὐτοῦ πεφανέρωται. Καὶ καθ' ὅσον ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν, μετὰ δὲ
28 τοῦτο κρίσις· οὕτω καὶ ὁ Χριστὸς, ἅπαξ προσενεχθεὶς εἰς τὸ πολλῶν ἀνενεγκεῖν ἁμαρτίας, ἐκ δευτέρου χωρὶς ἁμαρτίας ὀφθήσεται τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν.

Ἐπειδὴ μέγα ἐφρόνουν ἐπὶ τῷ ναῷ οἱ Ἰουδαῖοι· (οὔτε γὰρ ἦν ἄλλαχοῦ γῆς τοιοῦτος ναὸς, οὐ κάλλους ἕνεκεν, οὐ πολυτελείας·) ὅρα, πῶς καθαιρεῖ αὐτὸ τῇ παραθέσει τοῦ οὐρανοῦ. Λέγει γὰρ, ὅτι οἱ μὲν ἄλλοι ἀρχιερεῖς εἰς τὰ χειροποίητα ἅγια εἰσήρχοντο, *ἅτινα ἦσαν ἀντίτυπα τῶν ἀληθινῶν*, τουτέστι, τοῦ οὐρανοῦ ἦσαν τύπος· (οὗτος γὰρ τὰ ἀληθινὰ ἅγια· ὁ γὰρ ναὸς, χειροποίητός τε ἦν, καὶ ἀντίτυπος τοῦ οὐρανοῦ κατεσκεύαστο·) ὁ δὲ Χριστὸς, εἰς αὐτὸν τὸν οὐρανὸν εἰσῆλθε, καίτοι τὰ πάντα πλήρει, καὶ πάρεστι πανταχοῦ· ἀλλὰ διὰ τὸ ἀνθρώπινον ταῦτά

(1) « Ἐπειδὴ καὶ κρείττονά εἰσι τῶν ἰουδαϊκῶν, καὶ τοσοῦτον, ὅσον γῆς οὐρανός· (εἴγε ἐκείνοις μὲν τὰ ἀγαθὰ, γήϊνα· ἡμῖν δὲ κλῆρος, οὐρανός·) εἰκότως καὶ κρείττονος καὶ μεγαλοπρεπεστέρας θυσίας ἠξίωνται, τοῦ αἵματος τοῦ υἱοῦ τοῦ θεοῦ, τοῦ καθορίσαντος ἡμᾶς τελειότερον. » Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φησιν. Οὐ μόνον δὲ διὰ τούτου δείκνυσι τὴν διαφοράν, ἀλλὰ καὶ διὰ τοῦ δεῖξαι τὸν ἡμέτερον ἀρχιερέα ἐγγύτερον γενόμενον τοῦ θεοῦ. Λέγει γάρ· *Νῦν ἐμφανισθῆναι*, τουτέστι, Μετὰ τῆς σαρκὸς ἐμφανισθῆναι· νῦν γὰρ πρῶτον εἰς τὸν οὐρανὸν φύσις ἀνελήλυθεν ἀνθρωπεία· *τῷ προσώπῳ τοῦ θεοῦ*. Οἱ μὲν γὰρ παλαιοὶ ἀρχιερεῖς διὰ συμβόλων ἑώρων τὸν θεόν· ὁ δὲ Χριστὸς, αὐτὸν τὸν θεὸν ὁρᾷ, τῷ προσώπῳ αὐτοῦ ἐμφανισθείς. Τί λέγεις, ὦ Παῦλε; ἐὰν μὴ εἰσέλθῃ εἰς τὸν οὐρανὸν, οὐκ ἐμφανίζεται τῷ προσώπῳ τοῦ πατρὸς, ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν; Ὁρᾷς, ὅτι τῆς οἰκονομίας ἐστὶ τὰ ταπεινά; *Ὑπὲρ ἡμῶν.*] Μετὰ θυσίας ἀνῆλθε τῆς τοῦ ἰδίου σώματος, ἵνα ὀρθῇ τῷ πατρὶ *ὑπὲρ ἡμῶν*, τουτέστι, καταλλάσσων ἡμᾶς αὐτῷ. Τῆς γὰρ σαρκὸς ἐπιλαβόμενος ὁ μακάριος Παῦλος, πάντα τὰ ταπεινὰ ἀδεῶς λαλεῖ (1). *Οὐδ' ἵνα πολλάκις προσφέρῃ ἑαυτόν.*] Τὸ, *Εἰς αὐτὸν εἰσῆλθε τὸν οὐρανὸν*, ἀπὸ κοινοῦ ληπτέον· οἷον· *Οὐδ' ἵνα πολλάκις προσφέρῃ ἑαυτὸν, εἰσῆλθεν εἰς τὸν οὐρανόν*· τὸ γὰρ πολλάκις θυσίας ἐν αἵματι προσφέρειν, τῶν εἰσερχομένων εἰς τὰ ἀντίτυπα τῶν ἀληθινῶν ἐστὶν, ἀλλ' οὐχὶ τοῦ εἰσελθόντος εἰς τὸν οὐρανὸν αὐτόν. *Ὥσπερ ὁ ἀρχιερεύς.*] Ὁρᾷς ὑπεροχήν; Οὗτος κατ' ἐνιαυτόν· ὁ δὲ Χριστὸς ἅπαξ. *Ἐν αἵματι ἀλλοτρίῳ.*] Καὶ τοῦτο τῆς ὑπεροχῆς. Ὁ μὲν γὰρ ἐν αἵματι ἀλλοτρίῳ, ταύρων καὶ τράγων· ὁ δὲ Χριστὸς, ἐν τῷ ἰδίῳ. *Ἐπεὶ ἔδει αὐτὸν πολλάκις παθεῖν ἀπὸ καταβολῆς κόσμου.*] Εἰ γὰρ ἐχρῆν αὐτόν πολλάκις προσφέρειν θυσίαν, ἔδει αὐτὸν, ἐξ οὗ κατεβλήθη εἰς κτίσιν ὁ κόσμος, πολλάκις ἀποθανεῖν, διὰ τὸ τὸ οἰκεῖον αἷμα ὀφείλειν προσφέρειν. *Νῦν δὲ ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων.*] Ἐνταῦθα τι καὶ ἀποκαλύπτει μυστήριον, διὰ τί ἐπὶ συντελείᾳ τῶν αἰώνων

(1) «Τί ἐστι τὸ, ὑπὲρ ἡμῶν; Μετὰ θυσίας, φησὶν, εἰσῆλθε, δυναμένης ἐξιλεώσασθαι τὸν πατέρα, ἀλλὰ καὶ τοῖς ἀγγέλοις ἀποκαταλλάξαι ἡμᾶς· καὶ γὰρ κἀκεῖνοι ἀπηχθάνοντο ἡμῖν ὡς ἐχθροῖς τοῦ αὐτῶν δεσπότου. Νῦν οὖν ὑπὲρ ἡμῶν ἐμφανίζεται· (τοῦτο γὰρ τὸ, νῦν·) ὅτι εἰσῆλθεν ὡς ἀρχιερεύς· διὰ γὰρ τὴν ἡμετέραν καταλλαγὴν εἰσῆλθε.» Θεοφύλακτος·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μετὰ πολλὰ ἁμαρτήματα. Εἰ μὲν γὰρ παρὰ τὴν ἀρχὴν ὁ θάνατος αὐτοῦ ἐγίνετο, ὅτε οὐκ ἐχύθη οὕτως ἡ ἁμαρτία, εἶτα οὐδεὶς ἐπίστευεν, (οὐκ ἔδει δὲ δεύτερον ἀποθανεῖν,) ἀνόνητα ἂν ἦν ἅπαντα. Νῦν δὲ, ἐπειδὴ ὕστερον πολλὰ ἦν τὰ ἁμαρτήματα, εἰκότως *ἐπὶ συντελείᾳ τῶν αἰώνων*, τουτέστιν, ἐπ' αὐτῇ τῇ πληρώσει τῶν αἰώνων, καὶ ἐπ' αὐτῷ τῷ τέλει, *πεφανέρωται*· τουτέστι, μετὰ τῆς σαρκὸς ἐν τῷ κόσμῳ· πεφανέρωται δὲ, *εἰς ἀθέτησιν ἁμαρτίας*, τουτέστιν, εἰς τὸ ἀθετῆσαι καὶ σβέσαι τὴν ἁμαρτίαν τοῦ κόσμου, *διὰ τῆς θυσίας αὐτοῦ*, ἣν ὑπὲρ ἡμῶν προσήνεγκε, τουτέστι, διὰ τοῦ θανάτου τῆς σαρκὸς αὐτοῦ. Τοιοῦτον καὶ ἀλλαχοῦ εἶπεν· *Ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις* (α). *Καὶ καθ' ὅσον ἀπόκειται τοῖς ἀνθρώποις.*] Νῦν καὶ τὴν αἰτίαν λέγει, δι' ἣν ἅπαξ ἀπέθανεν ὁ Χριστός· διότι, φησὶν, ἑνὸς θανάτου ἀντίλυτρον ἐγένετο. Ἀπέκειτο γὰρ τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν. Τοῦτο οὖν τὸ ἅπαξ, ὑπὲρ ἡμῶν ἀπέθανεν ὁ Χριστός. Τί οὖν; νῦν οὐκ ἀποθνήσκομεν; Ναί· ἀλλ' οὐ κρατούμεθα ὑπὸ τοῦ θανάτου, ὥσπερ πρώην, ὃ τῇ δυνάμει οὐδὲ ἀποθανεῖν ἐστιν. *Οὕτω καὶ ὁ Χριστός.*] Ἐπειδὴ ἄνθρωπος ἦν ἀληθῶς μετὰ τοῦ εἶναι θεὸς, καὶ αὐτὸς τὸ κοινὸν τῶν ἀνθρώπων ὑπέμεινεν. Ὥσπερ γὰρ οἱ ἄνθρωποι ἅπαξ ἀποθνήσκουσιν, οὕτω καὶ ὁ Χριστός. *Ἅπαξ προσενεχθείς.*] Αὐτὸς ἑαυτὸν προσενέγκας. Οὐ γάρ ἐστι μόνον ἀρχιερεὺς, ἀλλὰ καὶ θῦμα, καὶ ἱερεῖον. *Εἰς τὸ πολλῶν ἀνενεγκεῖν ἁμαρτίας.*] Ὥσπερ ἐπὶ τῆς ἁγίας λειτουργίας ἀναφέρομεν τὰ ἁμαρτήματα, καὶ λέγομεν· Εἴτε ἑκόντες, εἴτε ἑκόντες ἡμάρτομεν, συγχώρησον· τουτέστι, μεμνήμεθα αὐτῶν πρῶτον, καὶ τότε τὴν συγχώρησιν αἰτοῦμεν· οὕτω καὶ αὐτὸς εἶπε τῷ πατρί· *Ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτόν* (β). Ἢ, ἀνήνεγκε τὰς ἁμαρτίας, τουτέστιν, ἦρεν αὐτὰς ἀπὸ τῶν ἀνθρώπων, καὶ προσήνεγκε τῷ πατρὶ, ἵνα αὐτὸς συγχωρήσῃ καὶ ἐξαλείψῃ αὐτάς. Διὰ τί δὲ

(α) Ρωμ. Ε', 20. (β) Ἰωαν. ΙΖ', 19.

Δημόσια Κεντρική Βιβλιοθήκη Θεσσαλονίκης

εἶπε, *πολλῶν*, καὶ οὐ, *πάντων*; Ὅτι μὴ πάντες ἐπίστευσαν· τῶν γὰρ πιστευόντων ἀφαιρεῖται τὰς ἁμαρτίας (1). Ἀπέθανε γὰρ εἰς τὸ πάντας σῶσαι, τόγε ἦκον εἰς αὐτόν· τὰς δὲ ἁμαρτίας ἀφίησι τοῖς πιστοῖς μόνοις. Ἢ τὸ, *εἰς τὸ πολλῶν ἀνενεγκεῖν ἁμαρτίας*, ἐν τῷ σταυρῷ φησιν, ἵνα αὐτὰς καὶ σβέσῃ, δοὺς τὴν ὑπὲρ αὐτῶν δίκην. *Ἐκ δευτέρου χωρὶς ἁμαρτίας.*] Ἢ τοῦτο λέγει, ὅτι ἐκ δευτέρου ἐρχόμενος, οὐχ ἥξει πάλιν διὰ τὰς ἡμῶν ἁμαρτίας ὀφείλων ἀποθανεῖν· ἢ, ὅτι οὐκέτι ῥύσεται ἡμᾶς τότε ἁμαρτιῶν, ὥσπερ καὶ νῦν ἀφαιρῶν αὐτάς. Ἢ, ὅτι οὐχ ἁμαρτήσει, κολάζων τοὺς αἰτίους καὶ ἐνόχους, διὰ τὸ σταυρωθῆναι ὑπὲρ ἡμῶν. Νῦν γὰρ ἁμαρτίαν ποιήσας αὐτὸν ὁ πατὴρ ἔπεμψε. Καὶ γὰρ ἦν σφόδρα ἁμαρτωλὸς ὁ Χριστός, ὡς τὰς τοῦ παντὸς κόσμου ἀναλαβὼν καὶ οἰκειωσάμενος ἁμαρτίας. Ἀλλὰ τὴν ἡμῖν τοῖς ἁμαρτωλοῖς προσήκουσαν καὶ ὀφειλουμένην δίκην δοὺς διὰ τοῦ σταυροῦ, λοιπὸν μετὰ τῆς πρτρώας ἥξει δόξης, οὐκέτι ὡς ἁμαρτωλὸς καὶ μετὰ ἀνόμων καταλογιζόμενος. Ὅτι γὰρ ἁμαρτωλὸς ὁ Χριστὸς, ἄκουε· *Τὸν γὰρ μὴ γνόντα*, φησὶν, *ἁμαρτίαν, ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν* (3)· οἷον, αὐτόχρημα ἁμαρτίαν (2).

ΚΕΦ. Χ, 1 Σκιὰν γὰρ ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων, κατ' ἐνιαυτὸν ταῖς αὐταῖς θυσίαις, ἃς προσφέρουσιν εἰς τὸ διηνεκὲς, οὐδέποτε δύναται τοὺς προσερ-
2 χομένους τελειῶσαι. Ἐπεὶ οὐκ ἂν ἐπαύσαντο

(1) « Εὗρον ἐν τῷ εὐαγγελίῳ εἰς τό· Καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν (Ματθ. Κ', 28.), παραγραφὴν ἐκδεχομένην τὸ, πολλῶν, ἀντὶ τοῦ, πάντων· πολλοὶ γὰρ καὶ οἱ πάντες.» Θεοφύλακτος. Ἰδ. Ματθ. Κς', 28. τὴν ἑρμηνείαν τοῦ Ζηγαβηνοῦ.

(3) Β' Κορ. Ε, 21. (2) « Ἀπέθανε μέν, φησι, βαστάζων τὰ ἁμαρτήματα ἡμῶν, καὶ προσφέρων τῷ πατρὶ, ἵνα αὐτὰ ἐξαλείψῃ, ὑπὲρ ὧν καὶ ἀπέθανε. Τὸν γὰρ μὴ γνόντα ἁμαρτίαν, φησὶν, ἁμαρτίαν ἐποίησεν ὁ πατὴρ, ὡς τὰ ἡμῶν οἰκειούμενον. Ὀφθήσεται δὲ ἐκ δευτέρου, οὐκέτι ἁμαρτίας ἐπιφερόμενος, οὐδὲ θανάτου δευτέρου δι' αὐτὸς δεόμενος, ἀλλ' ὡς κριτὴς εἰς σωτηρίαν τοῖς αὐτὸν ἀπεκδεχομένοις, τουτέστι, τοῖς πιστεύουσιν εἰς αὐτὸν, καὶ ἐλπίζουσι τὴν αὐτοῦ παρουσίαν· πρόδηλον δὲ ὅτι καὶ ἀξίως αὐτῆς ζῶσι. Καίτοιγε οὐ μόνον εἰς σωτηρίαν ἥξει, ἀλλὰ καὶ εἰς τιμωρίαν τῶν ἀπίστων καὶ ἁμαρτωλῶν· ἀλλ' ὅμως τὸ φαιδρὸν εἶπε.» Θεοφύλακτος.

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

προσφερόμεναι, διὰ τὸ μηδεμίαν ἔχειν ἔτι συνείδησιν ἁμαρτιῶν τοὺς λατρεύοντας, ἅπαξ κεκαθαρ-
3 μένους (1); Ἀλλ' ἐν αὐταῖς ἀνάμνησις ἁμαρτιῶν
4 κατ' ἐνιαυτόν. Ἀδύνατον γὰρ αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας.

Σκιὰν γὰρ ἔχων ὁ νόμος.] Τουτέστι, τύπος μόνον ὢν τῶν κατὰ τὴν νέαν Διαθήκην μελλόντων δίδοσθαι παρὰ Χριστοῦ τοῖς ταύτην παραδεξαμένοις ἀγαθῶν. *Οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων.*] Τουτέστιν, οὐκ αὐτὴν τὴν ἀλήθειαν. *Πραγμάτων* δὲ ποίων; Τῆς θυσίας, τῆς ἀφέσεως. Σκιαγραφίᾳ γὰρ ἐῴκεισαν τὰ παλαιά, ἀμυδρὰ ὄντα· τὰ δὲ νέα, εἰκόνι· τουτέστιν, ἀληθείᾳ, ὡς λαμπρῶς ὑρεστῶτα καὶ τελεσιουργηθέντα. Δύνῃ δὲ καὶ οὕτω νοῆσαι. Εἴρηται τῷ ἐν ἁγίοις Γρηγορίῳ, ἐν τῷ Ἀπολογητικῷ, καὶ ἐν τῷ Πρὸς τοὺς πολιτευομένους· «Τὰ νῦν θεῖα μυστήρια, ἀντίτυπα εἶναι μειζόνων μυστηρίων.» Καὶ πάλιν ἐν τῷ Εἰς τὸ πάσχα λόγῳ· «Μεταληψόμεθα τοῦ πάσχα, νῦν μὲν τυπικῶς ἔτι, εἰς ὕστερον δὲ τελειότερον. Τὸ γὰρ νομικὸν πάσχα, τολμῶ καὶ λέγω, τύπος ἦν ἀμυδρότερος (1).» Τούτων οὕτως εἰρημένων, οἶδεν ἐν τούτοις ὁ ἀπόστολος *σκιὰν*, καὶ, *εἰκόνα*, καὶ, *μέλλοντα ἀγαθὰ*, ἃ καὶ *πράγματα* καλεῖ, τουτέστιν, ἀληθῆ· ὡς γὰρ πρὸς παράθεσιν σκιᾶς καὶ εἰκόνος, τὰ πράγματα ἀλήθειαν δηλοῖ· καὶ γάρ ἐστιν ἀλήθεια. *Σκιὰν* μὲν οὖν οἶδε, τὰ ἐν νόμῳ· *εἰκόνα* δὲ, τὰ ἡμέτερα· *μέλλοντα* δὲ, καὶ, *ἀγαθὰ*, καὶ, *πράγματα* ἀληθῆ, τὰ ἐν τῷ μέλλοντι αἰῶνι. Καὶ γὰρ ὅσον ἀπέχει ἡ εἰκὼν τῆς ἀληθείας, τοσοῦτον τῆς εἰκόνος, ἡ σκιά. Ἡ μὲν γὰρ εἰκὼν, εἰ καὶ μὴ αὐτὴν ἔχει τὴν ἀλήθειαν, πλὴν μίμημα έναρ-

(1) Παρ' ἄλλοις, χωρὶς ἐρωτήσεως μετὰ τὸ, κεκαθαρμένους. Καὶ παρ' ἄλλοις, Ἐπεὶ ἂν ἐπαύσαντο.

(1) «Ὥστε δίδωσι νοεῖν, σκιὰν μὲν, τὸν νόμον λέγεσθαι παρὰ τοῦ ἀποστόλου· εἰκόνα δὲ, τὰ νῦν ἐν τῇ ἐκκλησίᾳ τελούμενα, ὡς ἄλλων τελειοτέρων ὄντα ἐμφάσεις, τῶν ἐν τῷ μέλλοντι αἰῶνι μεταληφθησομένων τοῖς ἀξίοις· ἃ καὶ πράγματα καλεῖ νῦν ὁ ἀπόστολος. Ὥσπερ οὖν ἡ εἰκὼν ἀπέχει τι τοῦ πρωτοτύπου πράγματος· οὕτω καὶ τὰ νῦν μυστήρια, τῶν ἐν τῷ μέλλοντι πραγμάτων, τῶν τελειοτέρων. Καὶ ὥσπερ τῆς εἰκόνος ἡ σκιαγραφία λείπεται, οὕτω καὶ ὁ νόμος τῆς Νέας ἀπολείπεται.» Θεοφύλακτος.

Δημοσία Κεντρική Βιβλιοθήκη Βεροίας

γές ἐστιν ἀληθείας, τὸ σχῆμα σώζουσα διὰ τῶν χρωμάτων, καὶ τὴν ἀναλογίαν τῶν μελῶν, καὶ τὸ χρῶμα τοῦ ὑποκειμένου· ἡ δὲ σκιὰ, ἴνδαλμά ἐστιν ἀμυδρὸν τῆς εἰκόνος, οὐδὲν τούτων, ὧν ἡ εἰκὼν, ὑποφαίνουσα. Καὶ ἡγοῦμαι τὸν Θεολόγον, ἐκ τούτων τῶν ἀποστολικῶν ῥητῶν προαχθῆναι εἰπεῖν τὰ προκείμενα. Ὅμοια δὲ τούτοις, καὶ ἄλλοι πλείους εἶπον Πατέρες. — *Πράγματα* καλεῖ, τὸν μέλλοντα *βίον· εἰκόνα δὲ πραγμάτων*, τὴν εὐαγγελικὴν πολιτείαν· *σκιὰν* δὲ τῆς τῶν πραγμάτων εἰκόνος, τὴν παλαιὰν Διαθήκην. Ἡ γὰρ εἰκὼν ἐναργέστερα δείκνυσι τὰ ἀρχέτυπα· ἡ δὲ σκιαγραφία τῆς εἰκόνος, ἀμυδρότερον ταῦτα παραδηλοῖ. Ταύτῃ τῆς παλαιᾶς Διαθήκης ἀπείκασε τὴν ἀσθένειαν. Πολλὰς γάρ, φησι, θυσίας, καὶ τὰς αὐτὰς κατ' ἐνιαυτὸν, προσφέροντες, τελειῶσαι τοὺς κατὰ νόμον πολιτευομένους οὐ δύνανται (Θεοδωρήτου). — *Κατ' ἐνιαυτόν.*] Τί οὖν; Καὶ ἡμεῖς οὐκ ἀεὶ θυσίας ἀναιμάκτους προσφέρομεν; Ναί· ἀλλὰ καὶ ἑνὸς θανάτου Χριστοῦ ἀναμνήσεις ποιοῦμεν, καὶ ἓν δὲ σῶμα Χριστοῦ πάντοτε ἐσθίομεν. Οὐ γὰρ νῦν μὲν ἄλλου Χριστοῦ, ἄλλοτε δὲ ἄλλου, ἀλλ' ἀεὶ τοῦ αὐτοῦ. Λί δὲ τῶν Ἰουδαίων θυσίαι, διάφορα εἶχον θύματα, οἷον, πρόβατα, βόας, αἶγας· διὸ πολλαὶ θυσίαι· αἱ γὰρ ἡμῶν, εἰ καὶ τῇ ἐνεργείᾳ πολλαὶ, τῇ μέντοι δυνάμει, μία (1). *Ταῖς αὐταῖς θυσίαις.*] Ταῖς αὐταῖς τῷ τρόπῳ· τοῖς γὰρ θύμασι, διαφόροις (2). *Εἰς τὸ διη-*

(1) « Τί οὖν; Οὐχὶ καὶ ἡμεῖς ἀεὶ θυσίας ἀναιμάκτους προσφέρομεν; Ναί· ἀλλ' ἀνάμνησιν ποιούμεθα τοῦ θανάτου τοῦ Κυρίου. Καὶ μία ἐστὶν αὕτη, οὐ πολλαί, ἐπειδὴ ἅπαξ προσηνέχθη· τὸν γὰρ αὐτὸν ἀεὶ προσφέρομεν, μᾶλλον δὲ ἀνάμνησιν τῆς προσφορᾶς ἐκείνης ποιοῦμεν, ὡς νῦν γινομένης. Ὥστε μία ἐστὶν ἡ θυσία. Ἐπεὶ ὅσον γε κατὰ τὸ ζητούμενον, ἐπειδὴ πολλαχοῦ προσφέρεται, ἆρα πολλοὶ Χριστοί; Οὐδαμῶς· ἀλλ' εἷς πανταχοῦ, καὶ ἐνταῦθα πλήρης ὤν, καὶ ἐκεῖ πλήρης, καὶ ἓν σῶμα. Ὥσπερ οὖν πολλαχοῦ προσφερόμενος, ἓν σῶμά ἐστι, καὶ οὐ πολλὰ σώματα· οὕτω καὶ μία θυσία. Ἐκείνην γὰρ προσφέρομεν, τὴν τότε προσενεχθεῖσαν. Ἐκεῖ δὲ ἕτερος ἦν ὁ χθὲς προσενεχθείς, ἀμνὸς τυχὸν, παρὰ τὸν σήμερον· καὶ οὐχ ὡς ἀνάμνησις τοῦ χθὲς προσήγετο ὁ σήμερον, ἀλλ' ὡς αὐτὸς καθ' ἑαυτὸν θυσίαν τελῶν. » Θεοφύλακτος. (2) « Πῶς οὖν ὁ ἀπόστολος λέγει, ταῖς αὐταῖς θυσίαις; Αἱ αὐταὶ μὲν οὖν ἦσαν θυσίαι, καθὸ τὰ αὐτὰ εἴδη προσήγοντο, οἷον ἀμνὸς σήμερον, καὶ αὖριον ἀμνός· ἕτεραι δὲ τῷ ἀριθμῷ. Τινὲς δὲ τὰς αὐτὰς μὲν εἶναι ταύτας τῷ τρόπῳ τῆς προσαγωγῆς εἶπον· τουτέστιν, ἢ διὰ σφαγῆς, ἢ δι' ὁλοκαυτώσεως γίνεσθαι προσταττομένας· τῷ δὲ εἴδει, ἑτέρας· οἷον πρόβατα, βόας, τρυγόνας, περιστεράς. » Θεοφύλακτος.

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

νεκές.] Κατ' ἐνιαυτὸν γὰρ προσφέροντο εἰς ἀπέραντον. *Οὐδέποτε δύναται τοὺς προσερχομένους τελειῶσαι.*] Τίς; Ὁ νόμος. Διὰ τί; Ἐπειδὴ τύπος ἐστίν· ἡ γὰρ ἀλήθεια, τουτέστιν, ὁ Χριστὸς, τοῦτο ἐποίησε, διὰ μιᾶς θυσίας καθαρισμὸν ἐργασάμενος (1). *Ἐπεὶ οὐκ ἂν ἐπαύσαντο.*] Κατ' ἐρώτησιν ἀνάγνωθι. Εἰ γὰρ ἔπαυόν, φησιν, ἁμαρτίας ἐκεῖναι αἱ θυσίαι, πάντως οὐκ ἂν ἐπαύσαντο καὶ αὗται προσφερόμεναι, ἅτε τῶν δεομένων τῆς αὐτῶν ὠφελείας ἱκανῶς ὠφεληθέντων, καὶ μηδεμίαν συνείδησιν ἁμαρτιῶν ἐχόντων; τουτέστι, μηδὲν ἔτι συνειδότων ἑαυτοῖς ἄξιον θεραπείας, διὰ τὸ θεραπεύεσθαι, ἅπαξ καθαρθέντας. *Ἀλλ' ἐν αὐταῖς ἀνάμνησις ἁμαρτιῶν.*] Ἐναὐταῖς, φησὶ, ταῖς θυσίαις, ἀνάμνησις μόνον καὶ ἔλεγχος ἁμαρτιῶν, ἄφεσις δὲ οὐκέτι. Καὶ δεῖγμα τοῦ μὴ εἶναι ἄφεσιν, τὸ ἀεὶ εἶναι θυσίας. Οὐ γὰρ μόνον ἐπὶ ταῖς ἐπιγινομέναις ἁμαρτίαις αἱ θυσίαι προσφέρονται, ἀλλὰ μᾶλλον ἐπὶ πάσαις, ὡς μὴ ἀφεθείσαις ταῖς ἤδη γενομέναις θυσίαις (2). *Ἀδύνατον γὰρ αἷμα ταύρων.*] Λοιπὸν δείκνυσιν ἀληθῆ τὰ εἰρημένα, ἐκ τῆς εὐτελείας τῶν προσαγομένων καὶ τοῦ μεγέθους τοῦ νοσήματος.

---

(1) Τὸ, δύναται, εἶον, ὁ νόμος, ἀναγινώσκεται παρ' ἄλλοις, δύνανται. Καὶ ἰδοὺ τί λέγει περὶ τούτου ὁ Θεοφύλακτος· « Τὸ, δύνανται, εἰ καὶ τὰ ἀντίγραφα ἔχουσι μετὰ τοῦ ν· ἀλλ' ὅμως εὗρον παραγραφὴν χωρὶς τοῦ, ν, τοῦτο γράψειν ἀξιοῦσαν. « Σκιὰν γὰρ ἔχων, φησὶν, ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐδέ ποτε δύναται τοὺς προσερχομένους τελειῶσαι. » Καὶ ἀληθῶς γε, ὅσον κατὰ τὴν τῆς γραμματικῆς ἀκριβείας ἀκόλουθον, οὕτω δεῖ ἔχειν τὴν γραφὴν, ἵνα μὴ σολοικισμὸς ἀνακύψῃ. Ἐπειδὴ δὲ τῇ Γραφῇ τεχνολογιῶν οὐδεὶς λόγος, καὶ οὕτως αὐτὸ νοήσωμεν, ὡς τὰ ἀντίγραφα ἔχουσιν. Οὐδέποτε γὰρ δύνανται, οἱ προσφέροντες ὅπλασθαι, τελειῶσαι τοὺς προσερχομένους.»

(2) « Οὐδὲν ἄλλο, φησι, κατορθοῦσιν αἱ θυσίαι, εἰμὴ μόνον ἀνάμνησιν ἁμαρτιῶν, τουτέστιν, ἔλεγχον. Οὐ γὰρ ἄφεσιν παρέχουσιν, ἀλλ' ἀποδεικνύουσι διὰ τοῦ ἀεὶ προσφέρεσθαι, ὅτι ἄλυτοί εἰσιν αἱ ἁμαρτίαι τοῦ λαοῦ. Εἰ γὰρ ἐλύθησαν αἱ ἁμαρτίαι, τί ἔδει θυσιῶν; Ἀνάμνησιν δὲ εἶπον, δέδωκέ σοι νεῖν, ὅτι αἱ θυσίαι οὐκ ἐπὶ ἁμαρτίαις ἐπιγινομέναις ἐτελοῦντο, ἀλλὰ καὶ ἐπὶ ταῖς προγεγονυίαις, ὡς μὴ ἀφεθείσαις ὅλως ποτέ. Κατ' ἐνιαυτὸν γὰρ, φέρε εἰπεῖν, προσήγετο ὑπὲρ τοῦ λαοῦ τὸ αἷμα τοῦ μόσχου. Ἆρα οὖν, ὡς τῶν αὐτῶν ἁμαρτιῶν οὐσῶν, ἡ αὐτὴ θυσία προσήγετο. Οὐδέπου δὲ αἱ ἐπιγεγονυῖαι ἁμαρτίαι αἱ αὐταὶ ἦσαν ταῖς προγεγονυίαις· ἀλλὰ πρόδηλον, ὅτι ἄλυτοι αἱ πρότεραι ἐκεῖναι ἔμενον, καὶ διὰ τοῦτο ἀεὶ ἡ αὐτὴ θυσία. Ὥσπερ καὶ φάρμακον προσαγόμενον ἀεὶ τὸ αὐτὸ, ὅλως τὸν αὐτὸν νόσον ἀεὶ ἐνοχλεῖν τῷ κάμνοντι. » Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Μαρτυρίαι περὶ τῆς μόνης καθάρσεως καὶ προσαγωγῆς πρὸς θεόν· ἐν ᾧ, προτροπὴ τῆς ἐν πίστει προσόδου.

5 Διὸ εἰσερχόμενος εἰς τὸν κόσμον, λέγει· «Θυσίαν
καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω
6 μοι· ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ εὐδό-
7 κησας. Τότε εἶπον· Ἰδού, ἥκω, (ἐν κεφαλίδι βιβλίου
γέγραπται περὶ ἐμοῦ,) τοῦ ποιῆσαι, ὁ θεός, τὸ θέ-
8 λημά σου (α).» Ἀνώτερον λέγων· Ὅτι θυσίαν καὶ
προσφορὰν καὶ ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας
οὐκ ἠθέλησας, οὐδὲ εὐδόκησας· (αἵτινες κατὰ τὸν
9 νόμον προσφέρονται·) τότε εἴρηκεν· Ἰδού, ἥκω τοῦ
ποιῆσαι, ὁ θεός, τὸ θέλημά σου. Ἀναιρεῖ τὸ πρῶ-
10 τον, ἵνα τὸ δεύτερον στήσῃ. Ἐν ᾧ θελήματι ἡγια-
σμένοι ἐσμὲν, οἱ διὰ τῆς προσφορᾶς (1) τοῦ σώ-
ματος Ἰησοῦ Χριστοῦ ἐφάπαξ.

Διὸ εἰσερχόμενος εἰς τὸν κόσμον.] Ὁ Χριστός, φησιν, ἐν σώματι εἰς τὸν κόσμον εἰσερχόμενος, λέγει διὰ μέσου τοῦ Δαυΐδ. Ὁ δὲ σκοπὸς τῷ ἀποστόλῳ ἐνταῦθα τοιοῦτος. Ἐπειδὴ ἔδειξεν ἀσθενεῖς καὶ ἀνωφελεῖς τὰς θυσίας, ἵνα μή τις εἴποι αὐτῷ· Εἰ ἀσθενεῖς καὶ ἀνωφελεῖς αἱ θυσίαι, πῶς ἔτι ἐπιτελοῦσι ταύτας οἱ Ἰουδαῖοι; (ἔτι γὰρ τότε ἵστατο ὁ ναὸς αὐτοῖς, καὶ πάντα ἐπετελεῖτο τὰ νόμιμα·) πῶς δὲ οὐκ ἐπαύσαντο; τοῦτο νῦν δείκνυσι, καί φησιν· Ὅτι ἐπαύσαντο μὲν κατὰ τὸ τοῦ θεοῦ θέλημα· οἱ δὲ Ἰουδαῖοι, φιλόνεικοι ὄντες, καὶ ἀεὶ τῷ ἁγίῳ Πνεύματι ἀντιπίπτοντες, ἔτι περιέχονται τούτων. Καὶ λοιπὸν δείκνυσιν αὐτὰς καὶ πρὸ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου μεμισημένας παρὰ τῷ θεῷ. Καὶ ὅρα, ὅτι τοῦτο βούλεται ὁ ἀπόστολος. Οὐ γὰρ εἶπεν, εἰσελθὼν ὁ Χριστὸς, ἀλλ', *εἰσερχό-*

(α) Ψαλμ. ΜΘ'. 7 — 9. (1) Παὶ ἄλλοις, ἡγιασμένοι ἐσμὲν διὰ τῆς προσφορᾶς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μενος, δεικνὺς, ὅτι, καὶ πρὶν εἰσέλθῃ, ἐμεμίσητο. — ΑΛΛΩΣ *Εἰσερχόμενος εἰς τὸν κόσμον*, εἶπεν, ὁ Χριστὸς, ἀλλ' οὐχὶ εἰσελθών· εἰσήρχετο δὲ δηλονότι, ὅτε τῷ Δαυὶδ ὑπισχνεῖτο καὶ διετείνετο· *Ἐκ καρποῦ τῆς κοιλίας αὐτοῦ, καθίσαι ἐπὶ τὸν θρόνον αὐτοῦ ἕως τοῦ αἰῶνος* (α). Εἰσερχόμενος οὖν εἰς τὸν κόσμον διὰ τῶν πρὸς τὸν Δαυὶδ συνθηκῶν, καὶ τοῦτο λέγει δι' αὐτοῦ· Ὅτι, ἐπεὶ θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, οὐδὲ ηὐδόκησας τὰ ἐν τῷ νόμῳ τελούμενα. Καὶ οὐκ εἶπεν, ὅτι οὐκ εὐδοκεῖς, οὐδὲ θέλεις, ἀλλ', *οὐκ ἠθέλησας, οὐδὲ ηὐδόκησας* μονονουχὶ λέγων· Ὡς ἀπ' αὐτῆς τῆς καταβολῆς αὐτῶν καὶ τῆς εἰσαγωγῆς, οὐκ ἦσαν σοι τὸ ὅλον καταθύμιοι καὶ εὐάρεστοι αἱ θυσίαι. Ἀλλὰ καὶ, εἴ τι αὐτῶν ἀποδέδεκταί σοι, διὰ τὴν ἀσθένειαν ἀποδέδεκται τῶν προσαγόντων. Ἐπεὶ οὖν καὶ ταῦτα ἀπώσω, καὶ σῶμα κατηρτίσω μοι, τότε ἥκω ἐπὶ τῷ ποιῆσαι τὸ θέλημά σου· τοῦτο γὰρ καὶ εἴρηται περὶ ἐμοῦ, οὐχὶ ἁπλῶς καὶ κατὰ πάροδον, ἀλλὰ κεφάλαιον καὶ ὑπόθεσιν τοῦ βιβλίου τὴν περὶ ἐμοῦ προρρήσιν ποιουμένου. *Βιβλίον* δὲ, ὅλην λέγει τὴν Παλαιάν· τὸ γὰρ κεφάλαιον καὶ ἡ ἀξιολογωτάτη ὑπόθεσις τῆς Παλαιᾶς, αἱ περὶ Χριστοῦ προρρήσεις εἰσί. — *Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας.*] τὰς διὰ τοῦ νόμου τεταγμένας δηλονότι. *Προσφορὰ* δὲ παρὰ τὴν *θυσίαν* ἄλλο τι δηλοῖ ἐνταῦθα· καὶ οἶμαι τὰ ἄνευ αἵματος δηλοῦσθαι διὰ τοῦ ὀνόματος. Ἐντεῦθεν δὲ εἰσφέρεται τὸ τοῦ Χριστοῦ πρόσωπον, λέγον πρὸς τὸν πατέρα· Ἐπειδὴ, ὦ πάτερ, θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, τὴν κατὰ νόμον δηλονότι προσφερομένην, οὐ μὴν εὐδόκησας ἐν ὁλοκαυτώμασι, τοῖς κατὰ τὸν νόμον, τουτέστιν οὐδὲ ὁλοκαυτώματα εὐδόκησας, ἤγουν, ἠθέλησας, *σῶμα κατηρτίσω μοι*, τουτέστι, τὸ σῶμα μου κατηρτισμένην καὶ τελείαν θυσίαν ἀφώρισας γενέσθαι. *Ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ εὐδόκησας.*] Οὔτε ὁλοκαυτώματα εὐδόκησας, τουτέστι

(α) Ψαλμ. ΡΔΑ', 11.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ἠθέλησας, δεκτὰ ἡγήσω, οὔτε τὰ περὶ ἁμαρτίας προσαγόμενα. Καλῶς δέ φησι, *περὶ ἁμαρτίας*· τῶν γὰρ θυσιῶν, αἱ μὲν, ὑπὲρ σωτηρίας, αἱ δὲ, ὑπὲρ ἁμαρτίας προσεφέροντο (1). Ὡς εἰ εἶπεν· Ἐπεὶ οὐδένα τρόπον προσφορᾶς, οὐδὲ θυσίας ἠβουλήθης, οὐδὲ ὁλοκαυτώματα, οὐ περὶ σωτηρίας, οὐ περὶ ἁμαρτίας, ἥκω σῶμα λαβών, τὸ ὀφεῖλον γενέσθαι θυσία εὐάρεστός σοι, ὅπερ αὐτός μοι κατηρτίσω· (Πνεῦμα γὰρ ἅγιον καὶ ὑψίστου δύναμις ἐπεσκίασε τῇ Παρθένῳ (α)·) ἥκω δὲ, ἵνα τὸ σὸν ποιήσω θέλημα· ἵνα οὓς δέδωκάς μοι, μὴ ἀπολέσω ἐξ αὐτῶν (β). *Τότε εἶπον· Ἰδοὺ, ἥκω, καὶ ἐξῆς.*] Ὁρᾷς, ὅτι αἱ θυσίαι ἐξεβέβλητο καὶ πρὸ τῆς ἐνανθρωπήσεως; Μετὰ γὰρ τὸ μὴ θελῆσαι σέ, φησι, καὶ ἀπώσασθαι τὰς θυσίας καὶ τὰ ὁλοκαυτώματα, *τότε εἶπον· Ἰδοὺ, ἥκω.* Τίς δὲ εἶπεν, *Ἰδοὺ ἥκω*; Ὁ Χριστὸς δηλονότι· ἥκω δὲ, ἕνεκεν τοῦ ποιῆσαι τὸ θέλημά σου. Τί δὲ τὸ θέλημα τοῦ πατρός; Τὸ τὸν υἱὸν ὑπὲρ τοῦ κόσμου τυθῆναι, καὶ δικαιωθῆναι τοὺς ἀνθρώπους, οὐκ ἐν θυσίαις, ἀλλ' ἐν τῷ θανάτῳ τοῦ υἱοῦ αὐτοῦ. Εὐηγγελισάμην γάρ, φησι, δικαιοσύνην ἐν ἐκκλησίᾳ μεγάλῃ (γ). Εἶτα διὰ μέσου· *Ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ*· οὕτω γὰρ δεῖ συντάξαι. *Κεφαλίδα* δὲ *βιβλίου*, τὸ εἱλιτάριον τοῦ νόμου, ἤτοι, τὸ τῆς Παλαιᾶς βιβλίον λέγει. Ἐν οὖν τῇ γραφῇ ταύτῃ γέγραπται περὶ τῆς ἐμῆς ἐλεύσεως καὶ τοῦ μέλλειν με τυθῆναι ὑπὲρ τοῦ κόσμου. *Ἀνώτερον λέγων· Ὅτι θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, οὐδὲ εὐδόκησας.*] Αὐτὸς ὁ Παῦλος ἑρμηνεύει τὸ δαυϊτικὸν ῥητὸν σαφέστερον. *Αἵτινες κατὰ τὸν νόμον.*] Τὸν ἰουδαϊκὸν δηλονότι· καὶ ὑπὸ τῶν Ἰουδαίων δὲ προσφέρονται. Τί οὖν; αἱ κατὰ νόμον θυσίαι οὐκ ἦσαν θέλημα Θεοῦ; Ἦσαν μὲν, ἀλλ' οἷον ἀναγκαστῶς. Μόνον γὰρ ὅτι οὐ τοῦτο εἶπεν αὐτοῖς· Καθόλου μὲν αἱ ἔνυλοι θυσίαι

(1) «Διάφορα ἦσαν ὀνόματα θυσιῶν, κατὰ διαφόρους δηλαδὴ αἰτίας· τὰ μὲν γὰρ, περὶ ἁμαρτίας· τὰ δὲ, περὶ πλημμελείας· τὰ δὲ, σωτηρίου, τὰ δὲ, ἱλασμοῦ, τὰ δὲ, εὐχῶν, τὰ δὲ, καθαρισμοῦ. Πάντα οὖν ἀνῃρέθησαν· ἐπειδὴ θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας.» Θεοφύλακτος. (α) Λουκ. Α', 35.

(β) Ἰωαν. ς', 39. ΙΖ', 12. (γ) Ψαλμ. ΑΘ', 10.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐμοὶ τῷ ἀύλῳ ὁδελυκταί εἰσιν· ἀλλ' ἐπειδὴ ἐπιθυμεῖτε θύειν, ἐμοὶ γοῦν, καὶ μὴ τοῖς εἰδώλοις, θύετε· ὅπερ οὐκ ἦν καθαροῦ καὶ πρωτοτύπου θελήματος (1). *Ἀναιρεῖ τὸ πρῶτον, ἵνα τὸ τὸ δεύτερον στήσῃ.*] Ποῖον ἐστὶ τὸ πρῶτον; Αἱ θυσίαι. Ποῖον δὲ τὸ δεύτερον; Τὸ θέλημα τοῦ πατρὸς, τουτέστιν, ἡ διὰ σταυροῦ τοῦ σώματος τοῦ Χριστοῦ θυσία. Αἱ θυσίαι οὖν ἐκβάλλονται, καὶ ὁ σταυρὸς, τουτέστιν, ἡ τοῦ Χριστοῦ θυσία ἀντεισάγεται (2). *Ἐν ᾧ θελήματι ἡγιασμένοι ἐσμέν.*] Δι' οὗ θελήματός, φησιν, ἡγιασμένοι ἐσμέν. Ποίου τούτου; Τοῦ σταυροῦ, τῆς προσφορᾶς τοῦ σώματος τοῦ Χριστοῦ. Οὐ γὰρ μόνον ἀφέσεως τετυχήκαμεν, ἀλλὰ καὶ ἡγιάσθημεν. *Οἱ διὰ τῆς προσφορᾶς τοῦ σώματος Ἰησοῦ Χριστοῦ.*] Ἰδοὺ ἡρμήνευσε, τί ἐστι τὸ θέλημα τοῦ πατρός· ἡ προσφορὰ δηλονότι τοῦ σώματος τοῦ Χριστοῦ. Ἐπειδὴ γὰρ ἄνω καὶ κάτω περὶ θελήματος ἔλεγεν, εἶπε λοιπὸν τί ἐστι τὸ θέλημα. *Ἐφάπαξ* δὲ φησὶ, τουτέστιν, οὐ κατὰ τὸν τρόπον τῶν ἰουδαϊκῶν θυσιῶν, ἀλλ' ἐφάπαξ. Τουτέστιν, οἱ διὰ τῆς ἐφάπαξ γενομένης προσφορᾶς τοῦ σώματος Ἰησοῦ Χριστοῦ ἁγιασθέντες (3).

11 Καὶ πᾶς μὲν ἱερεὺς ἕστηκε καθ' ἡμέραν λειτουρ-

---

(1) « Τί οὖν; Αἱ κατὰ νόμον θυσίαι οὐκ ἦσαν θέλημα τοῦ θεοῦ; Θέλημα μέν· ἀλλ' ἡ τοῦ θελήματος σημαία διττή. Θέλει γάρ τις τόδε τι προηγουμένως, ὡς ὁ Παῦλος· Θέλω, πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτόν (Α' Κορ. Ζ', 7.), τουτέστιν, ἀγάμους. Θέλει τις καὶ συγκαταβατικῶς, ὡς ὁ αὐτὸς Παῦλος· Βούλομαι, νεωτέρας χήρας γαμεῖν (Α' Τιμ. Ε, 14.). Τοῦτο συγκαταβατικὸν θέλημα· ἵνα γὰρ μὴ καταστρηνιάσωσι τοῦ Χριστοῦ, διὰ τοῦτο συγκατέβη. Οὕτω καὶ ὁ θεὸς, προηγουμένως μὲν οὐκ ἤθελε κνίσσας καὶ αἵματα· ἐπειδὴ δὲ ἑώρα, ὡς οἱ Ἑβραῖοι, θύοντες δαίμοσι, σφόδρα αὐτῶν δὴ τῶν θυσιῶν περιέχονται, συγκατέβη αὐτοῖς, ἵνα εἰς τιμὴν αὐτῷ τὴν θυσίαν προσάγωσι.» Θεοφύλακτος.

(2) « Ἐκβάλλονται οὖν ἐκεῖναι, ἵνα σταθῇ καὶ βεβαιωθῇ ἡ διὰ τῆς τοῦ Χριστοῦ σφαγῆς προσφορὰ, ἣν ἠθέλησεν ὁ πατήρ. Ὥστε οὐ διὰ τὰς ἁμαρτίας τῶν προσφερόντων ἐκβέβληνται αἱ θυσίαι, ἀλλὰ διὰ τὸ αὐτῶν ἀτελές.» Θεοφύλακτος.

(3) « Οἱ διὰ τῆς προσφορᾶς τοῦ σώματος τοῦ Χριστοῦ, τῆς ἐφάπαξ γενομένης, ἁγιασθέντες· τοῦτο γὰρ ἔξωθεν προσυπακουστέον. Οἱ γὰρ πιστεύσαντες ἁγιασθῆναι διὰ τῆς προσφορᾶς τοῦ μονογενοῦς, ἐν τῷ θελήματι τοῦ πατρὸς ἡγιάσθημεν. Ὥστε οὐ τὰ νομικὰ, θέλημα τοῦ θεοῦ, ἀλλ' ἡ κατὰ Χριστὸν προσφορὰ, καὶ ὁ διὰ ταύτης ἁγιασμός. » Θεοφύλακτος.— « Σαφῶς ἔδειξε θέλημα τοῦ θεοῦ, τῶν ἀνθρώπων τὴν σωτηρίαν. Τοῦτο καὶ ὁ Κύριος ἔφη· Τοῦτο γάρ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με πατρὸς, ἵνα πᾶς ὁ πιστεύων εἰς ἐμὲ μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον (Ἰωαν. ϛ', 39. 40.). » Θεοδώρητος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γῶν, καὶ τὰς αὐτὰς πολλάκις προσφέρων θυσίας,
12 αἵτινες οὐδέποτε δύνανται περιελεῖν ἁμαρτίας· αὐ-
τὸς δὲ μίαν ὑπὲρ ἁμαρτιῶν προσενέγκας θυσίαν,
13 εἰς τὸ διηνεκὲς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θεοῦ, τὸ
λοιπὸν ἐκδεχόμενος, ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ
14 ὑποπόδιον τῶν ποδῶν αὐτοῦ. Μιᾷ γὰρ προσφορᾷ
τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους.
15 Μαρτυρεῖ δὲ ἡμῖν καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Μετὰ
16 γὰρ τὸ προειρηκέναι· «Αὕτη ἡ διαθήκη, ἣν διαθήσομαι
πρὸς αὐτοὺς μετὰ τὰς ἡμέρας ἐκείνας· λέγει Κύ-
ριος· Διδοὺς νόμους μου ἐπὶ καρδίας αὐτῶν, καὶ
17 ἐπὶ τῶν διανοιῶν αὐτῶν ἐπιγράψω αὐτούς, καὶ τῶν
ἁμαρτιῶν αὐτῶν καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνη-
18 σθῶ ἔτι.» Ὅπου δὲ ἄφεσις τούτων, οὐκέτι προσ-
φορὰ περὶ ἁμαρτίας.

Καὶ πᾶς μὲν ἱερεὺς ἕστηκεν.] Ἄρα τὸ ἑστάναι, σημεῖόν ἐστι τοῦ λειτουργεῖν· τὸ δὲ καθίσαι, ὥσπερ ὁ Χριστὸς ἐκάθισεν ἐν δεξιᾷ τοῦ πατρὸς, σημεῖόν ἐστι τοῦ λειτουργεῖσθαι, οἷα θεὸν ὄντα. Καθ' ἡμέραν λειτουργῶν, καὶ τὰς αὐτὰς πολλάκις προσφέρων θυσίας.] Τὰς αὐτάς φησιν· ὅτι ὑπὲρ τῶν αὐτῶν προσεφέροντο ἀεὶ, μὴ ἰσχυουσῶν τῶν γεγονυιῶν καὶ γινομένων θυσιῶν καὶ προσφορῶν μηδεμίαν ἁμαρτίαν καθαρῶς περιελεῖν καὶ ὁλοκλήρως. Αὐτὸς δὲ μίαν ὑπὲρ ἁμαρτιῶν.] Αὐτὸς δὲ, ὁ Χριστὸς δηλονότι, μίαν προσήνεγκε θυσίαν, ἤτοι, τὸ ἑαυτοῦ σῶμα, ὑπὲρ τῶν ἡμετέρων ἁμαρτιῶν, εἰς τὸ διηνεκὲς ἀρκοῦσαν ἡμῖν, ὥστε μὴ δευτέρας δεηθῆναι. Ἐκάθισεν ἐν δεξιᾷ τοῦ θεοῦ, τὸ λοιπὸν ἐκδεχόμενος.] Ὥστε οὐκ ἔστι μόνον ἀρχιερεὺς, ἀλλὰ καὶ θεός. Μετὰ γοῦν τὸ πληρῶσαι τὸ ἔργον, δι' ὃ καὶ ἀρχιερεὺς ᾠκονόμησε χρηματίσαι, ἐκάθισε λοιπὸν ὡς θεὸς, καὶ ἐκδέχεται, ἕνα τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ. Ἐχθροὶ δὲ αὐτοῦ, καὶ πάντες μὲν οἱ ἄπιστοι, καὶ οἱ δαίμονες, οἳ καὶ αὐτοὶ ὑποταγήσονται· τουτέστιν, ἀνενέργητος ἡ κακία αὐτῶν μενεῖ, τῷ ἀσβέστῳ πυρὶ παραδεδο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μένων. Τέως δὲ νῦν ὁ Παῦλος ἐξαιρέτως ἐχθροὺς τοὺς ἀπίστους λέγει Ἑβραίους, παραμυθούμενος τοὺς ἐξ Ἰουδαίων πιστοὺς, μυρία δεινὰ παθόντας παρ' αὐτῶν. *Ἕως τεθῶσιν.*] Οὐκ εἶπεν, ὑποταγῶσιν, ἀλλὰ, τὸ μέγιστον τῆς ὑποταγῆς σημαίνων, *τεθῶσιν*, εἶπεν, *ὑποπόδιον τῶν ποδῶν αὐτοῦ*. Τοῦ δὲ τεθῆναι αὐτοὺς ὑποπόδιον τῶν ποδῶν αὐτοῦ ἀπόδειξις τὸ καθίσαι αὐτὸν ἐν δεξιᾷ τοῦ πατρός. Ἐπεὶ γὰρ τοῦτο γέγονε, κἀκεῖνο γενήσεται, κατὰ τὸ ἐν ψαλμοῖς εἰρημένον. Καὶ τίνος ἕνεκεν οὐκ εὐθέως ἐτέθησαν ὑπὸ τοὺς πόδας αὐτοῦ οἱ ἐχθροὶ αὐτοῦ; Διὰ τοὺς μέλλοντας ἐξ αὐτῶν γίνεσθαι καὶ τίκτεσθαι πιστούς. *Μιᾷ γὰρ προσφορᾷ.*] *Μιᾷ προσφορᾷ*, ἣν προσήνεγκεν ὁ Χριστὸς, *τετελείωκε*, τουτέστι, τελείους ἀπειργάσατο, τελείως ἀπήλλαξε τῶν ἁμαρτιῶν, *τοὺς ἁγιαζομένους*, τουτέστι, τοὺς πιστούς· οὗτοι γὰρ ἐκ τῆς εἰρημένης προσφορᾶς ἁγιάζονται. *Μαρτυρεῖ δὲ ἡμῖν καὶ τὸ Πνεῦμα.*] Τί μαρτυρεῖ; Ὅτι ἀφέθησαν ἡμῶν αἱ ἁμαρτίαι, ὅτι τελείως ἡμᾶς ἁμαρτιῶν ἀπήλλαξε διὰ τῆς μιᾶς προσφορᾶς, ὥστε μὴ δεηθῆναι δευτέρας. *Μετὰ γὰρ τὸ προειρηκέναι, καὶ ἑξῆς.*] Ὁρᾷς, ὅτι ἐμαρτύρησεν ὁ θεὸς, ὡς ἄφεσιν ἁμαρτιῶν ἔδωκε; Τότε δὲ ἔδωκεν, ὅτε τὴν νέαν ἐδίδου Διαθήκην. Τὴν δὲ νέαν Διαθήκην διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ, τοῦ Κυρίου ἡμῶν, καὶ δέδωκε καὶ ἐβεβαίωσεν, ὡς προαποδέδεικται. *Ὅπου δὲ ἄφεσις τούτων.*] Τῶν ἁμαρτιῶν δηλονότι. Οὐκέτι *προσφορὰ περὶ ἁμαρτίας.*] Εἰ γὰρ ἐδόθη ἄφεσις ἁμαρτιῶν διὰ τῆς μιᾶς θυσίας, τίς λοιπὸν χρεία πολλῶν προσφορῶν, τῆς μιᾶς, ἣν Χριστὸς προσήγαγεν, ἰσχυσάσης περιελεῖν τὰς ἁμαρτίας; Ὥστε ἀποδέδεικται, ὅτι διὰ τῆς μιᾶς προσφορᾶς τοῦ Χριστοῦ ἐτελειώθημεν, ἄφεσιν ἁμαρτιῶν λαβόντες, καὶ οὐκέτι δεόμεθα ἑτέρας θυσίας. Περιτταὶ ἄρα αἱ ἰουδαϊκαὶ, καὶ κατὰ φιλονεικίαν τελούμεναι νῦν, παρ' ὧν τελοῦνται, πάλαι ἀχρηστίαν καταγνωσθεῖσαι.

19 Ἔχοντες οὖν, ἀδελφοὶ, παρρησίαν εἰς τὴν εἴσοδον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

20 τῶν ἁγίων ἐν τῷ αἵματι Ἰησοῦ, ἣν ἐνεκαίνισεν
ἡμῖν, ὁδὸν πρόσφατον καὶ ζῶσαν, διὰ τοῦ καταπε-
21 τάσματος, (τοῦτ' ἔστι τῆς σαρκὸς αὐτοῦ,) καὶ ἱε-
22 ρέα μέγαν ἐπὶ τὸν οἶκον τοῦ θεοῦ, προσερχώμεθα
μετὰ ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως,
ἐῤῥαντισμένοι τὰς καρδίας ἀπὸ συνειδήσεως πονη-
23 ρᾶς· καὶ λελουμένοι τὸ σῶμα ὕδατι καθαρῷ, κα-
τέχωμεν τὴν ὁμολογίαν τῆς ἐλπίδος ἀκλινῆ· πι-
στὸς γὰρ ὁ ἐπαγγειλλάμενος·

Ἐπειδὴ ἀπέδειξε τὴν ὑπεροχὴν τοῦ ἀρχιερέως ἡμῶν πρὸς τοὺς παλαιοὺς, καὶ πολὺ τὸ μέσον τῆς νέας Διαθήκης ὡς πρὸς τὴν Παλαιὰν, καὶ τὴν ὑπεροχὴν τῆς τοῦ Χριστοῦ προσφορᾶς πρὸς τὰς νομικὰς θυσίας· καὶ ὅτι δι' αὐτῆς ἀπηλλάγημεν τῶν ἁμαρτιῶν, ἀναπαύει μὲν τὸν δογματικὸν λόγον, διδοὺς ἀναπνεῦσαι τῷ ἀκροατῇ· μεταβαίνει δὲ εἰς τὸν περὶ βίου λόγον εὐκαιρότατα. Προσεχῶς γὰρ μνησθεὶς τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, λοιπὸν παραινεῖ, ὥστε μηκέτι τοῖς αὐτοῖς περιπεσεῖν. *Ἔχοντες οὖν παῤῥησίαν εἰς τὴν εἴσοδον.*] Ἔχοντες οὖν, φησι, παῤῥησίαν ἐκ τοῦ ἀφεθῆναι ἡμῖν τὰ ἁμαρτήματα. Ὥσπερ γὰρ ἠσχυνόμεθα πρότερον ἁμαρτιῶν γέμοντες· οὕτω νῦν ἔχομεν παῤῥησίαν εἰσιέναι εἰς τὸν οὐρανὸν, διὰ τὴν δωρηθεῖσαν ἡμῖν ἄφεσιν. *Εἴσοδον γὰρ τῶν ἁγίων*, τὸν οὐρανόν φησι, καὶ τὴν πρόοδον τὴν εἰς τὰ πνευματικά. *Ἐν τῷ αἵματι Ἰησοῦ.*] Τουτέστι, διὰ τοῦ αἵματος. Διὰ γὰρ τοῦ σταυροῦ καὶ τοῦ αἵματος τοῦ Χριστοῦ τὴν ἄφεσιν ἔχομεν καὶ τὴν παῤῥησίαν. *Ἣν ἐνεκαίνισεν ἡμῖν.*] Ἣν εἴσοδον τῶν ἁγίων, καὶ ὁδὸν ἀπάγουσαν εἰς αὐτὴν, νῦν νεωστὶ ἔτεμε· τοῦτο γὰρ τὸ, *ἐνεκαίνισε*· αὐτὸς ταύτης ἀρξάμενος, καὶ αὐτὸς ταύτην βαδίσας πρῶτος. *Πρόσφατον* δὲ, ἀντὶ τοῦ, νέαν, καὶ ἐπὶ τῶν ἡμετέρων ἀρξαμένην χρόνων. Καύχημα δὲ ἡμῖν τοῦτο, ὅτι ἐπὶ τῶν χρόνων, τῶν ἀμφὶ τὸν Ἀβραὰμ, οὐκ ἦν αὕτη ἡ ὁδὸς, ἀλλ' ἐφ' ἡμῶν. *Ζῶσαν* δὲ· διότι ἡ πρώτη ὁδὸς, ἐπὶ θάνατον ἦγε καὶ εἰς ἀπιστίαν· αὕτη δὲ, τοσοῦτον εἰς ζωὴν ὄντως φέ-

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ρει, ὅτι καὶ αὐτὴ ζῇ καὶ διαιωνίζει. *Πρόσφατον* δὲ εἰπών, ἵνα μή τις εἴπῃ· Οὐκοῦν, εἰ πρόσφατος, καὶ παυθήσεται· γηράσκουσα γὰρ καὶ παλαιουμένη καὶ αὕτη, ὥσπερ καὶ ἡ τῆς παλαιᾶς Διαθήκης, καταλυθήσεται. Οὐ μὲν οὖν, φησίν· ἀλλὰ πρόσφατος οὖσα, ἀεὶ νεάζουσα καὶ ζῶσα ἔσται, οὐδέποτε ἐπιδεχομένη θάνατον καὶ κατάλυσιν (1). *Διὰ τοῦ καταπετάσματος, τοῦτ' ἔστι τῆς σαρκὸς αὐτοῦ.*] Ἐνεκαίνισεν ἡμῖν τὴν ὁδὸν ταύτην, τὴν εἰς οὐρανὸν φέρουσαν, *διὰ τῆς σαρκὸς αὐτοῦ*· αὕτη γὰρ πρώτη ἐβάδισεν αὐτήν. Καλῶς δὲ τὴν τοῦ Χριστοῦ σάρκα, *καταπέτασμα*, καλεῖ. Ὅτε γὰρ ἐπήρθη αὕτη εἰς ὕψος, τουτέστιν, ἐν τῷ σταυρῷ, καὶ ἀνελήφθη, τότε ἐφάνη ἡμῖν τὰ ἐν οὐρανοῖς· ὅπερ οἰκεῖον καταπετάσματος· ἢ ὅτι ἔκρυπτεν ἐν ἑαυτῇ τὴν θεότητα· καὶ τοῦτο γὰρ ἴδιον καταπετάσματος (2). *Καὶ ἱερέα μέγαν.*] Ἐννοεῖται τὸ, ἔχοντες, ἀπὸ κοινοῦ· *ἱερέα* δέ φησι τὸν Κύριον. *Ἐπὶ τὸν οἶκον τοῦ θεοῦ.*] *Οἶκον θεοῦ*, ἡμᾶς τοὺς πιστοὺς λέγει, κατὰ τό· *Ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω* (α). Ἢ, ὅπερ οἶμαι μᾶλλον, τὸν οὐρανόν· ἐκεῖνον γὰρ καὶ ἅγια καλεῖ, καὶ ἐν ἐκείνῳ λειτουργεῖν τὸν ἀρχιερέα λέγει, ὑπὲρ ἡμῶν ἐντυγχάνοντα. *Προσερχώμεθα μετὰ ἀληθινῆς καρδίας.*] Τῇ πίστει τοῦ Χριστοῦ μετὰ ἀληθείας, μηδὲν νόθον ἢ ὕπουλον ἔχοντες. *Ἐν πληροφορίᾳ πίστεως.*] Ἐπειδὴ γὰρ λοιπὸν οὐκ ἔστιν ὁρατὸν οὐδέν, οὔτε ὁ

---

(1) « Ἅγια, τὸν οὐρανὸν κέκληκεν· οὕτω γὰρ ἐν τοῖς ἔμπροσθεν εἴρηκεν· Οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθεν ὁ Χριστὸς, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανὸν (Κεφ. Θ', 24). Ὁδὸν δὲ τούτων, τὴν ἀρίστην πολιτείαν, καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν. Ἐγκαινισμὸν δὲ ὁδοῦ, τὸ πρῶτον διὰ τούτων ὁδεῦσαι· πρῶτος δὲ ὁ Δεσπότης ἐκ νεκρῶν ἀναστὰς, εἰς οὐρανοὺς ἀνελήλυθε. Διὰ τοῦτο καὶ πρόσφατον καὶ ζῶσαν ἐκάλεσε τὴν ὁδὸν· πρόσφατον μὲν, ὡς τότε πρῶτον φανεῖσαν· ζῶσαν δὲ, ὡς τοῦ θανάτου πεπαυμένου· τοὺς γὰρ τῆς ἀναστάσεως τετυχηκότας, ἀδύνατον πάλιν θανάτῳ περιπεσεῖν. » Θεοδώρητος.

(2) « Καταπέτασμα, τὴν δεσποτικὴν ὠνόμασε σάρκα· διὰ ταύτης γὰρ ἀπολαύομεν τῆς εἰς τὰ ἅγια τῶν ἁγίων εἰσόδου. Ὥσπερ γὰρ ὁ κατὰ νόμον ἀρχιερεὺς διὰ τοῦ καταπετάσματος εἰς τὰ ἅγια τῶν ἁγίων εἰσῄει, ἑτέρως δὲ αὐτὸν εἰσελθεῖν ἀδύνατον ἦν· οὕτως οἱ εἰς τὸν Κύριον πεπιστευκότες, διὰ τῆς τοῦ πανάγιου σώματος μεταλήψεως τῆς ἐν οὐρανοῖς ἀπολαύουσι πολιτείας. » Θεοδώρητος.

(α) Λευίτ. Κϛ', 12. Β' Κορ. ϛ', 16.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ναὸς, τουτέστιν, ὁ οὐρανὸς, οὔτε ὁ ἀρχιερεὺς, τουτέστιν, ὁ Χριστὸς, οὔτε ἡ θυσία, τουτέστι, τὸ σῶμα αὐτοῦ, χρεία λοιπὸν πίστεως. Καὶ ἐπειδὴ ἕνι καὶ πιστεύειν καὶ διστάζειν, φησὶν, *ἐν πληροφορίᾳ πίστεως*, τουτέστιν, ἵνα πεπληροφορημένοι ἐσμὲν περὶ τούτων. *Ἐῤῥαντισμένοι τὰς καρδίας.*] Εἰπὼν περὶ πίστεως· δείκνυσιν, ὅτι οὐ πίστεως μόνης χρεία, ἀλλὰ καὶ ὀρθοῦ βίου. Οἱ Ἰουδαῖοι μὲν οὖν ἐῤῥαντίζοντο τὰ σώματα αὐτῶν, ἡμεῖς δὲ ῥαντίσωμεν καὶ ἀποκαθάρωμεν τὰς καρδίας ἡμῶν, εἰς τὸ μηδὲν ἡμᾶς ἑαυτοῖς συνειδέναι πονηρόν. *Καὶ λελουμένοι τὸ σῶμα ὕδατι καθαρῷ.*] Τουτέστι, τῷ τοῦ βαπτίσματος. Ἰουδαῖοι μὲν γὰρ λουόμενοι, τὸ σῶμα μόνον ἐκάθαιρον· ἡμεῖς δὲ ψυχὴν καθαίρομεν τῷ βαπτίσματι. *Καθαρὸν* γάρ ἐστι τὸ παρ' ἡμῖν ὕδωρ, τουτέστι, καθαροποιόν. *Κατέχωμεν τὴν ὁμολογίαν.*] Κατέχωμέν, φησι, τὴν περὶ τῆς ἐλπίδος ταύτης ὁμολογίαν βεβαίαν καὶ ἀσάλευτον. Ποίας δὲ ἐλπίδος; Τοῦ ἐλπίζειν διὰ τοῦ αἵματος τοῦ Χριστοῦ τὴν εἰς οὐρανοὺς εἴσοδον· τοῦ ἀφεῖσθαι ἡμῖν δι' αὐτοῦ τὰς ἁμαρτίας· τοῦ ἀξιωθήσεσθαι υἱοθεσίας δι' αὐτοῦ. *Πιστὸς γὰρ*, τουτέστιν, ἀληθὴς, *ὁ ἐπαγγειλάμενος.* Τί δὲ ἐπηγγείλατο; Τὸ εἰσελθεῖν ἡμᾶς εἰς τὴν βασιλείαν αὐτοῦ. *Θέλω* γάρ, φησιν, *ἵνα, ὅπου εἰμὶ ἐγὼ, καὶ οὗτοι ὦσι μετ' ἐμοῦ* (α)· τὸ γὰρ, *οὗτοι*, διὰ τοὺς πιστοὺς εἶπεν.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Προτροπὴ σπουδῆς κατὰ φόβον τῆς ἐγγιζούσης κρίσεως.

24 Καὶ κατανοῶμεν ἀλλήλους εἰς παροξυσμὸν ἀγάπης
25 καὶ καλῶν ἔργων· μὴ ἐγκαταλείποντες τὴν ἐπι-

(α) Ἰωαν. ΙΖ', 24.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

συναγωγὴν ἑαυτῶν, καθὼς ἔθος τισίν, ἀλλὰ παρακαλοῦντες· καὶ τοσούτῳ μᾶλλον, ὅσῳ βλέπετε ἐγγίζουσαν τὴν ἡμέραν.

Καὶ καταροῶμεν ἀλλήλους.] Τὸ τέλειον προστίθησι τῆς ἀγάπης. Κατανοῶμεν γάρ, φησιν, ἀλλήλους, ὅτι ἀδελφοί ἐσμεν, ὅτι ποίμνη μία ποιμένος ἑνός· τοῦτο γὰρ αὐξήσει τὴν εἰς ἀλλήλους ἀγάπην. Ἢ, *Κατανοῶμεν ἀλλήλους*· τουτέστιν, ἐπισκοπῶμεν, εἴ τις ἐνάρετος, ἵνα τοῦτον ζηλῶμεν· οὐχ ἵνα φθονῶμεν, ἀλλ᾽ ἵνα παροξυνώμεθα μᾶλλον εἰς τὸ τὰ αὐτὰ ἐκείνῳ καλὰ ἔργα ποιεῖν. Ἢ, περὶ ἐκεῖνα ἀλλήλους κατανοῶμεν, ὧν ἡ πολυπραγμοσύνη καὶ ἔρευνα καὶ κατανόησις εἰς ἀγάπην ἀκονᾷ καὶ παραθήγει· τοῦτο δὲ ποιοῦσιν, οἱ φαῦλον μὲν περὶ ἀλλήλων μηδὲν ἀνεχόμενοι, πάντα δὲ εἰς τὸ ἀγαθὸν καὶ ἄμεινον ἐκλαμβάνοντες, καὶ ἃ δοκεῖ εἶναι ἐλαττώματα. *Εἰς παροξυσμὸν ἀγάπης.*] Εἰς τὸ παροξύναι καὶ αὐξῆσαι τὴν εἰς ἀλλήλους ἀγάπην. Ὥσπερ γὰρ σίδηρος σίδηρον ὀξύνει, οὕτω καὶ ψυχὴ πρὸς ψυχὴν ὁμιλοῦσα, παροξύνει αὐτὴν εἰς τὰ αὐτά, πλὴν ἐν ἀγάπῃ. *Καὶ καλῶν ἔργων.*] Καὶ ἵνα παροξυνθῶμεν εἰς τὸ ζηλοῦν τοὺς ἐν ἀγαθοῖς ἔργοις. *Μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν.*] Οἶδεν, ὅτι τὸ ἀεὶ συνέρχεσθαι ἐπὶ τὸ αὐτὸ, ἀγάπης ἐστὶ γεννητικόν· διὸ τὸν χωρισμὸν ἀπαγορεύει. Ἔργον γὰρ τῆς ἀγάπης, οὐχ ἡ διαίρεσις, ἀλλ᾽ ἡ ἀκριβὴς ἕνωσις. Ἐπισυναγωγὴν γὰρ, τὴν συμφωνίαν ἐκάλεσε· αἰνίττεται δέ τινας ὡς ταύτην διασπᾶσαι τετολμηκότας. *Ἀλλὰ παρακαλοῦντες.*] Τίνα; *Τὴν ἐπισυναγωγὴν ἑαυτῶν*, τουτέστιν, ἀλλήλους· ἀπὸ κοινοῦ γὰρ, *τὴν ἐπισυναγωγὴν ἑαυτῶν*, ληπτέον. Παράκλησις δὲ ἐπισυναγωγῆς, τὸ προθύμως καὶ διὰ μακροῦ τοῦ χρόνου ἐπισυνάπτεσθαι ἑαυτοῖς. *Καὶ τοσούτῳ μᾶλλον ὅσῳ βλέπετε ἐγγίζουσαν τὴν ἡμέραν.*] Καὶ τοσούτῳ μᾶλλον δεῖ ἡμῖν ἀγάπης καὶ καλῶν ἔργων ἀντιποιεῖσθαι, ὅσῳ μᾶλλον πλησιάζει ἡ ἡμέρα τῆς κρίσεως. Τοῦτο δὲ καὶ παραμυθία ἦ

Δημόσιο Κεντρικό Βιβλιοθήκη Βέροιας

αὐτοῖς, ἀπειρηκόσι πρὸς τοὺς πειρασμούς, ὡς καὶ ἀλλαχοῦ φησιν· Ὁ *Κύριος ἐγγύς· μηδὲν μεριμνᾶτε* (α).

26 Ἑκουσίως γὰρ ἁμαρτανόντων ἡμῶν μετὰ τὸ λαβεῖν
τὴν ἐπίγνωσιν τῆς ἀληθείας, οὐκέτι περὶ ἁμαρτιῶν
27 ἀπολείπεται θυσία· φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως,
καὶ πυρὸς ζῆλος, ἐσθίειν μέλλοντος τοὺς ὑπεναν-
28 τίους. Ἀθετήσας τις νόμον Μωϋσέως, χωρὶς οἰκτιρ-
μῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει (β)·
29 πόσῳ, δοκεῖτε, χείρονος ἀξιωθήσεται τιμωρίας ὁ
τὸν υἱὸν τοῦ θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς
διαθήκης κοινὸν ἡγησάμενος, ἐν ᾧ ἡγιάσθη, καὶ
30 τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας; Οἴδαμεν γὰρ
τὸν εἰπόντα· « Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω,
λέγει Κύριος· » καὶ πάλιν· « Κύριος κρινεῖ τὸν λαὸν
31 αὐτοῦ (γ). » Φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ
ζῶντος.

Ἑκουσίως γὰρ ἁμαρτανόντων ἡμῶν.] Προετρέψατο ἀπὸ τῶν χρηστοτέρων, ὅτι παῤῥησίαν ἔχομεν, ὅτι ἀφέσεως ἠξιώθημεν· νῦν καὶ ἀπὸ τῶν σκυθρωποτέρων τροβεῖ. Ὅρα δέ, πῶς ἐστι συγγνωμονικός! Ἑκουσίως γὰρ ἁμαρτανόντων, φησίν· ὡς τάχα ἀκούσια, ἐλαφροτέραν ἔχει τὴν τιμωρίαν. Σημείωσαι δέ, ὅτι οὐκ εἶπεν, ἁμαρτησάντων, ἀλλὰ τῷ παρατατικῷ ἐχρήσατο, δεῖξαι θέλων τὸ ἄχρι τελευτῆς ἐπιμένειν τῇ ἁμαρτίᾳ· ὡς ἐάν γε μὴ ἐπιμένωμεν, ἀλλὰ μετάνοιαν ἐνδειξώμεθα, ἔσται συγγνώμη. Ἔνθεν οὖν μάλιστα δῆλον, ὅτι οὐκ ἀναιρεῖ τὴν μετάνοιαν. *Μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας.*] Τουτέστι, τὴν περὶ Χριστοῦ πίστιν. *Οὐκέτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία.*] Εἰς τὸ ἐξαλεῖψαι τὰς ἁμαρτίας. Ἦσαν γὰρ παρὰ Ἰουδαίοις προσφερόμεναι θυσίαι ὑπὲρ ἀφέσεως αὐτῶν, μὴ ὅτι καὶ ἐκεῖναι ὑπὲρ ἀκουσίων (ι). Οὐκ ἀναιρεῖ τὴν μετάνοιαν ταῦτα λέγων, μὴ γένοιτο! ἀλλὰ δείκνυσιν, ὅτι οὐκ ἔστι

(α) Φιλιπ. Δ', 5. (β) Δευτερ. ΙΖ', 6.
(γ) Δευτερ. ΛΒ', 35. 36. Ψαλμ. ΡΛΔ', 14. (ι) Λευϊτ. Κεφ. Δ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δεύτερον βάπτισμα· διὸ οὐδὲ δεύτερος θάνατος τοῦ Χριστοῦ. *Θυσίαν* γὰρ ἐνταῦθα τοῦτον καλεῖ, καθὼς καὶ ἐν τοῖς κατόπιν. Μιᾷ γὰρ θυσίᾳ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους (α). Τὸ γὰρ βάπτισμα ἡμῶν, τὸν θάνατον εἰκονίζει τοῦ Χριστοῦ. Ὥσπερ οὖν ἐκεῖνος εἷς, οὕτω καὶ τοῦτο ἕν. *Καὶ πυρὸς ζῆλος.*] Ὥσπερ γὰρ ὑπὸ ζήλου τινὸς κεντούμενον ἐκεῖνο τὸ πῦρ, δαπανᾷ καὶ κατεσθίει τοὺς ἐμβληθέντας (1). *Ὑπεναντίους* δὲ λέγει, οὐ μόνον τοὺς ἀπίστους, ἀλλὰ καὶ τοὺς ἄντικρυς τῶν παραγγελμάτων τοῦ Χριστοῦ πράττοντας πιστούς. *Ἀθετήσας τις νόμον Μωϋσέως.*] Ἀπὸ τοῦ ἐλάττονος ἡ σύγκρισις. Βούλεται γὰρ δεῖξαι τὴν τοῦ πυρὸς καῦσιν δικαίως γενησομένην κατὰ τῶν ὑπεναντίων. *Νόμον* δὲ *Μωϋσέως* λέγει, διὰ τὸ τὰ πολλὰ τῶν ἐν τῷ νόμῳ αὐτὸν διατεταχέναι. *Ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν.*] Ἡ σύνταξις· *Ἀθετήσας τις νόμον Μωσέως ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσι, χωρὶς οἰκτιρμῶν ἀποθνήσκει*· τουτέστιν, ἐὰν ὁμολογηθῇ ἀπὸ δύο ἢ τριῶν μαρτύρων ὅτι παρέβη νόμον. Ἐὰν γὰρ δύο ἢ τρεῖς ἐμαρτύρησαν, οὐκέτ' ἦν οἰκτιρμὸς ἢ συγγνώμη, ἀλλ' ἀπέθνησκεν. *Πόσῳ, δοκεῖτε, χείρονος ἀξιωθήσεται τιμωρίας;*] Εἰ οὖν ἀνθρώπου τις νόμον, τουτέστι, Μωϋσέως νόμον, παραβὰς, ἀσυγγνώστως μετὰ τὴν μαρτυρίαν ἀποθνήσκει, τί δοκεῖτε δεῖν ὑπομένειν τοὺς τοῦ Χριστοῦ τοὺς νόμους καταπατήσαντας; *Ὁ τὸν υἱὸν τοῦ θεοῦ καταπατήσας.*] Πῶς δέ τις καταπατεῖ τὸν υἱὸν τοῦ θεοῦ; Ὅταν, αὐτοῦ παρακούῃ, ὅταν, αὐτοῦ μεταλαμβάνων, ἁμαρτίας ἐργάζηται· τοῦτο γὰρ τὸ, *καταπατῆσαι*, τὸ, *καταφρονῆσαι*. *Καὶ τὸ αἷμα τῆς διαθήκης.*] *Αἷμα διαθήκης*, τὸ αἷμα τοῦ Χριστοῦ φησι· δι' αὐτοῦ γὰρ τὴν νέαν εἰλήφαμεν Διαθήκην. *Κοινὸν ἡγησάμενος.*] Κοινὸν

(α) Ἑβρ. Ι', 14.

(1) « Ὅρα πῶς οἷον ἐψύχωσε τὸ πῦρ! Καθάπερ γὰρ θηρίον παρεξυνόμενον, παύεται, ἕως οὗ λάβῃ τινὰ, καὶ καταφαγὸν κορέσῃ τὸν θυμόν· οὕτω κἀκεῖνο τὸ πῦρ, ζήλου ὑπὲρ τῶν τοῦ θεοῦ ἐντολῶν τῶν παραβαθεισῶν, καὶ ἀγριαῖνον ὑπὲρ ἐκείνων, ὃν ἂν συλλάβῃ, τοῦτον καταβιβρώσκει ἀεί. Οὐ γὰρ εἶπε, φαγεῖν μέλλον, ἀλλ', ἐσθίειν, ἀϊδίως δηλαδή. » Θεοφύλακτος.

μηδὲν πλέον τῶν ἄλλων διαφέρον, οἷον λέγουσιν οἱ φάσκοντες τὸν Χριστὸν ψιλὸν εἶναι ἄνθρωπον. Οὗτοι γὰρ καὶ τὸ αἷμα αὐτοῦ κοινὸν ἡγοῦνται· τουτέστι, μηδὲν τοῦ ἡμετέρου διαλλάττον εἰς τιμὴν λέγουσιν αὐτό. Εἶτα τὸ ἀχάριστον αὐτῶν δεικνύς, φησιν, *ἐν ᾧ ἡγιάσθη.* Ἔδει γάρ, φησι, τὸν ἁγιασμὸν δυσωπηθῆναι, οὗ ἠξιώθη ἐν τῷ αἵματι. *Καὶ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας.*] Ὁ γὰρ τὴν δεδομένην εὐεργεσίαν μὴ δεχόμενος, ὕβρισε τὸν παρέχοντα. Ἐποίησέ σε υἱὸν θεοῦ, σὺ δὲ βούλει εἶναι δοῦλος παθῶν; Ἦλθεν ἐνοικῆσαι ἐν σοί, σὺ δὲ ἐπεισάγεις σαυτῷ τὸν διάβολον; Ἆρα ταῦτα οὐχ ὕβρις κατὰ τοῦ Πνεύματος; *Οἴδαμεν γὰρ τὸν εἰπόντα.*] Καὶ ὅτι ταῦτα ἀληθῆ, φησιν, αὐτὸς ὁ θεὸς μαρτυρεῖ, λέγων· *Ἐμοὶ ἐκδίκησις·* τουτέστι, παρ' ἐμοὶ τὸ ἐκδικεῖν· *ἐγὼ ἀνταποδώσω, λέγει Κύριος.* Ῥῆμα δὲ τοῦτο εἰπών, καὶ παραμυθεῖται αὐτοὺς μικροψυχοῦντας ἐφ' οἷς ἔπασχον κακοῖς ὑπὸ τῶν ἰδίων συμφυλετῶν (α)· ὡσεὶ ἔλεγε· Τί ἀδημονεῖτε; Ἔχετε τὸν ἐκδικοῦντα καὶ ἀνταποδιδόντα, ὅστις ἀεὶ ζῇ, καὶ οὐκ ἐκφεύξονται αὐτὸν πάντως οἱ ἐπηρεάζοντες ὑμᾶς. Ὑμεῖς μὲν εἰς τὰς ἐκείνων χεῖρας ἐνεπέσατε, θνητῶν ἀνθρώπων· ἐκεῖνοι δὲ, εἰς τὰς τοῦ θεοῦ, τοῦ ἀεὶ ζῶντος, καὶ διὰ τοῦτο ἀναποδράστου. Φοβερὸν γὰρ τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ τοῦ καλὴν ἀρχὴν εἰς καλὸν τέλος προαγαγεῖν.

32 Ἀναμιμνήσκεσθε δὲ τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες, πολλὴν ἄθλησιν ὑπεμείνατε παθημά-
33 των· τοῦτο μὲν, ὀνειδισμοῖς τε καὶ θλίψεσι θεατρι-

. ζόμενοι· τοῦτο δὲ, κοινωνοὶ τῶν οὕτως ἀναστρε-
34 φομένων γενηθέντες. Καὶ γὰρ τοῖς δεσμοῖς μου
συνεπαθήσατε, καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων
ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε, γινώσκοντες ἔχειν
ἑαυτοῖς κρείττονα ὕπαρξιν ἐν οὐρανοῖς καὶ μένου-
35 σαν. Μὴ ἀποβάλητε οὖν τὴν παῤῥησίαν ὑμῶν, ἥτις
36 ἔχει μισθαποδοσίαν μεγάλην· ὑπομονῆς γὰρ ἔχε-
τε χρείαν· ἵνα, τὸ θέλημα τοῦ θεοῦ ποιήσαντες,
κομίσησθε τὴν ἐπαγγελίαν.

Ἀναμιμνήσκεσθε δὲ τὰς πρότερον ἡμέρας.] Ἰδοὺ, ἐκδηλότερον αὐτοῖς διαλέγεται, προτρεπόμενος, μὴ ἐκστῆναι τῆς ὑπομονῆς. Φησὶν οὖν· Μὴ ἄλλους τινὰς μιμήσασθε, ἀλλ' αὐτοὶ ἑαυτούς. Παρὰ τὴν ἀρχὴν γὰρ τῆς πίστεως ὑμῶν ἠγωνίσασθε· τοῦτον ἐν νῷ ἔχετε τὸν ἀγῶνα· μὴ διὰ ῥᾳθυμίαν ἀπολέσητε τὰ προηγωνισμένα. Ὅρα δὲ εὐφυΐαν! Κατασείσας αὐτῶν πρότερον τὰς ψυχὰς τῇ μνήμῃ τοῦ πυρὸς ἐκείνου, νῦν μαλάττει δι' ἐγκωμίων, οὐ κολακεύων, ἀλλὰ δι' αὐτῶν τούτων προτρεπόμενος αὐτούς. Ἀξιοπιστότερος γὰρ ὁ συμβουλεύων τινὶ, ἑαυτὸν μιμήσασθαι, καὶ ἃ προειργήσατο ἔργα. Ἐν αἷς φωτισθέντες.] Ἡ περὶ τοῦ βαπτίσματός φησι τὸ, φωτισθέντες, ἢ περὶ τῆς ἐπιγνώσεως ἁπλῶς τοῦ μυστηρίου, καὶ τῶν διαδεξαμένων τοὺς πιστοὺς ἀγαθῶν. Φωτισθέντες γὰρ τὴν γνῶσιν τῶν μελλόντων ἀγαθῶν, *πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων*. Οὐκ εἶπε, πειρασμούς, ἀλλ', *ἄθλησιν*, (ὃ γενναιότητος καὶ καρτερίας ἐνδεικτικὸν), καὶ ταύτην πολλήν. *Τοῦτο μὲν, ὀνειδισμοῖς*.] Ὅρα ἐγκώμιον! Γενναίας γὰρ τῳόντι δεῖται ψυχῆς τὸ ἐνεγκεῖν ὀνειδισμοὺς καὶ ὕβρεις, εἰ καὶ κατ' ἰδίαν γίνωνται· ἐπειδὰν δὲ φανερῶς καὶ ἐπὶ πάντων· (τοῦτο γὰρ τὸ, *θεατριζόμενοι*·) γενναιοτέρας χρῄζει. Ἐννόησον δὲ, πῶς ἦσαν μεγάλοι οὗτοι, καταφρονήσαντες μὲν διὰ Χριστὸν καὶ δόξης καὶ πλούτου· ὑῤῥιζόμενοι δὲ καὶ θεατριζόμενοι, τουτέστιν, ὥσπερ ἐπὶ θέατρον παραδειγματιζόμενοι, καὶ ταῦτα, τυχὸν, παρ' εὐτελῶν τινων καὶ οὐδαμινῶν, καὶ ἀνεχόμενοι. *Τοῦτο δὲ, κοινωνοί*.] Οὐ μό-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νον, φησὶ, τὰς εἰς ὑμᾶς ὕβρεις γενναίως ἠνέγκατε, ἀλλὰ καὶ κοινωνοὶ ἐγένεσθε τῶν ὑβριζομένων, τουτέστι, τῶν ἀποστόλων, *τῶν οὕτως ἀναστρεφομένων*, τουτέστιν, ἐν ὀνειδισμοῖς καὶ θλίψεσι. *Καὶ γὰρ τοῖς δεσμοῖς μου συνεπαθήσατε.*] Οὐ μόνον, φησὶν, ὑμεῖς οὐκ ἐδεήθητε παρακλήσεως, ἀλλὰ καὶ ἄλλοις δεδεμένοις χεῖρας ὠρέγετε. *Καὶ γὰρ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε.*] Μέγα μὲν καὶ τὸ ἐνεγκεῖν τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων· (διότι γὰρ ἐπιστεύσατε, διὰ τοῦτο διηρπάγητε· ἐξῆν γὰρ πάντως ἡμῖν μὴ πιστεῦσαι·) τὸ δὲ καὶ *μετὰ χαρᾶς*, ἀποστολικόν. Τὸ δὲ, *προσεδέξασθε*, τὴν ἑκούσιον αὐτῶν ὑπομονὴν δηλοῖ, καὶ ὅτι εἵλοντο ἀσμένως. *Γινώσκοντες ἔχειν.*] Ἰδοὺ καὶ πίστιν αὐτοῖς μαρτυρεῖ. Καὶ τοῦτό, φησιν, ἐποιεῖτε μετὰ κρίσεως καὶ λογισμοῦ καὶ πίστεως. Ἐγινώσκετε γὰρ, ὅτι ἔχετε *κρείττονα ὕπαρξιν ἐν οὐρανοῖς, καὶ μένουσαν*, τουτέστι, βεβαίαν, οὐχ ὡς τὴν ἐνταῦθα, τὴν ἀπολλυμένην, καὶ διαρπαζομένην, καὶ μεταβαίνουσαν ἀπ' ἄλλων εἰς ἄλλους. *Μὴ ἀποβάλητε οὖν τὴν παῤῥησίαν ὑμῶν.*] Ἐν τῷ εἰπεῖν, *Μὴ ἀποβάλητε*, δείκνυσιν ἔτι αὐτοὺς ἐχομένους τῶν αὐτῶν (1). *Παῤῥησίαν* δὲ εἶπε, διότι οἱ τὰ τοιαῦτα μεθ' ὑπομονῆς ἐνεγκόντες διὰ τὸν θεὸν, μεγάλην ἔχουσι παῤῥησίαν.—*Μὴ ἀποβάλητε οὖν τὴν παῤῥησίαν ὑμῶν*, τὴν ἀπὸ τῶν ἔργων ὑμῶν, τὴν ἀπὸ τῆς πίστεως, τὴν ἀπὸ τῶν πειρασμῶν, τὴν ἀπὸ τῆς ὑπομονῆς· ταῦτα γάρ ἐστι τὰ μεγάλα τὰ χαριζόμενα ἡμῖν τὴν παῤῥησίαν, ὅτι πεπιστεύκαμεν τῇ ἐπαγγελίᾳ.—*Ἥτις ἔχει μισθαποδοσίαν.*] Καὶ πόθεν τοῦτο δῆλον; Ὑμεῖς, φησὶ, μάρτυρες, οἳ ἐπέγνωτε κρείττονα ἔχειν ὕπαρξιν ἐν οὐρανῷ καὶ μένουσαν. *Ὑπομονῆς γὰρ ἔχετε χρείαν.*] Οὐχὶ ἄλλου τινὸς προσθήκην, ἀλλ' ὑπομονὴν μόνον ζητῶ, ἵνα τοῖς αὐτοῖς ἐπιμείνητε. *Ἵνα, τὸ θέλημα τοῦ θεοῦ ποιήσαντες, κομίσησθε τὴν ἐπαγγελίαν.*] *Θέλημα τοῦ θεοῦ*, τὸ ἄχρι τέλους ἐπιμεῖναι τοῖς αὐτοῖς, καὶ

(1) « Δείκνυσιν, ὅτι οὔπω ἐκπεπτώκασι, δέονται μέντοι καὶ βεβαιώσεως καὶ ἀπαλισμοῦ. » Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑπομεῖναι τὴν ἀναβολὴν τῆς ἀνταποδόσεως καὶ τῆς ἐπαγγελίας. Ὁ ὑπομείνας γάρ, φησιν, εἰς τέλος, οὗτος σωθήσεται (α). Παραινεῖ δὲ ταῦτα τούτοις ὁ ἀπόστολος, ὥσπερ ἄν εἴτις ὁρῶν ἀθλητὴν, πάντας μὲν καταγωνισάμενον τοὺς ἀνταγωνιστὰς, εἶτα μὴ μένοντα τοὺς στεφανώσοντας βραδύνοντας, ἀλλὰ βουλόμενον ἀποδράναι διὰ τὸ μηκέτι φέρειν τὸ δίψος καὶ τὸν φλογμὸν, λέγει πρὸς αὐτόν· Πάντα κατώρθωσας· μικρὸν ἀνάμεινον, καὶ κομίσῃ τοὺς στεφάνους· ἀνταγώνισαι καὶ πρὸς τὴν ἀναβολὴν τῶν στεφάνων· νίκησον καὶ ταύτην τῇ ὑπομονῇ.—*Θέλημα τοῦ θεοῦ*, τὸ πιστεύειν εἰλικρινῶς εἰς αὐτὸν, καὶ πράττειν τὰς ἀρετὰς, καὶ ἔτι τὸ ὑπὲρ αὐτῶν, καιροῦ καλοῦντος, μέχρις αἵματος ἀγωνίζεσθαι· οἱ γὰρ τοιοῦτοι κομίζονται τὴν ἐπαγγελίαν (Φωτίου).

37 « Ἔτι γὰρ μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει, καὶ
38 οὐ χρονιεῖ. Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται· καὶ
ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν
39 αὐτῷ (β). » Ἡμεῖς δὲ οὐκ ἐσμὲν ὑποστολῆς, εἰς ἀπώλειαν, ἀλλὰ πίστεως, εἰς περιποίησιν ψυχῆς.

Καὶ πότε, φασὶν, ἔχομεν κομίσασθαι τὴν ἐπαγγελίαν; Μὴ ἀποκνήσητέ, φησιν· ἐγγύς ἐστιν ὁ παρέχων. *Ἔτι γὰρ μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ.* Εἰ δὲ καὶ ὁ Ἀββακοὺμ τότε ἔλεγε, *Μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει*, δῆλον, ὅτι νῦν ἐγγύτερός ἐστι. Τὸ δὲ, *ὅσον ὅσον*, τὸ πάνυ μικρὸν δηλοῖ. *Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται.*] Δεῖ οὖν πιστεύειν, ὅτι ἥξει· *ὁ γὰρ δίκαιος ἐκ πίστεως ζήσεται. Ἐὰν δὲ ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ.*] Ἐὰν δέ, φησι, ῥαθυμήσας ὑποσταλῇ, τουτέστιν, ἀμφιβολίαν τινὰ πάθῃ καὶ δισταγμόν· ἢ τὸ, *ὑποστείληται*, ἀντὶ τοῦ, ὑποταπεινωθῇ τοῖς πειρασμοῖς· *οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ*· τουτέστιν, οὐκ εὐαρεστεῖται, ἢ, οὐδὲν ἀγαθὸν βούλεται ἢ θέλει ἡ ψυχή μου.

(α) Ματθ. ι', 22. (β) Ἀββακ, β'. 3. 4.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὡς ἀπὸ τοῦ Χριστοῦ δέξαι τοῦτο ὅλον. Ἡμεῖς δὲ οὐκ ἐσμὲν ὑποστολῆς, εἰς ἀπώλειαν.] Ἐπειδὴ κατέπληξεν αὐτοὺς, εἰρηκώς· *Ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ·* διορθοῦται αὐτὸ, καί φησιν· Ἡμεῖς οὐκ ἐσμὲν τῆς ὑποστολῆς καὶ τῆς ῥαθυμίας, *ἅπερ εἰς ἀπώλειαν ἄγει, ἀλλὰ, πίστεως, εἰς περιποίησιν ψυχῆς·* τουτέστιν, ἀλλὰ τῆς πίστεως, εἰς τὸ περιποιῆσαι ἑαυτῶν τὰς ψυχὰς, καὶ σωθῆναι (1).

ΚΕΦΑΛΑΙΟΝ ΙΣ'.

Περὶ πίστεως τῆς καὶ τοὺς παλαιοὺς δοξασάσης.

ΚΕΦ· XI, 1 Ἔστι δὲ πίστις, ἐλπιζομένων ὑπόστασις,
2 πραγμάτων ἔλεγχος οὐ βλεπομένων. Ἐν ταύτῃ
3 γὰρ ἐμαρτυρήθησαν οἱ πρεσβύτεροι. Πίστει νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι θεοῦ, εἰς τὸ μὴ
4 ἐκ φαινομένων τὰ βλεπόμενα γεγονέναι. Πίστει πλείονα θυσίαν Ἄβελ παρὰ Κάϊν προσήνεγκε τῷ θεῷ, δι' ἧς ἐμαρτυρήθη εἶναι δίκαιος, μαρτυροῦντος ἐπὶ τοῖς δώροις αὐτοῦ τοῦ θεοῦ· καὶ δι' αὐτῆς ἀποθανὼν ἔτι λαλεῖται (1).

Ἔστι δὲ πίστις, ἐλπιζομένων ὑπόστασις.] Λοιπὸν ἐκφράζει, τί ἐστι πίστις, καί φησι· Πίστις ἐστὶν, αὐτὴ ἡ ὑπόστασις καὶ οὐσία τῶν ἐλπιζομένων πραγμάτων. Ἐπειδὴ γὰρ τὰ ἐν ἐλπίσιν, ἀνυπόστατά ἐστιν, ὡς τέως μὴ παρόντα, ἡ πίστις οὐσία τις αὐτῶν καὶ ὑπόστασις γίνεται, εἶναι αὐτὰ καὶ παρεῖναι τρόπον τινὰ παρασκευάζουσα διὰ τοῦ πιστεύειν εἶναι. *Πραγμάτων ἔλεγχος οὐ βλεπομένων.*] Ἔστι δὲ ἡ πίστις, ἔλεγχος καὶ ἀπό-

Αριθμός Κεντρική Βιβλιοθήκη Βέροιας

(1) « Ἡμεῖς οὐκ ἐσμὲν τῶν ἀπολλυμένων διὰ τὸ ὑποστέλλεσθαι καὶ ἀποῤῥαθυμεῖν ἢ διστάζειν· ἀλλὰ τῶν ἐν τῇ πίστει θεβαίων, ὥστε περιποιῆσαι τὰς ἑαυτῶν ψυχὰς, τουτέστι, κτήσασθαι, σῶσαι. Περιποίησις γὰρ ἡ

δειξις τῶν οὐ βλεπομένων. Ἀποδείκνυσι γὰρ ὁρατὰ τὰ ἀ
τα ἡ πίστις. Πῶς; τῷ νῷ καὶ ταῖς ἐλπίσιν ὁρῶσα τὰ μὴ
νόμενα (1). *Ἐν ταύτῃ γὰρ ἐμαρτυρήθησαν.*] Ἐν τῇ πί
ἐμαρτυρήθησαν ὑπὸ θεοῦ, εὐηρεστηκέναι αὐτῷ, *οἱ πρεσβύτε*
Ποῖοι δὲ οὗτοι; Περὶ ὧν μέλλει λέγειν (2). *Πίστει νοο*
κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι θεοῦ.] Ἐπειδὴ ἡ πίστις
βάλλεται παρὰ τοῖς μὴ νοοῦσι τὴν δύναμιν αὐτῆς, καὶ πρᾶ
ἀναπόδεικτον αὐτὴν λέγουσι, καὶ ἀπάτην πρόδηλον, δεικν
ὅτι τὰ μέγιστα διὰ πίστεως, καὶ οὐ διὰ λογισμῶν κα
θοῦται. Τίς γὰρ ἰσχύει λογισμὸς παραστῆσαι, ὅτι ὁ θεὸς
τὰ ὄντα ἐκ μὴ ὄντων ἐποίησεν; Οὐδείς· ἀλλ' ἡ πίστις
Πίστει οὖν νοοῦμεν *κατηρτίσθαι*, τουτέστι, γενέσθαι,
αἰῶνας ῥήματι θεοῦ. Διὰ τί, πίστει; *Εἰς τὸ μὴ ἐκ φαι
νων τὰ βλεπόμενα γεγονέναι*· διότι ἐκ μὴ φαινομένω
βλεπόμενα γέγονεν· ὃ πίστεως δεῖται (3). *Πλείονα θ
Ἄβελ.*] Ἐπειδὴ μέγα ἡ πίστις, καὶ γενναίας δεῖται ψ
οἱ δὲ Ἑβραῖοι πιστοὶ ἐξησθένησαν· καὶ κατ' ἀρχὴν μὲν
ἐνεδείξαντο, ὕστερον δὲ ἀπὸ τῆς συνεχείας τῶν θλίψεω
γοψύχουν, παρεκάλεσε μὲν αὐτοὺς ἀπὸ τῶν κατορθωθέντ
τοῖς, καὶ ἀπὸ τῆς Γραφῆς, εἰπών· *Ὅτι ὁ δίκαιος ἐκ πί
ζήσεται*· καὶ ἀπὸ λογισμῶν, εἰπών· *Ἔστι δὲ πίστις,
ζομένων ὑπόστασις*· νῦν δὲ ἀπὸ τῶν μεγάλων καὶ πα
ἀνδρῶν. Ὅταν γὰρ εὕρῃ ὁ ἄνθρωπος κοινωνοὺς παθῶν, ἀνα

(1) «Τὰ γὰρ οὐχ ὁρώμενα διὰ ταύτης ὁρῶμεν, καὶ πρὸς τὴν τῶν ἐ
νων ὑπεροψίαν ὀφθαλμὸς ἡμῖν γίνεται, καὶ δείκνυσιν ὡς ὑφεστῶτα τὰ μηδ
γενημένα. Τῶν νεκρῶν ἁπάντων ἐν τοῖς τάφοις ἔτι κειμένων, ἡ πίστις ἡ
ζωγραφεῖ τὴν ἀνάστασιν, καὶ τῆς κόνεως τῶν σωμάτων τὴν ἀθανασίαν
σευαζει φαντάζεσθαι.» Θεοδώρητος.

(2) «Οἱ πρεσβύτεροι, τουτέστιν, οἱ πάλαι γεγενημένοι, οἱ πρὸ τ
καὶ ἐν τῷ νόμῳ διαλάμψαντες ἄγιοι.» Θεοδώρητος.

(3) «Οὐ γὰρ ὁ τοῦ σ ατος ὀφθαλμὸς εἶδε δημιουργοῦντα τὸν τῶν ὅλ
ἀλλ' ἡ πίστις ἡμᾶς ἐξεπαίδευσεν, ὡς ὁ ἀεὶ ὢν θεὸς τὰ μὴ ὄντα πεποίη
του γὰρ οὐδέν ἐστι παρ' ἀνθρώπεις παράδειγμα· ἀλλ' ὅμως οὐδὲν τοιοῦτ
τῆς φύσεως διδασκόμενοι, τὴν πίστιν ἔχομεν τῶν παραδόξων διδάσκαλον.
των γὰρ δημιουργοῦσιν οἱ ἄνθρωποι· ὁ δὲ τῶν ὅλων θεὸς, ἐκ μὴ ὄντων
παρήγαγε.» Θεοδώρητος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ται καὶ ἀναπνεῖ. Παράγει οὖν τὸν Ἄβελ, καί φησιν, ὅτι *πίστει προσήνεγκε θυσίαν πλείονα*, τουτέστι, τιμιωτέραν παρὰ τὴν τοῦ ἀδελφοῦ. Τίνα γὰρ ἑώρακεν ἕτερον πρὸ αὐτοῦ; Τὸν πατέρα ἢ τὴν μητέρα; Καὶ μὴν προσέκρουσαν τῷ θεῷ. Ἀλλὰ τὸν ἀδελφόν; Καὶ οὗτος ἠτίμασε. Πίστει οὖν μόνῃ ὡδηγήθη εἰς τὸ προσενεγκεῖν ὧν εἶχε τὰ κρείττονα, πιστεύσας, ὅτι τὸν μισθὸν λήψεται. *Δι' ἧς ἐμαρτυρήθη εἶναι δίκαιος.*] Ὁ γὰρ πρὸς τὸν Κάϊν εἰρηκὼς θεός· *Οὐκ ἂν ὀρθῶς μὲν προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς* (α)· ἐμαρτύρησε τῷ Ἄβελ, ὅτι καὶ ὀρθῶς προσήνεγκε· καθὸ τῷ δόντι προσήνεγκεν, ἃ ἐξ ἐκείνου εἶχε· καὶ ὀρθῶς διεῖλε· καθὸ τὰ κρείττω, ὡς δεσπότῃ. Λέγεται δὲ καὶ πῦρ κατενηνέχθαι ἐπὶ τῇ ὁλοκαυτώσει αὐτοῦ ἀπὸ τοῦ οὐρανοῦ, καὶ *ἐκ τούτου* καὶ ὁ Κάϊν ἐπέγνω, ὅτι προετιμήθη ὁ Ἄβελ. *Καὶ δι' αὐτῆς ἀποθανὼν ἔτι λαλεῖται.*] *Καὶ δι' αὐτῆς*, ἤτοι, τῆς πίστεως, καίτοι ἀποθανών, *ἔτι λαλεῖται*, τουτέστιν, ἀείμνηστός ἐστιν. Οὐκ ἐᾷ γὰρ αὐτὸν ἡ πρᾶξις αὐτοῦ, ἡ ἐκ πίστεως, εἰς λήθην ἐλθεῖν (1). Ἢ, *δι' αὐτῆς*, τουτέστι, τῆς θυσίας· πρόφασις γὰρ αὐτῷ γέγονεν ἡ θυσία σφαγῆς.—ΑΛΛΩΣ. *Τὸ, δι' αὐτῆς ἀποθανὼν ἔτι λαλεῖται*, ἢ, ὅτι αὐτὴ ἡ θυσία κατέστη τῷ ἀδελφῷ εἰς βασκανίας πρόφασιν καὶ φθόνου, ὁ δὲ ἔτεκε τὸν φόνον· ἢ, ὅτι *δι' αὐτῆς λαλεῖται*, καίτοι ἀποθανών· αὕτη γὰρ γέγονεν αἰτία, τοῦ ἀείμνηστον καὶ ἀλάθητον εἶναι τὸν Ἄβελ. Ἢ, εἴτις ἀκριβέστερον ἐπισκοπήσοι ἀμφότερα, ἀπὸ κοινοῦ λαμβανομένου τοῦ, *δι' αὐτῆς*, οἷον κατά τε τοῦ, *ἀποθανὼν*, καὶ τοῦ, *λαλεῖται* (2).

(α) Γενεσ. Δ', 7.

(1) «Τὸ, ἔτι λαλεῖται, ἀντὶ τοῦ, ἀοίδιμός ἐστι μέχρι τοῦ παρόντος, καὶ πολυθρύλλητος, καὶ παρὰ πάντων εὐφημεῖται τῶν εὐσεβῶν.» Θεοδώρητος.

(2) Ὁ Θεοφύλακτος γράφει καὶ ἑρμηνεύει, «Καὶ δι' αὐτῆς ἀποθανὼν ἔτι λαλεῖ. Τουτέστι, Καὶ δι' αὐτῆς τῆς πίστεως ἔτι λαλεῖ· τουτέστιν, ἡ πίστις αὐτὸν ἐποίησεν ἔτι ζῆν, καὶ διδάσκαλον καθίσασθαι πᾶσι, λαλοῦντα μονονουχί· Μιμήσασθέ με. ἄνθρωποι, καὶ εὐαρεστεῖτε τῷ πλάσαντι, δίκαιοι γινόμενοι. Λαλεῖ οὖν, τουτέστι, δοξαζόμενος, φημιζόμενος, μνημονευόμενος λαλεῖ· ὡς καὶ ὁ οὐρανὸς λαλεῖ, ὁρώμενος μόνον. Οὐ τοσοῦτον γὰρ λόγος ἀνύει, ὅσον τὸ ἐκείνου πάθος. Τοῦτο δὲ εἶπεν, ἵνα δείξῃ τοὺς ὀλιγοψύχους, ὅτι ἐν μέρει καὶ ἐνταῦθα ἀπολαύει τιμῆς ὁ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

5 **Πίστει Ἐνὼχ μετετέθη, τοῦ μὴ ἰδεῖν θάνατον· κα**
οὐχ εὑρίσκετο, διότι μετέθηκεν αὐτὸν ὁ θεός (α)
πρὸ γὰρ τῆς μεταθέσεως αὐτοῦ μεμαρτύρηται εὐη-
6 **ρεστηκέναι θεῷ. Χωρὶς δὲ πίστεως ἀδύνατον εὐα-**
ρεστῆσαι· πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον
τῷ θεῷ, ὅτι ἐστί, καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μι-
7 **σθαποδότης γίνεται. Πίστει χρηματισθεὶς Νῶε περ**
τῶν μηδέπω βλεπομένων, εὐλαβηθεὶς κατεσκεύασε
κιβωτὸν εἰς σωτηρίαν τοῦ οἴκου αὐτοῦ· δι' ἧς κα
τέκρινε τὸν κόσμον, καὶ τῆς κατὰ πίστιν δικαιοσύ
νης ἐγένετο κληρονόμος (β).

Πίστει Ἐνὼχ μετετέθη.] Ἐπίστευσεν ὁ Ἐνὼχ, ὅτι μισθαπο
δότης ὁ θεὸς, διὸ καὶ εὐηρέστησε· καὶ τοσοῦτον πίστεως ἦν τ
ὁρώμενα, ὅτι καὶ τὸ ἐναντίον παρέθετο· ὁ γὰρ Ἄβελ εὐαρεστ
σας θεῷ, καὶ ἐσφάγη, καὶ οὐκ ἐπήμυνεν αὐτῷ ὁ θεὸς πρὸς τ
μὴ ἀποθανεῖν. Διὸ πίστει μόνῃ ὁ Ἐνὼχ εὐηρέστει θεῷ, πιστεύω
εἶναι τῶν ἀγαθῶν ἀντίδοσιν. Διὰ οὖν τὴν πίστιν εὐηρέστει
καὶ διὰ τὴν εὐαρέστησιν, μετετέθη (1). Καὶ ὅτι μὲν οὖν ζῇ
μετετέθη, καὶ ἔτι ζῇ, ἴσμεν· ποῦ δὲ, ἢ πῶς, ἄδηλον, τῆς Γραφῆ
σιωπώσης. Ὅρα δὲ, ὅτι ἐκ τοῦ Ἐνὼχ προετυποῦτο ἡ ἀναίρεσ
τοῦ θανάτου. Διὰ μὲν γὰρ τοῦ Ἄβελ ἐδείχθη τῆς ἀποφάσεως, τ
περὶ τοῦ θανάτου, τὸ βέβαιον· διὰ δὲ τοῦ Ἐνὼχ, ἡ ἀναίρεσις αὐ
τῆς. *Χωρὶς δὲ πίστεως ἀδύνατον εὐαρεστῆσαι.*] Εἰ γάρ τις μ
πιστεύσειεν ἀντίδοσιν εἶναι καλῶν ἔργων καὶ κακῶν, οὐκ ἂ

δίκαιος· ὥστε καὶ ὑμεῖς ἀπολαύσετε.» Ὁ Θεοφύλακτος ἀποδοκιμάζει τὴν ἀνάγνω
σιν, λαλεῖται, λέγων· «Τινὰ δὲ τῶν ἀντιγράφων, λαλεῖται, ἔχουσιν, οὐ καλῶ
ὁίμαι.» Οἱ ἀναγινώσκοντες, λαλεῖ, ἀναφέρονται εἰς Γενεσ. Δ', 10. Εβρ. ΙΒ', 2
(α) Γενεσ. Ε, 24. (β) Γενεσ. Κεφ. ς',
(1) «Οὗτος μείζω τοῦ Ἄβελ πίστιν ἐπεδείξατο. Τὰ γὰρ εἰς τὸν Ἄβελ γενόμ
να, ἱκανὰ ἦν αὐτὸν σκανδαλίσαι, ὅτι, δίκαιος ὤν, συνεχωρήθη σφαγῆναι ὑπὸ τ
ἀδελφοῦ. Τί γὰρ εἰ ἐτιμωρήθη ὁ σφαγεύς; τίς ὠφέλεια ἐκ τούτου τῷ Ἄβελ, ἐ
παθὼν ἤδη γεγονότι; Μεγάλην οὖν πίστιν ἐπεδείξατο, πιστεύσας, ὅτι ἐξι μισθ
ποδότης ὁ θεὸς ἐν τῷ μέλλοντι αἰῶνι, εἰ καὶ μὴ νῦν· καὶ δι' αὐτῆς εὐηρέστησε τ
θεῷ, καὶ εὐαρεστήσας μετετέθη. Πίστει οὖν μετετέθη, τουτέστιν, ἡ πίσ
αὐτὸν μετέθηκε, δι' ἧς εὐηρέστησεν. Ὅρα δὲ, πῶς διὰ μὲν τοῦ Ἄβελ ἐδειξεν
θεὸς τὴν ἀπόφασιν τὴν περὶ τοῦ θανάτου, ἀληθῆ· διὰ δὲ τοῦ Ἐνὼχ πάλιν ἔδειξε
ὅτι πρόσκαιρος ἡ ἀπόφασις, καὶ ἀναιρεθήσεται.» Θεοφύλακτος.

Δημόσιο Κεντρικό Βιβλιοθηκών Θέσσαλο

εὐαρεστήσῃ. Τίς γὰρ ἂν τὴν ἐπίπονον τῆς ἀρετῆς ὁδεύσῃ τρίβον, μὴ πεπεισμένος εἶναι τὰς ἀμοιβὰς ἐν τῷ μέλλοντι πολλαπλασίας καὶ μονιμωτέρας; *Πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον τῷ θεῷ.*] Οὐ τί ἐστιν ὁ θεὸς, οὐδὲ τὴν οὐσίαν αὐτοῦ περιεργάσασθαι, ἀλλὰ δεῖ πιστεῦσαι μόνον, ὅτι ἐστὶ, καὶ ὅτι ἀποδίδωσι μισθὸν τοῖς ἐκζητοῦσιν αὐτόν. Τί δέ ἐστι τὸ, *τοῖς ἐκζητοῦσιν αὐτόν*; Τοῦτ' ἔστι, τοῖς διὰ βίου εὐαρεστεῖν αὐτῷ σπεύδουσιν, οὐχὶ τοῖς περιεργαζομένοις διὰ τῆς ἔξω σοφίας. *Πίστει χρηματισθεὶς Νῶε.*] Τὸ, *πίστει*, τῷ, *εὐλαβηθεὶς*, σύνταξον· ἵνα ᾖ οὕτω· *Χρηματισθεὶς Νῶε περὶ τῶν μηδέπω βλεπομένων, πίστει εὐλαβηθεὶς κατεσκεύασε κιβωτόν.* Τουτέστι, χρηματισθεὶς, ἤτοι, διδαχθεὶς παρὰ τοῦ θεοῦ περὶ τῶν μηδέπω βλεπομένων, οὐκ ἠπίστησεν· ἀλλὰ καίτοι αἰθρίας οὔσης, καὶ πάντων τρυφώντων, καὶ μηδὲν δεινὸν προσδοκώντων· (οὐδὲ γὰρ ἑωρᾶτο οὐδὲν τοιοῦτον·) ὅμως αὐτὸς πιστεύσας τῷ θεῷ, ηὐλαβήθη τὸν κατακλυσμὸν, καὶ κατεσκεύασε κιβωτὸν, δι' ἧς σέσωκεν ἐκ τοῦ κατακλυσμοῦ πάντας τοὺς τοῦ οἴκου αὐτοῦ. Πίστεως γὰρ ἦν τὸ, διδαχθέντα παρὰ θεοῦ, ὅτι ἔσται κατακλυσμὸς, εὐλαβηθῆναι καὶ πτοηθῆναι. Σημείωσαι δὲ, ὅτι χρηματίζει ὁ θεὸς, χρηματίζει καὶ τὸ ἅγιον Πνεῦμα, κατὰ τὸ γεγραμμένον περὶ τοῦ Συμεών· *Ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ Πνεύματος* (α). Ὁρᾷς ἰσοτιμίαν; Ὥσπερ ὁ πατὴρ χρᾷ, οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Θεὸς ἄρα τὸ Πνεῦμα. *Περὶ τῶν μηδέπω βλεπομένων.*] Περὶ τῶν ἀδήλων πραγμάτων, τουτέστι, τοῦ μέλλοντος ἔσεσθαι κατακλυσμοῦ. *Δι' ἧς κατέκρινε τὸν κόσμον.*] Τουτέστιν, ἔδειξεν αὐτοὺς ἀξίους ὄντας κολάσεως· ὅτι μηδὲ κατασκευαζομένην ἐν τοσούτῳ χρόνῳ ὁρῶντες τὴν κιβωτὸν εἰς συναίσθησιν ἦλθον, ἢ ἐπίστευσαν, ὅτι ἔσται κατακλυσμός. *Καὶ τῆς κατὰ πίστιν δικαιοσύνης.*] Τουτέστι, τῆς διὰ πίστεως συστάσης.

(α) Δουκ. Β', 26.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

Ἤτοι, ἐκέρδησε τὸ δίκαιος φανῆναι παρὰ τῷ θεῷ· ὅπερ τὸ τῆ
δικαιοσύνης ὄνομά, φησιν, ἡ πίστις αὐτῷ ἐχαρίσατο. Ἐκείν
γὰρ αὐτὸν ἡ πίστις ἐδικαίωσεν, ἣν ἐπίστευσε τῷ θεῷ.

8 Πίστει καλούμενος Ἀβραὰμ ὑπήκουσεν ἐξελθεῖν εἰ
τὸν τόπον, ὃν ἤμελλε λαμβάνειν εἰς κληρονομίαν
9 καὶ ἐξῆλθε, μὴ ἐπιστάμενος, ποῦ ἔρχεται (α). Πί
στει παρῴκησεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας ὡ
ἀλλοτρίαν, ἐν σκηναῖς κατοικήσας μετὰ Ἰσαὰκ κ
Ἰακὼβ, τῶν συγκληρονόμων τῆς ἐπαγγελίας τῆ
10 αὐτῆς· ἐξεδέχετο γὰρ τὴν τοὺς θεμελίους ἔχουσ
11 πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ θεός. Πίστ
καὶ αὐτὴ Σάρρα δύναμιν εἰς καταβολὴν σπέρματο
ἔλαβε, καὶ παρὰ καιρὸν ἡλικίας ἔτεκεν, ἐπεὶ πιστο
12 ἡγήσατο τὸν ἐπαγγειλάμενον. Διὸ καὶ ἀφ' ἑν
ἐγεννήθησαν, καὶ ταῦτα νενεκρωμένου, καθὼς τ
ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει, καὶ ὡς ἡ ἄμμος,
παρὰ τὸ χεῖλος τῆς θαλάσσης, ἡ ἀναρίθμητος (β

Πίστει καλούμενος Ἀβραάμ.] Ἐπειδὴ πρὸς τοῦτον καὶ τ
λοιποὺς πατριάρχας ἀπέβλεπον οἱ ἐξ Ἑβραίων πιστοὶ, ὡς μ
ρίων παρὰ θεοῦ ἀπολαύσαντας ἀγαθῶν, μέλλει δεῖξαι, ὅ
οὐδεὶς οὐδέπω οὐδὲν ἐκομίσατο. Φησὶν οὖν, ὅτι πίστει ὑπήκ
σεν Ἀβραὰμ, κελευόμενος ἀφεῖναι τὴν πατρίδα. Οὐ γὰρ
ὑπήκουσεν, εἰ μὴ ἐπίστευσεν ἀληθεύειν τὸν θεὸν, εἰς τὸ παρ
σχεῖν τὴν γῆν ἐκείνην. Καὶ αὐτὸ δὲ τὸ ἐξελθεῖν, πίστεως
θεοῦ γὰρ καλοῦντος, ὑπήκουσε, πιστεύσας, ὅτι ἐπ' ἀγαθῷ κ
λεῖ. *Μὴ ἐπιστάμενος, ποῦ ἔρχεται.*] Καὶ, τὸ μεῖζον τῆς
στεως, ὅτι οὐδὲ ἠπίστατο, ποῦ καλεῖται. Καίτοι γε καὶ
ᾔδει, τίς ἠνάγκαζεν αὐτὸν, καταλιπόντα τὰ ἕτοιμα, διώκ
τὰ ἀνέτοιμα; Ὁ δὲ οὐδὲ ᾔδει, τίς ἐστιν ἡ γῆ ὅλως ἐκεί
εἰς ἣν καλεῖται. *Πίστει παρῴκησεν εἰς τὴν γῆν τῆς ἐπα
γελλίας.*] Ὅρα τί φησιν· Εἰς τὴν γῆν, ἣν ἐπηγγείλατο ὁ θε

(α) Γενεσ. ΙΒ', 1, καὶ ἑξῆς.
(β) Γενεσ. ΙΖ', ΙΗ', ΚΒ', 17.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λέγων· *Σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου* (α)· κατῴκει ὡς ἐν ἀλλοτρίᾳ, καὶ ὁρῶν μὴ ἐκβαίνουσαν τοῦ θεοῦ τὴν ἐπαγγελίαν. Ὁ μὲν γὰρ θεὸς εἰρήκει, δοῦναι αὐτήν· αὐτὸς δὲ ὡς πάροικος, ἐν γῇ ξένῃ ᾤκει, καὶ οὐδὲ οὕτως ἠσθένησε τῇ πίστει· ἀλλὰ καὶ ταῦτα μετὰ τῶν ἐκγόνων οἰκῶν εἰς αὐτὴν ὡς ἀλλοτρίαν, ὅμως ἔτι ἐπίστευεν, αὐτῷ καὶ τῷ σπέρματι αὐτοῦ δοθήσεσθαι αὐτήν. *Ἐν σκηναῖς κατοικήσας.*] Τοσοῦτον ὡς ἀλλοτρίαν αὐτὴν κατῴκει, ὥστε οὐδὲ οἰκίαν εἶχεν, ἀλλ' ἐν σκηναῖς κατῴκει· τὸ γὰρ σκηνὰς πήξασθαι, ξένων ἐστὶ καὶ ἀλλοτρίων τῆς γῆς, τῶν ἄλλοτε εἰς ἄλλο μέρος μεταβαινόντων, διὰ τὸ μὴ ἔχειν τι ἴδιον. *Μετὰ Ἰσαὰκ καὶ Ἰακώβ.*] Καὶ τούτων πίστιν δείκνυσιν, ὅτι καὶ αὐτοὶ, συγκληρονόμοι ὄντες, ὡς ξένοι ᾤκουν εἰς τὴν γῆν ἐκείνην. Καὶ ὁ μὲν Ἰσαὰκ, φθονούμενος ὑπὸ τῶν Φιλισταίων, καὶ ἀφαιρούμενος τὰ φρέατα ὑπὸ τῶν περὶ τὸν Ἀβιμέλεχ, καὶ τὴν γυναῖκα αὐτοῦ, καὶ ἄλλοτε εἰς ἄλλον τόπον μεταβαίνων (β)· ὁ δὲ Ἰακὼβ, φυγαδευόμενος ὑπὸ τοῦ Ἡσαῦ (γ)· οὐδὲ οὕτως ἠπίστησαν, μὴ αὐτοῖς δοθήσεσθαι τὴν γῆν ἐκείνην. *Ἐξεδέχετο γάρ.*] Καὶ ποίῳ λόγῳ, φησὶν, οὐκ ἠσθένησαν οὗτοι τῇ πίστει, ὡς ἀλλοτρίαν οἰκοῦντες τὴν ἐπηγγελμένην γῆν; Ὅτι, φησὶν, οὐδὲν ἐφρόντιζον γῆς, ἀλλὰ, καίτοι γῆν ἐπαγγελίας δεξάμενοι, τὰ μείζονα ἐζήτουν, καὶ *ἐξεδέχοντο*, τουτέστι, προσεδόκων, ἀνέμενον, τὴν οὐράνιον πόλιν. Εἰ γὰρ ἦσαν προσηλωμένοι τῇ γῇ, ἐσαλεύθησαν ἂν τῷ μὴ λαβεῖν αὐτήν. Οὕτω δεῖ καὶ ἡμᾶς, τὰ ἄνω ζητεῖν, καὶ τῶν ἐνταῦθα λόγον μὴ ἔχειν. *Τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν.*] Ἢ διὰ τὸ μόνιμον καὶ βέβαιον ἐκείνης λέγει αὐτὴν ἔχουσαν θεμελίους· ἢ ὅτι ἐκείνη μόνη θεμελίους ἔχει· αἱ γὰρ ἐπὶ γῆς, ὡς εἰς σύγκρισιν ἐκείνης, οὐκ ἔχουσιν (1). *Ἧς*

(α) Γεν. ΙΖ', 8. (β) Γεν. Κεφ. Κς'. (γ) Γεν. Κεφ. ΑΒ'. ΑΓ'.

(1) « Διὰ τοῦτό, φησι, τὴν γῆν παρῴκουν ἐν σκηναῖς, αἳ θεμελίων οὐκ ἔχουσι, διότι ἐξεδέχοντο τὴν οὐράνιον πόλιν, ἥτις ἀληθινοὺς ἔχει θεμελίους, ἀεὶ ἑστῶτας, καὶ μηδέποτε σεθρευμένους. » Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

τεχνίτης καὶ δημιουργὸς ὁ θεός.] Μέγιστον τῆς ἐν οὐρανῷ πόλεως τὸ ἐγκώμιον, τὸ ἀρχιτέκτονα ἔχειν τὸν θεόν. *Πίστει καὶ αὐτὴ Σάρρα.*] Ἐντρεπτικόν ἐστι τό, *Καὶ αὐτὴ Σάρρα* ὡσεὶ ἔλεγεν· Εἰ γυνὴ ἐπίστευσεν, αἰσχύνη, εἰ ἡμεῖς καὶ γυναικὸς ὀλιγοψυχότεροι εὑρεθῶμεν. Πῶς δὲ ἐπίστευσε, καίτοι ἐγέλασες; Ναί, ἐπίστευσεν, εἰ καὶ ἐγέλασε· καὶ γὰρ ὕστερον ἐλεγχθεῖσα, ἐροβήθη· ὅπερ πίστεώς ἐστι. Δῆλον γὰρ, ὅτι μέγαν τινὰ καὶ ὑπὲρ ἄνθρωπον ἐπίστευσεν εἶναι τὸν προσδιαλεγόμενον. *Δύναμιν εἰς καταβολὴν σπέρματος ἔλαβεν.*] Εἰς ὑποδοχὴν σπέρματος· τουτέστιν, ἐνεδυναμώθη εἰς τὸ ὑποδέξασθαι καὶ κρατῆσαι τὸ καταβληθὲν εἰς αὐτὴν παιδοποιὸν σπέρμα. *Καὶ παρὰ καιρὸν ἡλικίας ἔτεκε.*] Τὸ, Καὶ, ἐνταῦθα τοῦτο βούλεται· Ὅτι οὐ μόνον, ὅτι στεῖρα ἦν, ἀλλὰ *καὶ παρὰ καιρὸν ἡλικίας*, τουτέστιν, ἐν αὐτῷ τῷ ἐσχάτῳ γήρᾳ ἐνεδυναμώθη εἰς ὑποδοχὴν σπέρματος. *Ἐπεὶ πιστὸν ἡγήσατο.*] *Πιστὸν*, τουτέστιν, ἀληθῆ. Ποῦ δὲ ἐπηγγείλατο; Κατὰ τὸν καιρὸν τοῦτον ἐλεύσομαί, φησι, καὶ ἔσται τῇ Σάρρᾳ υἱός (α). *Διὸ καὶ ἀφ' ἑνὸς ἐγεννήθησαν.*] Τούτου χάριν, φησὶν, ἀφ' ἑνὸς σπέρματος καὶ ταῦτα νεκροῦ ὄντος διὰ τὸν χρόνον, ἐγεννήθησαν πάντες οἱ τοῦ σπέρματος Ἀβραὰμ, οἱ κατὰ τὰ ἄστρα καὶ τὴν ψάμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης, τῷ πλήθει.

13 Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ λαβόντες
τὰς ἐπαγγελίας, ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες καὶ
ἀσπασάμενοι, καὶ ὁμολογήσαντες, ὅτι ξένοι καὶ
14 παρεπίδημοί εἰσιν ἐπὶ τῆς γῆς. Οἱ γὰρ τοιαῦτα
λέγοντες, ἐμφανίζουσιν, ὅτι πατρίδα ἐπιζητοῦσιν.
15 Καὶ εἰ μὲν ἐκείνης ἐμνημόνευον, ἀφ' ἧς ἐξῆλθον,
16 εἶχον ἂν καιρὸν ἀνακάμψαι· νῦν δὲ κρείττονος ὀρέγονται, τοῦτ' ἔστιν, ἐπουρανίου. Διὸ οὐκ ἐπαισχύνεται αὐτοὺς ὁ θεὸς, θεὸς ἐπικαλεῖσθαι αὐτῶν· ἡτοίμασε γὰρ αὐτοῖς πόλιν.

Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες.] Δύο ἐνταῦθα ζητεῖ

(α) Γεν. ΙΗ', 14.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ται. Πῶς, εἰπὼν ἄνω, ὅτι μετέθηκε τὸν Ἐνὼχ ὁ θεὸς, τοῦ μὴ ἰδεῖν θάνατον, νῦν εἶπε· *Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες*; Καὶ πάλιν, πῶς εἶπε· *Μὴ λαβόντες τὰς ἐπαγγελίας*, καίτοι εἰπὼν ἀνωτέρω, εἰληφότας αὐτοὺς τοὺς τῆς πίστεως μισθούς; Ὁ μὲν γὰρ Νῶε, διεσώθη μετὰ τοῦ οἴκου αὐτοῦ· καὶ ὁ Ἐνὼχ μετετέθη, καὶ οὐκ εἶδε θάνατον· καὶ ὁ Ἄβελ ἔτι λαλεῖται διὰ τοῦ παρὰ πᾶσι δοξάζεσθαι· καὶ ὁ Ἀβραὰμ ἐπελάβετό τε τῆς ἐπηγγελμένης γῆς, καὶ ἐπαιδοποίησεν ἐκ τῆς Σάρρας. ΛΥΣΙΣ. Τὸ μὲν οὖν, *ἀπέθανον οὗτοι πάντες*, δέξαι ἀντὶ τοῦ, οἱ τεθνηκότες, ὑπεξῃρημένου δηλαδὴ τοῦ μὴ ἰδόντος θάνατον Ἐνώχ· τὸ δὲ, *μὴ λαβόντες τὰς ἐπαγγελίας*, περὶ πάντων λέγει, δεικνὺς, ὅτι τοῖς περὶ τὸν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ οὐ γῆ ἦν ἐπηγγελμένη μόνον, ἀλλὰ διὰ τῆς ἀρετῆς αὐτῶν καὶ τὰ οὐράνια. Τοῦτο δὲ καὶ περὶ τῶν ἄλλων νόει. Οὐδὲ γάρ, φησιν, ὁ μεγαλόδωρος θεὸς διέλυσε τοὺς μισθοὺς τῶν μεγάλων καμάτων τῆς πίστεως, τῷ μὲν Ἄβελ, ἐπὶ τῷ δοξασθῆναι παρ' ἀνθρώποις· τῷ δὲ Ἐνὼχ, ἐπὶ τῷ μετατεθῆναι· τῷ δὲ Νῶε, ἐπὶ τῷ ἐκφυγεῖν τὸν παραυτίκα θάνατον· τῷ δὲ Ἀβραὰμ, ἐπὶ τῷ παιδοποιῆσαι, ἢ τῆς γῆς ὡς ἐν παροικίᾳ ἐπιλαβέσθαι· ἀλλὰ ταῦτα μὲν ἐν προσθήκης μέρει αὐτοῖς ἐδωρήθη· γεῦσις δέ τις ἦν τῶν ὄντως ἐπαγγελιῶν. Ἄλλα δέ τινα μεγάλα, καὶ ἃ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη (α), ἡτοίμασται αὐτοῖς, ἃ οὕπω ἔλαβον, ὥσπερ καὶ ὁ Κύριός φησιν ἐν τῷ εὐαγγελίῳ, ἐν τῷ νῦν αἰῶνι ἑκατονταπλασίονα λήψεσθαι τὸν ἀποταξάμενον πᾶσι, καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον (β). *Ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες καὶ ἀσπασάμενοι.*] Οὕτω, φησὶν, αὐταῖς ἐπίστευον πόρρωθεν δὲ ἐλπίδος, ὅτι καὶ ἔχαιρον ἐπ' αὐταῖς, καὶ μονονουχὶ περιπλεκόμενοι κατησπάζοντο (1).—Τὸ, *πόρρωθεν ἰδόντες*, φασί τινες, ὅτι

(α) Α Κορ. Β', 9. (β) Ματθ. ΙΘ', 29.

(1) « Ἐνταῦθα αἰνίττεται αὐτοὺς τὰ περὶ τῆς βασιλείας τῶν οὐρανῶν, καὶ τῆς ἀναστάσεως, καὶ τῶν ἀῤῥήτων ἀγαθῶν μυστήρια καὶ ἰδόντας καὶ ἀσπασαμέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

προεῖδον οἱ ἀμφὶ τὸν Ἀβραὰμ τὴν ἐξ Αἰγύπτου ὑποσροφὴν τοῦ σπέρματος αὐτῶν· ἀλλ' ἄτοπον. Φαμὲν δέ, ὅτι περὶ βασιλείας οὐρανῶν ἦσαν εὐαγγελισθέντες, καὶ ὅσα ὁ Χριστὸς ἐκήρυξεν. Εἰ γὰρ μὴ ταῦτα ἠκηκόεισαν, τί δή ποτε ξένους ἑαυτοὺς καὶ παρεπιδήμους ἐκάλουν; Οὐ γὰρ πατρίδος ἐπιγείου ὀρεγόμενοι ταῦτα ἔλεγον· ἐπεὶ καὶ ὑποστρέψαι αὐτοῖς εἰς τὴν ἑαυτῶν ἐξῆν· ἀλλὰ τὸν οὐρανὸν ἐζήτουν. Ἄλλως τε, εἰ μὴ τοῦτο ἦν, εὑρίσκονται ὅ,τε Ἄβελ καὶ Ἐνὼχ καὶ Νῶε, μηδὲ ἐσχηκότες παρὰ θεοῦ ἐπαγγελίας. Οὐδὲν γὰρ αὐτοῖς γήϊνον ἐπηγγείλατο. Οὐδὲ γὰρ οὔτε τὸ σωθῆναι ἐν ἐπαγγελίᾳ εἰρήκει τῷ Νῶε.—*Καὶ ἀσπασάμενοι.*] Τουτέστιν, ἡσθέντες. *Παρεπίδημοί εἰσιν ἐπὶ τῆς γῆς.*] Οὐ μόνον τῆς ἐπηγγελμένης· (οὐ γὰρ μέγα τοῦτο·) ἀλλὰ παντὸς τοῦ κόσμου. Διὰ τοῦτο οὐδὲ ἠξίουν ταύτην λαβεῖν· οὐ γὰρ ἦσαν αὐτῆς ἄξιοι, ἀλλὰ τοῦ οὐρανοῦ. Οἱ δὲ ἔκγονοι αὐτῶν ἔλαβον ταύτην· ἐκεῖνοι γὰρ ἦσαν τῆς γῆς ἄξιοι. Ξένος δὲ εἶναι καὶ πάροικος ὡμολόγησεν ὁ Ἀβραὰμ πρὸς τοὺς Χετταίους αὐταῖς λέξεσι (α). Πλὴν καὶ πάντες τοιοῦτοι ἦσαν, ὡς μαρτυρεῖ καὶ ὁ Δαυΐδ· *Πάροικος ἐγώ εἰμι*, λέγων, *καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου* (β). *Ἐμφανίζουσι.*] Λέγοντές, φησιν, ἑαυτοὺς ξένους, *ἐμφανίζουσι*, τουτέστι, δεικνύουσιν, *ὅτι πατρίδα ἐπιζητοῦσι*, τὴν ἐν οὐρανῷ δηλονότι. *Καὶ εἰ μὲν ἐκείνης.*] Ὅτι δὲ τὴν ἐν οὐρανῷ ἐζήτουν πατρίδα, ἐνθεν δῆλον. Εἰ μὲν γὰρ τὴν ἰδίαν ἐζήτουν, ἐξ ἧς ἐξέβαλεν αὐτοὺς ὁ θεὸς, ἴσχυον ὑποστρέψαι· εἶχον γὰρ πρὸς τοῦτο καιρόν, ἵνα εἰς τὴν ἑαυτῶν ἐπανέλθωσι. Νῦν δὲ τῷ πατρίδα μὲν ζητεῖν, μὴ ὑποστρέφειν δὲ, ἐξ ἧς ἐξῆλθον, δῆλον, ὅτι κρείττονος καὶ οὐρανίου ἐπιθυμοῦσι. *Διὸ οὐκ ἐπαισχύνεται αὐτοὺς ὁ θεὸς, θεὸς ἐπικαλεῖσθαι αὐτῶν.*] Ὥσπερ γὰρ καλεῖται, Θεὸς τοῦ κόσμου, οὕτω καὶ Θεὸς

νους, τουτέστιν, ἡσθέντας, ἀπὸ μεταφορᾶς τῶν πλεόντων, καὶ πόρρωθεν ὁρώντων πόλεις ποθουμένας, ἃς πρὶν ἢ εἰσελθεῖν εἰς αὐτὰς, προφθάνοντες οἰκειοῦνται τῇ προσρήσει.» Θεοφύλακτος.

(α) Γεν. ΚΓ', 3. (β) Ψαλμ. ΛΗ', 13.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, ἀντιῤῥόπους αὐτοὺς τῆς κτίσεως ἁπάσης πεποιηκώς. Μέγιστον δὲ τοῦτο ἀξίωμα, τὸ καταξιῶσαι τὸν Θεὸν, ἐπικαλεῖσθαι αὐτῶν Θεόν. Ὥσπερ γὰρ ἐγκαλλωπιζόμενος ὁ Θεὸς τοῖς πατριάρχαις, οὕτω καλεῖται Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ. *Ἡτοίμασε γὰρ αὐτοῖς πόλιν.*] Οὐκ ἐπαισχύνεται αὐτοὺς ὁ Θεὸς εἰς τὸ Θεὸς ἐπικαλεῖσθαι αὐτῶν· καὶ οὕτως οὐκ ἐπαισχύνεται αὐτοὺς, ἀλλ᾽ οἰκείους ἔχει, ὥςε καὶ τὸ θέλημα αὐτῶν ἐπλήρωσε. Πόλιν ἐπεθύμουν ἐν οὐρανῷ, καὶ ἡτοίμασεν αὐτοῖς ἐν αὐτῷ πόλιν.

17 Πίστει προσενήνοχεν Ἀβραὰμ τὸν Ἰσαὰκ πειραζόμενος, καὶ τὸν μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγ-
18 γελίας ἀναδεξάμενος, πρὸς ὃν ἐλαλήθη· «Ὅτι ἐν
19 Ἰσαὰκ κληθήσεταί σοι σπέρμα (α)·» λογισάμενος, ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ θεός· ὅθεν
20 αὐτὸν καὶ ἐν παραβολῇ ἐκομίσατο. Πίστει περὶ μελλόντων εὐλόγησεν Ἰσαὰκ τὸν Ἰακὼβ καὶ
21 τὸν Ἡσαῦ (β). Πίστει Ἰακὼβ ἀποθνήσκων ἕκαστον τῶν υἱῶν Ἰωσὴφ εὐλόγησε· καὶ προσεκύνησεν ἐπὶ
22 τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ (γ). Πίστει Ἰωσὴφ τελευτῶν περὶ τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐμνημόνευσε, καὶ περὶ τῶν ὀστέων αὐτοῦ ἐνετείλατο (δ).

Πίστει *προσενήνοχεν Ἀβραὰμ τὸν Ἰσαάκ.*] Μεῖζων πάντων τῇ πίστει ὁ Ἀβραάμ. Ἐνταῦθα γὰρ οὐ μόνον φύσις ἐμάχετο, ἀλλὰ καὶ λόγος θεοῦ θείῳ προστάγματι. Ὁ γὰρ εἰπών· *Σοὶ καὶ τῷ σπέρματί σου δώσω τὴν γῆν* (ε)· οὗτος προστάσσει· Σφάξον τὸ τέκνον σου. *Πειραζόμενος.*] Ἐπείραζε δὲ ὁ θεὸς τὸν Ἀβραὰμ, οὐκ αὐτὸς δεόμενος μαθεῖν τὰ κατ᾽ αὐτόν· (πῶς γὰρ ὁ πλάσας καταμόνας τὰς καρδίας ἡμῶν, ὁ ἐτάζων καρδίας καὶ νεφροὺς (ζ);) ἀλλ᾽ ἵνα ἡμῖν τὴν ἀρετὴν αὐτοῦ ποιήσῃ κατάδηλον. *Καὶ τὸν μονογενῆ προσέφε-*

(α) Γεν. ΚΑ', 12. (β) Γεν. ΚΖ', 27. 28. 39. (γ) Γεν. ΜΖ', 31, ΜΗ'.
(δ) Γεν. Ν', 24. 25. (ε) Γεν. ΙΕ', 7. ΙΖ', 8. (ζ) Ψαλμ. ΑΒ', 15. Ζ', 10.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρεν.] Ἵνα μή τις εἴπῃ, ὅτι εἶχεν ἕτερον παῖδα, καὶ δι' αὐτοῦ τὴν ἐπαγγελίαν ἐκδήσεσθαι προσδοκῶν, προθύμως τὸν Ἰσαὰκ προσέφερεν· Οὗ, φησι· μονογενὴς γὰρ ἦν· μονογενὴς δὲ, ὅσον εἰς τὸν τῆς ἐπαγγελίας λόγον· ἐπεὶ εἶχε καὶ τὸν Ἰσμαήλ. *Πρὸς δν ἐλαλήθη.*] Ὥστε, φησὶν, ὡς πρὸς τὸ φαινόμενον, καὶ ἐναντία δοκεῖ ἐπιτάσσειν ὁ θεὸς, ὧν ἐπηγγείλατο· καὶ ὅμως οὐκ ἠπίστησεν Ἀβραάμ. Πῶς γὰρ ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα, τὸν Ἰσαὰκ κελεύσαντος σφάξαι; Ἀλλ' ὅμως οὐδὲ οὕτως ἐδίστασε. *Λογισάμενος, ὅτι καὶ ἐκ νεκρῶν ἐγεῖραι δυνατὸς ὁ θεός.*] Ὁρᾷς, ὅτι πίστει πάντα ἔπραττεν ὁ Ἀβραάμ; Ἐπίστευσε γὰρ, ὅτι καὶ σφαγέντα δύναται αὐτὸν ἀναστῆσαι ὁ θεὸς, καὶ τὴν ἐπαγγελίαν πληρῶσαι, καὶ δι' αὐτοῦ ἀναβεβιωκότος πληθῦναι τὸ σπέρμα. *Ὅθεν αὐτὸν καὶ ἐν παραβολῇ ἐκομίσατο.*] Τί ἐστὶ τὸ, *ἐν παραβολῇ*; Ἀντὶ τοῦ, ἐν τύπῳ, εἰς ἔνδειξιν μυστηρίου τοῦ κατὰ Χριστόν. Ὁ γὰρ Ἀβραὰμ τύπος ἦν τοῦ θεοῦ καὶ πατρὸς, ὁ δὲ Ἰσαὰκ, τοῦ υἱοῦ τοῦθεοῦ. Ἐπειδὴ γὰρ μέγα τι ἔμελλεν ὁ θεὸς ἡμῖν παρέχειν, τὴν σφαγὴν τοῦ υἱοῦ αὐτοῦ, σφόδρα φιλάνθρωπος ὢν, ἵνα μὴ δόξῃ ἡμᾶς χάριτι σώζειν μόνῃ, ἐποίητεν ὀφειλὴν τὸ παραδοῦναι τὸν Χριστόν· ὀφειλὴν δὲ οὕτως· Ὥσπερ, φησὶν, ὁ Ἀβραὰμ ἠνέσχετο παραδοῦναι δι' ἐμὲ τὸν μονογενῆ αὐτοῦ υἱὸν εἰς θάνατον, οὕτω καὶ ἐγὼ ὀφείλω μου παραδοῦναι τὸν μονογενῆ εἰς θάνατον ὑπὲρ τῶν ἀνθρώπων (1). Τὸ δὲ, *ἐν παραβολῇ*, δυνάμεθα καὶ οὕτω νοῆσαι, ἁρμόζοντες αὐτὸ εἰς τὸ τοῦ Ἰσαὰκ πρόσωπον. Ἐκομίσατο δηλαδὴ τὸν Ἰσαὰκ, καὶ ἐποίησεν αὐτὸν ἐν παραβολῇ, καὶ ἐν τύπῳ, καὶ ἐν

(1) « Ὁ Ἀβραὰμ τύπος ἦν τοῦ θεοῦ καὶ πατρὸς, ὁ Ἰσαὰκ, τοῦ υἱοῦ τοῦ θεοῦ. Ἐπειδὴ ἔμελλεν ὁ θεὸς τὸ μέγα τοῦτο καὶ ὑπὲρ νοῦν μυστήριον οἰκονομῆσαι, καὶ δοῦναι τὸν υἱὸν αὐτοῦ ὑπὲρ ἡμῶν, σφόδρα φιλάνθρωπος ὢν, οὐδὲ τοῦτο ἠβουλήθη, ὡς χάριν αὐτοῦ ἰδίαν δοῦναι, ἀλλ' ὡς ὀφειλὴν ἀποδοῦναι. Ὡσανεὶ τοιαῦτα λέγων· Οὐδὲν καινὸν δίδωμι τῇ ἀνθρωπίνῃ φύσει, ὑπὲρ αὐτῆς τὸν υἱόν μου θύων· ὁ γὰρ Ἀβραὰμ τὸν υἱὸν αὐτοῦ ἀνήνεγκεν ὑπὲρ ἐμοῦ σφαγιάσαι. Ὥστε τὴν ὀφειλὴν ἀποδίδωμι, οὐ χάριν δίδωμι. » Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑποδείγματι τοῦ Χριστοῦ· ἵνα, ὥσπερ ὁ Ἰσαὰκ ἐσφάγη, ὅσον πρὸς τὴν προαίρεσιν τοῦ Ἀβραὰμ, οὕτω καὶ ὁ Χριστὸς ἐσφάγη, κατὰ ἀλήθειαν δέ. Ἢ καὶ οὕτω τὸ, *ἐν παραβολῇ*, νόησον· Ὅτι ἐκομίσατο τὸν Ἰσαὰκ *ἐν παραβολῇ*, τουτέστιν, ἀντὶ τῆς παραβολῆς καὶ τοῦ ὑποδείγματος· ὑπέδειξε γὰρ τὸν κριὸν, καὶ δεδωκὼς αὐτὸν ἀντ' αὐτοῦ, ἔλαβε τὸν Ἰσαάκ. Ἡ δὲ πρώτη ἑρμηνεία, ὡς νομίζω, πολὺ βελτίων. — ΑΛΛΩΣ. Τὸ, *Ὅθεν αὐτὸν ἐν παραβολῇ ἐκομίσατο*, δυνατὸν καὶ οὕτω νοῆσαι· Ὅθεν καὶ τὸν Ἰσαὰκ ὁ Ἀβραὰμ ἐν παραβολῇ ἐκομίσατο. Ἐπεὶ γάρ, φησιν, ἄφατόν τινα τὴν ὑπακοὴν ἐπεδείξατο, καὶ πίστιν νικῶσαν τοὺς νόμους καὶ αὐτῆς τῆς φύσεως, ἀπολαμβάνει πάλιν τὸν υἱὸν, οὐχ οἷον προσήνεγκεν, ἀλλὰ μετὰ μεγάλης προσθήκης καὶ ἀξίας τῆς αὐτοῦ πίστεως. Ἐκομίσατο γὰρ αὐτὸν φέροντα παραβολὴν καὶ ὁμοίωσιν τὴν πρὸς τὸν υἱὸν τοῦ θεοῦ καὶ θεόν. Τοιαῦτα γὰρ ἡ πίστις δύναται κατορθοῦν. Εἰ δὲ τὸ, *ἐν παραβολῇ*, κοινὸν ἐκλάβοις τοῦ τε Ἀβραὰμ καὶ τοῦ Ἰσαὰκ, ὅτι ὁ μὲν εἰς τύπον τοῦ πατρὸς καὶ εἰς παραβολὴν καὶ ὁμοίωσιν διὰ τῆς προσαγωγῆς τοῦ παιδὸς ἐχρημάτισεν· ὁ δὲ Ἰσαὰκ, εἰς τύπον τοῦ υἱοῦ· καὶ οὕτως ἡ προειρημένη εὐοδοῦται διάνοια. Τοσοῦτον κέρδος, φησὶ, προεξένησε τῷ Ἀβραὰμ ἡ πίστις αὐτοῦ, ὅτι τὸν υἱὸν προσενέγκας, μετὰ μεγίστης προσθήκης ἐκομίσατο. Ποία αὕτη; Τὸ ἐν παραβολῇ αὐτὸν καὶ ὁμοιώσει τῇ τε πρὸς τὸν πατέρα καὶ τῇ πρὸς τὸν υἱὸν ἀνακομίσασθαι· τουτέστιν, ἐκομίσατο τὸν υἱὸν ἐπὶ τηλικούτῳ κέρδει, ἐφ' ᾧ τύπον ἀμφοτέρους γενέσθαι τῆς προσαγωγῆς, ἣν εὐδόκησεν ὁ πατὴρ τελεσθῆναι ἐπὶ τῷ υἱῷ. Ἢ, *ἐν παραβολῇ* ἐκομίσατο ὁ θεὸς τὸν Ἰσαὰκ, τουτέστι, διὰ τὴν πίστιν καὶ τὸ πρόθυμον τοῦ Ἀβραὰμ, καίτοι κριοῦ προσαχθέντος, καὶ τότε οὐ παρὰ τοῦ Ἀβραὰμ κομισθέντος, ἀλλὰ παρ' αὐτοῦ τοῦ θεοῦ, τοῦ καὶ κομισαμένου· ὅμως οὖν οὕτως ὁ θεὸς ἐδέξατο τὴν θυσίαν, ὡς τὸν Ἰσαὰκ αὐτὸν κομισάμενος διὰ τῆς παραβολῆς καὶ παρενθήκης τοῦ κριοῦ. Διὸ φησίν·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὅθεν αὐτὸν, οἷον τὸν Ἰσαάκ, *ἐκομίσατο ἐν τῇ παραβολῇ* καὶ παρενθήκῃ τοῦ κριοῦ, τουτέστιν, ὡς τελειωθεῖσαν τὴν πρόθεσιν καὶ τῆς πίστεως αὐτοῦ τὸ πρόθυμον, οὕτως ἐδέξατο τὴν θυσίαν τοῦ Ἀβραὰμ ὁ θεός (Φωτίου).—*Πίστει περὶ μελλόντων εὐλόγησε.*] Πόθεν γὰρ ἐπήγγελτο τοῖς υἱοῖς αὐτοῦ τοσαῦτα ἀγαθὰ, αὐτὸς ἐν ξένῃ γῇ καθήμενος, εἰ μὴ ἐπίστευσεν, ὅτι ὁ θεὸς δώσει τὰς ἐπαγγελίας; Τί δέ ἐστι τὸ, *περὶ μελλόντων*; Ἢ περὶ τῶν μελλόντων αὐτοῖς ἔσεσθαι, ἢ περὶ τῶν μελλόντων τῷ σπέρματι αὐτῶν δοθήσεσθαι· οὐδὲ γὰρ οὐδὲ αὐτοὶ ἀπήλαυσαν τῆς ἐπαγγελίας. Τὸν Ἰακὼβ δὲ, καὶ διὰ τὴν ἀρετὴν πρῶτον ὀνομάζει, καὶ ὡς τὰ πρωτότοκια εἰληφότα, καὶ ἐν πᾶσιν ἄξιον προτάττεσθαι. *Πίστει Ἰακὼβ ἀποθνήσκων.*] Ἐνταῦθά, φησιν, οὐ μόνον εἶπεν, ἀλλὰ καὶ οὕτως ἐθάρρει τοῖς ἐσομένοις, ὡς καὶ ἐν τῷ ἔργῳ αὐτὸ ἐπιδεῖξαι. Ἐπειδὴ γὰρ ἔμελλεν, ἀπὸ τοῦ Ἐφραὶμ ἀνίστασθαι βασιλεὺς ἕτερος, διὰ τοῦτο φησί· *Καὶ προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ*· τουτέστι, καὶ γέρων ὢν ἤδη, προσκυνεῖ τῷ Ἰωσὴφ, τὴν παντὸς τοῦ λαοῦ προσκύνησιν δηλῶν, τὴν ἐσομένην αὐτῷ. Καὶ τοῦτο ἐξέβη αὐτῷ, ὅτε αὐτῷ οἱ ἀδελφοὶ προσεκύνησαν· ἐκβήσεσθαι δὲ ἔμελλεν ὕστερον διὰ τῶν δέκα φυλῶν.—*Καὶ προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ.*] Τὴν γὰρ τοῦ Ἐφραὶμ προεσήμανε βασιλείαν, καὶ τῶν δέκα φυλῶν τὴν ὑποταγήν· οὗ δεῖ χάριν αὐτὸς προτυποῖ τὴν ἐκείνων προσκύνησιν (Θεοδωρήτου.).—*Ἄλλως.* Τοσοῦτον γάρ, φησιν, ἐπίστευσε τοῖς ἐσομένοις, ὅτι καὶ προσκύνησε τῇ ῥάβδῳ, δοκῶν ὁρᾶν τὰ ἐσόμενα. Τῶν γὰρ δύο υἱῶν τοῦ Ἰωσὴφ, τοῦ Ἐφραὶμ καὶ τοῦ Μανασσῆ, ἐκ τοῦ τοῦ Ἐφραὶμ σπέρματος βασιλεῖς εἶχον ἀναφῆναι. Προδηλῶν οὖν τὴν βασιλείαν τῷ σπέρματι αὐτοῦ, προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου, ἤτοι, τῆς βασιλείας τοῦ Μανασσῆ. Γέγραπται γὰρ ἐν βίβλῳ Γενέσεως οὕτως· «Ἐπέζησε δὲ Ἰακὼβ ἐν γῇ Αἰγύπτῳ δέκα καὶ ἑπτὰ ἔτη· καὶ ἐγένοντο αἱ ἡμέραι Ἰακὼβ ἐνιαυτῶν τῆς ζωῆς αὐτοῦ ρμ ζ ἔτη.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἤγγισαν δὲ αἱ ἡμέραι Ἰσραὴλ τοῦ ἀποθανεῖν, καὶ ἐκάλεσε τὸν υἱὸν αὐτοῦ Ἰωσὴφ, καὶ εἶπεν αὐτῷ· Εἰ εὕρηκα χάριν ἐναντίον σου, ὑπόθες τὴν χεῖρά σου ἐπὶ τὸν μηρόν μου, καὶ ποιήσεις ἐπ' ἐμὲ ἐλεημοσύνην καὶ ἀλήθειαν, τοῦ μή με θάψαι ἐν Αἰγύπτῳ· ἀλλὰ κοιμηθήσομαι μετὰ τῶν πατέρων μου, καὶ ἀρεῖς με ἐξ Αἰγύπτου, καὶ θάψεις με ἐν τῷ τάφῳ αὐτῶν. Ὁ δὲ εἶπεν· Ἐγὼ ποιήσω κατὰ τὸ ῥῆμά σου. Εἶπε δέ· Ὄμοσόν μοι. Καὶ ὤμοσεν αὐτῷ. Καὶ προσεκύνησεν Ἰσραὴλ ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ (α).» — *Πίστει Ἰωσὴφ τελευτῶν.*] Τοσοῦτον, φησὶν, ἐπίστευσεν, ὅτι ἐξελεύσεται ὁ Ἰσραὴλ ἐξ Αἰγύπτου, ὥστε καὶ ἐνώρκωσεν αὐτοὺς, ἵνα τὰ ὀστᾶ αὐτοῦ μετενέγκωσι. Τί δήποτε; Ἵνα, ἀεὶ μεμνημένοι τῶν ὅρκων τοῦ Ἰωσὴφ, εἰδεῖεν, ὅτι πάντως ἡ ἐπαγγελία τοῦ θεοῦ ἐκβήσεται, καὶ ἐξελεύσονται. Τίς γὰρ ἂν ὤρκωσε, τὰ ὀστᾶ αὐτοῦ μετενεχθῆναι, εἰ μὴ σφόδρα ἐθάῤῥει, ὡς ἐξελεύσονται;

23 Πίστει Μωϋσῆς γεννηθεὶς ἐκρύβη τρίμηνον ὑπὸ τῶν πατέρων αὐτοῦ, διότι εἶδον ἀστεῖον τὸ παιδίον· καὶ οὐκ ἐφοβήθησαν τὸ διάταγμα τοῦ βασι-
24 λέως. Πίστει Μωϋσῆς, μέγας γενόμενος, ἠρνήσατο λέγεσθαι υἱὸς θυγατρὸς Φαραὼ, μᾶλλον ἐλόμενος συγκακουχεῖσθαι τῷ λαῷ τοῦ θεοῦ, ἢ πρόσ-
25 καιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν· μείζονα πλοῦτον ἡγησάμενος τῶν ἐν Αἰγύπτῳ (1) θησαυρῶν
26 τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ· ἀπέβλεπε γὰρ εἰς τὴν μισθαποδοσίαν.

Καταλέξας ἄνδρας ἐναρέτους, πάντα πίστει ἐργασαμένους, ἃ ἐποίησαν, λέγει καὶ περὶ τῶν γονέων τοῦ Μωϋσέως, ἀσήμων τινῶν, ἐντρέπων τοὺς ὀλιγοψυχοῦντας ἐκείνους, καὶ ὡσανεὶ λέγων· Ὅτι ἐκεῖνοι, οὕτως ἄσημοι, πίστιν ἔσχον· ὑμεῖς δὲ σαλεύεσθε; Προϊὼν δὲ, καὶ πόρνας εἰς μέσον παράγει, ἵνα πλέον ἐντρέψῃ.

(α) Γεν. ΜΖ', 28—31.
(1) Παρ' ἄλλοις, τῶν Αἰγύπτου θησαυρῶν.

Δημόσια Κεντρική Βιβλιοθήκη Πάτρας

Φησὶν, οὖν, Τίνος ἕνεκεν ἔκρυψαν αὐτὸν τρίμηνον, καὶ ταῦτα προστάγματος ὄντος βασιλικοῦ, τὰ ἄῤῥενα εὐθέως ἀναιρεῖσθαι; πῶς οὐκ ἐφοβήθησαν; Ἢ δῆλον, ὡς ἐπίστευσαν, ὅτι σωθήσεται. Ἡ δὲ πίστις αὐτῶν πόθεν; Ἐκ τοῦ εἶναι τὸ παιδίον *ἀστεῖον*, τουτέστιν, ὡραῖον, τῇ ὄψει χαρίεν, καὶ ἐπίστευσαν, ὅτι ὁ θεὸς ἐχαρίτωσεν αὐτὸ εὐθὺς ἐν σπαργάνοις. Οὐκ ἂν γὰρ ἄνευ θείας χάριτος, εὐθὺς ἐκ σπαργάνων οὕτως ἔμελλεν εἶναι. *Πίστει Μωϋσῆς, μέγας γενόμενος.*] Ἦλθεν ἐπὶ τὸ μάλιστα οἰκειότατον αὐτοῖς ὑπόδειγμα, τὸν Μωσῆν· διὸ καὶ ἐπιμένει πλατύνων τὰ τούτου. Ἡ δὲ σύνταξις οὕτω· *Πίστει Μωϋσῆς ἠρνήσατο λέγεσθαι υἱὸς θυγατρὸς Φαραώ.* Πότε; *Μέγας γενόμενος*, τουτέστιν, ἀνδρωθείς ἤδη. Πρόδηλον γὰρ, ὅτι ταῦτα ἐποίει, μείζονα τῶν παρόντων ἀγαθῶν λήψεσθαι θαῤῥῶν. Τὸ δὲ, *ἠρνήσατο*, τὸ μετὰ σπουδῆς ἀλλοτριῶσαι ἑαυτὸν δηλοῖ (1). *Ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν.*] Ποίας ἁμαρτίας; *Τοῦ μὴ συγκακουχεῖσθαι τῷ λαῷ τοῦ θεοῦ.* *Ἁμαρτίαν* οὖν ἐκάλεσε, τὸ μὴ συγκακουχεῖσθαι τῷ λαῷ τοῦ θεοῦ. Εἰ δὲ οἱ μὴ συγκακουχούμενοι ἑκόντες τοῖς κακοπαθοῦσιν, ἁμαρτάνουσι, τί λογιστέον περὶ τῶν κακουχούντων καὶ κακοποιούντων; *Πρόσκαιρον* οὖν *ἁμαρτίας ἀπόλαυσιν*, τὴν τῆς βασιλείου τρυφῆς μετουσίαν λέγει (2). *Μείζονα πλοῦτον ἡγησάμενος.*] Οὐκ εἶπε, *Μείζονα πλοῦτον ἡγήσατο τῶν ἐν Αἰγύπτῳ θησαυρῶν*, τὰ ἐν οὐρανοῖς ἀποκείμενα ἀγαθά· ἀλλὰ, πλέον δεικνύων αὐτοῦ τὴν ἀρετὴν, εἶπε, *τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ*, τουτέστι, τὸ ὀνειδίζεσθαι, ὡς ὕστερον ὠνειδίζετο ὁ Χριστὸς παρὰ τῶν ὑπ' αὐτοῦ εὐεργετουμένων, καὶ τελευταῖον ἐσταυρώθη. Ὁ γὰρ ἐκ τοῦ Αἰγυπτίου ῥυσθεὶς ὑπὸ Μωσέως Ἑβραῖος, αὐτὸς ἐκεῖνος αὖριον εἶπεν αὐτῷ· *Τίς*

(1) « Τὸ δὲ, ἠρνήσατο, τὸ ἐπιτεταμένον μῖσος δηλοῖ, καὶ τὴν ἐνδιάθετον πρὸς τὰ βασίλεια ἀλλοτρίωσιν. » Θεοφύλακτος.

(2) « Ἁμαρτίας ἀπόλαυσιν, τὴν μετὰ τῶν δυσσεβούντων ἐκάλεσε διωτήν. » Θεοδώρητος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμᾶς (α); Τοῦτο γὰρ καὶ ὁ Χριστὸς ἤκουσεν· *Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς* (β); *Ἡ, ὀνειδισμὸς τοῦ Χριστοῦ*, καὶ ὁ ἐπὶ τῇ πέτρᾳ κατὰ Μωσέως γογγυσμός· ἡ γὰρ πέτρα ἦν ὁ Χριστός (γ). Ὁ δὲ Μωσῆς ὑπὲρ τῆς πέτρας ἐκείνης, καὶ τοῦ δοῦναι ἐξ αὐτῆς τὸ ὕδωρ, πολλὰ ἐλοιδωρήθη ὑπὸ τῶν Ἰουδαίων. — *ΑΛΛΩΣ.* Τί ἐστι, *τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ*; Τουτέστι, τὸν ὀνειδισμὸν, ὃν ὁ Χριστὸς ὑπέμεινεν, ἢ ὃν διὰ τὸν Χριστὸν ὑπέμεινεν· ἡ γὰρ πέτρα ἦν ὁ Χριστός. Εἰκὸς γὰρ ἦν κἀκεῖνον ὀνειδίζεσθαι, ὅτε ἤκουσε· *Μὴ ἀνελεῖν με σὺ θέλεις, ὃν τρόπον ἀνεῖλες χθὲς τὸν Αἰγύπτιον*; Τοῦτό ἐστιν ὀνειδισμὸς τοῦ Χριστοῦ, τὸ μέχρι τέλους καὶ ἐσχάτης ἀναπνοῆς πάσχειν κακῶς, ὥσπερ αὐτὸς ὠνειδίζετο καὶ ἤκουεν· *Εἰ υἱὸς εἶ τοῦ θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ* (δ). Ἀμφότεροι γὰρ ὑπὸ τῶν ἰδίων συμφυλετῶν, ὑπὲρ ὧν εὐεργέτουν, ὠνειδίζοντο. — *Ἀπέβλεπε γάρ.*] Προειώρα γὰρ τοῖς τῆς πίστεως ὀφθαλμοῖς τὸν ἀγωνοθέτην.

27 Πίστει κατέλιπεν Αἴγυπτον, *μὴ φοβηθεὶς* τὸν θυμὸν τοῦ βασιλέως (ε)· τὸν γὰρ ἀόρατον ὡς ὁρῶν
28 ἐκαρτέρησε. Πίστει πεποίηκε τὸ πάσχα καὶ τὴν πρόσχυσιν τοῦ αἵματος, ἵνα μὴ ὁ ὀλοθρεύων τὰ
29 πρωτότοκα θίγῃ αὐτῶν (ζ). Πίστει διέβησαν τὴν Ἐρυθρὰν θάλασσαν ὡς διὰ ξηρᾶς· ἧς πεῖραν λαβόν-
30 τες οἱ Αἰγύπτιοι, κατεπόθησαν (η). Πίστει τὰ τείχη Ἰεριχὼ ἔπεσε, κυκλωθέντα ἐπὶ ἑπτὰ ἡμέ-
31 ρας (θ). Πίστει Ῥαὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασι, δεξαμένη τοὺς κατασκόπους μετ' εἰρήνης (ι).

Π*ίστει κατέλιπεν Αἴγυπτον.*] Πίστει ἐξῆλθε, διὰ τὸ μὴ πειράσαι τὸν θεὸν, εἰ σώζει· αὐτὸ δὲ τοῦτο τὸ μὴ πειράσαι,

(α) Ἔξοδ. Β', 14. (β) Ματθ. ΚΑ', 23. (γ) Α' Κορ. Ι, 4.
(δ) Ματθ. ΚΖ', 40. (ε) Ἔξοδ. Β', 15. (ζ) Ἔξοδ. Κεφ. ΙΒ'.
(η) Ἔξοδ. Κεφ. ΙΔ'. (θ) Ἰησ. Ναυῆ Κεφ. ς'. (ι) Ἰησ. Ναυῆ Κεφ. Β' καὶ ς'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διὰ πίστεως ἦν. Ἤ, πιστεύσας ἤξειν καὶ ἐξοίσειν *Μὴ φοβηθεὶς τὸν θυμὸν τοῦ βασιλέως.*] Καίτοι ἐ δῳ κεῖται τὸ, *ἐφοβήθη*, ἀλλ' οὐδὲν ἐναντίον. Το οὐκ ἐφοβεῖτο, ὅτι πάλιν ἦλθε· φοβουμένου γὰρ ἦν, ὑποστρέψαι εἰς Αἴγυπτον, μηδὲ πάλιν ἐγχειρίσα πρώην. Ἐπεὶ δὲ πάλιν ὑπέστρεψεν, ἔδειξεν, ὅτι π θεῷ. Τὸ οὖν, *μὴ φοβηθεὶς τὸν θυμὸν τοῦ βασιλέω* τὸ πάλιν ἐλθεῖν νόει, καὶ ἀναδέξασθαι τὴν ἡγε Ἑβραίων· τὸ πρῶτον δὲ *ἐφοβήθη*, οὐ τὸν βασιλέα βουλόμενος εἰς προῦπτον κίνδυνον ἑαυτὸν ἐπιρρί γὰρ πειράζοντος ἦν τὸν θεόν. Ἢ τὸ, *Μὴ φοβηθεὶς* τοῦ *βασιλέως*, οὕτω νόησον· Ὅτι οὐκ ἐφοβήθη, μ γένηται ὁ θυμὸς, ὡς καὶ ἀναζητῆσαι αὐτὸν φυγό οὐ μακρὰν, ἀλλ' ἐκ γειτόνων ἀπέδρα· τοῦτο δὲ π *Τὸν γὰρ ἀόρατον ὡς ὁρῶν ἐκαρτέρησε.*] Τὸν ἀό ὥσπερ ὀφθαλμοῖς σαρκικοῖς ὁρῶν, ἐκαρτέρει πάντα αὐτὸν τοῖς τῆς διανοίας ὀφθαλμοῖς, καὶ πάντα ὑπ τερῶς, τὴν μετὰ τοῦ λαοῦ κακουχίαν, τὴν φυγὴ πάντα. Μεγάλης γὰρ ὑπομονῆς ποιητικὸν τὸ ἔχειν θεὸν, ὡς καὶ ὁ Δαυὶδ φησι· *Προωρώμην τὸν Κύρι μου διαπαντὸς*, καὶ τὰ ἑξῆς (α). *Πίστει πεποίη σχα.*] Ὁ Μωσῆς, πιστεύσας, ὅτι τοῦ αἵματος ἡ χ ξει τὰ πρωτότοκα τῶν Ἑβραίων, *παρήγγειλε τῷ* ποιῆσαι. Καίτοι ἐκεῖνο ἀμνοῦ αἷμα ἦν· ἀλλ' ὅμως που τὸ τοῦ Χριστοῦ αἷμα, τοσαύτην ἰσχὺν ἔδειξ μὲν οὖν, αἵματι ἀρνοῦ ἐπίστευσαν σωθήσεσθαι, καὶ ὑμεῖς δὲ πῶς οὐ μᾶλλον πιστεύσετε, καὶ σωθήσεσθε τοῦ Χριστοῦ ἀπὸ τῶν ἐπιβουλευόντων ὑμῖν; *Καὶ χυσιν τοῦ αἵματος.*] *Πρόσχυσιν τοῦ αἵματος* ἐκ κατὰ τῶν φλιῶν τῶν θυρῶν χρίσιν, *ἵνα μὴ ὁ ὀλο

(α) Ψαλμ. ΙΕ', 8.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πρωτότοκα θίγῃ αὐτῶν· τοῦτο δὲ τύπος ἦν τοῦ αἵματος τοῦ ἀμνοῦ τοῦ θεοῦ. Διὰ γὰρ τοῦ αἵματος αὐτοῦ, τὸν ὀλοθρευτὴν σατανὰν ἀποσοβοῦμεν. *Πίστει διέβησαν τὴν Ἐρυθράν.*] Ἐπίστευσαν γὰρ διαβήσεσθαι, καὶ διέβησαν. Τοσοῦτον οἶδεν ἡ πίστις, καὶ τὰ ἀδύνατα δυνατὰ ποιεῖν! *Ἧς πεῖραν λαβόντες οἱ Αἰγύπτιοι, κατεπόθησαν.*] Ἴσως γὰρ ὑπενόουν αὐτὴν γῆν εἶναι, καὶ ἐπείρασαν καὶ αὐτοὶ παρελθεῖν· ἀλλ' ἡ αὐτῶν ἀπώλεια ἔδειξεν οὖσαν θάλασσαν ἀληθῶς, καὶ οὐ φαντασίαν τινά. Τῷ μὲν γὰρ Ἰσραὴλ, παρὰ τὴν οἰκείαν φύσιν σχισθεῖσα ἡ θάλασσα, τὸ πεζεύειν ἐδίδου· τοὺς δὲ Αἰγυπτίους, κατὰ τὴν οἰκείαν ἐπέκλυζε φύσιν. Σκοπὸς δὲ αὐτῷ ἦν, ἐναγαγεῖν αὐτοὺς εἰς τὸ πιστεύειν ταῖς μελλούσαις ἐλπίσι, καὶ διὰ τοῦτο πάντα τὸν λόγον τοῦτον ἐκίνησε. *Πίστει τὰ τείχη Ἰεριχὼ ἔπεσεν.*] Ἐπίστευσαν γὰρ, αὐτὰ καταβάλλεσθαι, καὶ δὴ ἡ πίστις καὶ τὰ παρὰ φύσιν κατώρθωσε. *Πίστει Ῥαὰβ ἡ πόρνη.*] Ἰδοὺ, ὅπερ καὶ ἀνωτέρω εἴρηται, ἀτιμότατον πρόσωπον παράγει εἰς μέσον, ἵνα ἐντρέψῃ καὶ διὰ τούτου, εἴγε τοιαύτης γυναικὸς ἥττους φαίνοιντο· καὶ ἅμα δείξῃ καὶ τὴν δύναμιν τῆς πίστεως μεγάλην οὖσαν, εἴγε καὶ ἐν τοῖς κατεγνωσμένοις τοιαῦτα κατορθοῖ. Ἐκείνη γάρ, ἀκούσασα τῶν ἀνδρῶν ἀπαγγελλόντων, ἐπίστευσε, καὶ ὑπεδέξατο αὐτοὺς, καίτοι τῶν λοιπῶν ἀπιστησάντων.

32 Καὶ τί ἔτι λέγω; Ἐπιλείψει γάρ με διηγούμενον ὁ χρόνος περὶ Γεδεών, Βαράκ τε καὶ Σαμψών, καὶ Ἰεφθάε, Δαυίδ τε καὶ Σαμουὴλ, καὶ τῶν προφητῶν·
33 οἳ διὰ πίστεως κατηγωνίσαντο βασιλείας, εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν, ἔφραξαν
34 στόματα λεόντων, ἔσβεσαν δύναμιν πυρὸς, ἔφυγον στόματα μαχαίρας, ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας, ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ, παρεμβολὰς ἔκλι-
35 ναν ἀλλοτρίων· ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν· ἄλλοι δὲ ἐτυμπανίσθησαν, οὐ προσδεξάμενοι τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος ἀνα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

36 στάσεως τύχωσιν· ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μαστί-
γων πεῖραν ἔλαβον, ἔτι δὲ δεσμῶν καὶ φυλακῆς·
37 ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐπειράσθησαν, ἐν φόνῳ
μαχαίρας ἀπέθανον· περιῆλθον ἐν μηλωταῖς, ἐν
αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακου-
38 χούμενοι, (ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος,) ἐν ἐρημίαις
πλανώμενοι καὶ ὄρεσι, καὶ σπηλαίοις καὶ ταῖς
39 ὀπαῖς τῆς γῆς. Καὶ οὗτοι πάντες μαρτυρηθέντες
διὰ τῆς πίστεως, οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν,
40 τοῦ θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου,
ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν.

Καί τι ἔτι λέγω;] Καταλύσας τὸν λόγον εἰς τὴν πόρνην, καὶ ἐντρέψας αὐτοὺς ἀπὸ τῆς τοῦ προσώπου ποιότητος, λοιπὸν συντομίας χάριν, τὰ μὲν ὀνόματα οὐκ ὀνομάζει πάντων, ἵνα μὴ ἀπειρόκαλος δόξῃ· οὐ μὴν δὲ ἐᾷ τὸν λόγον· ἀλλὰ δοκῶν παραλείπειν, οὐ παραλείπει· καὶ οὕτως οὔτε τὸν ἀκροατὴν ἀποκναίει, καὶ οὐδὲν ἧττον κατασκευάζει διὰ πλειόνων ὃ βούλεται. *Διηγούμενον ὁ χρόνος.*] Ὁ χρόνος, ὁ τῇ ἐπιστολῇ ἁρμόδιος, καὶ οἱονεὶ σύμμετρος. *Περὶ Γεδεών, Βαράκ τε καὶ Σαμψών, καὶ Ἰαφθάε, Δαυΐδ τε καὶ Σαμουήλ.*] Τούτων τὰ μὲν ὀνόματα τέθεικε· τὰ δὲ τῶν κατορθωμάτων ἐσιώπησεν εἰδώς· ἐν δὲ τοῖς ἑξῆς ἀσαφῶς μέν, λέγει δὲ ὅμως τὰ ἑκάστου πλεονεκτήματα. Εἶτα κοινῇ μνημονεύει τῶν ἄλλων, καί φησι· *Καὶ τῶν προφητῶν. Οἳ διὰ πίστεως.*] Πάντες οὗτοι διὰ πίστεως ἐποίησαν, ἅπερ ἐποίησαν. *Κατηγωνίσαντο.*] Ἐνίκησαν, κατέβαλον. Τίνας; Ἀβραὰμ ἐνίκησε τοὺς αἰχμαλωτεύσαντας τὸν ἀνεψιὸν αὐτοῦ Λὼτ βασιλεῖς, καὶ τὸν Γεράρων (α)· Μωσῆς, τὸν Αἰγύπτου, καὶ ἄλλους πολλοὺς· Ἰησοῦς, πλείους (1). *Εἰργάσαντο δικαιοσύνην.*] Ἀβραὰμ, Φινεές. Ἐνταῦθα περὶ τοῦ Δαυΐδ, οἶμαι, λέγει· *δικαιοσύνην* δὲ, τὴν φιλανθρωπίαν ἐκάλεσεν. *Ἐπέτυχον*

(α) Γενεσ. Κεφ. ΙΔ'. Κ'. (1) « Γεδεὼν τὴν Μαδιὰμ κατηνάλωσε, Σαμψὼν, τοὺς ἀλλοφύλους, Βαράκ, τὸν Σισάρα, Δαυΐδ, καὶ Ἀμμανίτας, καὶ Ἀμαληκίτας, καὶ Σύρους ἑκατέρους, Σαμουὴλ, τοὺς ἀλλοφύλους· » Θεοδώρητος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπαγγελιῶν.] Καὶ τῷ Ἀβραὰμ ἐπηγγείλατο ὁ θεὸς, ἐν τῷ σπέρματι αὐτοῦ εὐλογήσειν πάντα τὰ ἔθνη, καὶ τῷ Ἰσαὰκ καὶ τῷ Ἰακὼβ τὴν αὐτὴν ἔδωκεν εὐλογίαν· καὶ μέντοι καὶ τῷ Δαυὶδ τὰς περὶ τοῦ δεσπότου Χριστοῦ δέδωκεν ὑποσχέσεις. Ὤμοσε γάρ, φησι, Κύριος τῷ Δαυίδ· *Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τὸν θρόνον σου* (α)· ὅπερ αἰσθητῶς μὲν εἰς Σολομῶντα ἀπέβη· νοητῶς δὲ, εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν ὄντως Σολομῶντα, τὸν εἰρηνικὸν, τὸν εἰρήνην αὐτόχρημα. Τοῦτο γὰρ ἑρμηνεύεται *Σολομών*, εἰρηνικός. Ἐπηγγείλατο δὲ καὶ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον, καὶ τὴν ἐπαγγελίαν πεπλήρωκεν. *Ἔφραξαν στόματα λεόντων.*] Ὁ Δανιὴλ, καὶ ὁ Σαμψών. *Ἔσβεσαν δύναμιν πυρός.*] Οἱ τρεῖς παῖδες, Ἀνανίας, Ἀζαρίας, καὶ Μισαήλ. Οὐκ εἶπε δὲ, Ἔσβεσαν πῦρ, ἀλλὰ, *Δύναμιν πυρὸς*, ὃ καὶ μεῖζον. Ἐξαπτόμενον γὰρ, ὅλως δύναμιν τοῦ καίειν οὐκ εἶχε κατ' αὐτῶν. *Ἔφυγον στόματα μαχαίρας.*] Οἷον, Ἠλίας, τῆς Ἰεζάβελ, καὶ Δαυὶδ δὲ αὐτὸς, τῆς τοῦ Σαούλ. *Ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας.*] Καὶ περὶ τῶν ἐπανελθόντων ἐκ Βαβυλῶνος λέγει· νεκρῶν γὰρ ὀστέων οὐδὲν διέφερον, ὡς παρὰ τῷ Ἰεζεκιὴλ εἴρηται (β)· καὶ περὶ Ἐζεκίου, ὃς ἀσθενήσας, προσθήκην ζωῆς ἔλαβεν. *Ἐγενήθησαν ἰσχυροί.*] Ἀβραὰμ, Μωσῆς, Ἰησοῦς, Σαμψὼν, καὶ Δαυὶδ, καὶ οἱ ἐπανελθόντες ἀπὸ Βαβυλῶνος· οἳ οὐ μόνον ἀπηλλάγησαν ἀπὸ τῆς αἰχμαλωσίας διὰ τῆς πίστεως, ἀλλὰ καὶ τὰ πρόσοικα ἔθνη ἐνίκησαν. *Ἔλαβον γυναῖκες.*] Ἡ Σωμανίτις δι' Ἐλισσαίου, καὶ πρώην ἡ Σαραφθία διὰ τοῦ Ἠλιοῦ. *Ἐτυμπανίσθησαν.*] Ἤ, ἀπετμήθησαν, ὡς ὁ Ἰάκωβος, καὶ Ἰωάννης, καὶ ὅσοι ἀποκεφαλίσθησαν, ἢ διὰ ῥοπάλων τυφθέντες ἀπέθανον. Ἄλλοι δὲ τὸ, *τυμπανίζεσθαι*, τὸ ἐκδέρεσθαί φασιν. Εἴρηται δὲ καὶ περὶ τῶν Μακκαβαίων (γ). *Οὐ προσδεξάμενοι τὴν ἀπολύτρωσιν.*] Οἷον, μὴ δεξάμενοι λυτρωθῆναι τῆς ἐπαγομένης αὐτοῖς τιμωρίας. Ἔξον γὰρ ἦν

(α) Ψαλμ. ΡΛΑ', 11. (β) Ἰεζ. ΑΖ', 11. (γ) Β' Μακκαβ. Κεφ. Ζ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτοῖς ζῆν, οἱ δὲ οὐκ ἠβουλήθησαν. Καὶ τοῦτο δὲ πίστεως ἦν· ὅθεν φησίν· *Ἵνα κρείττονος ἀναστάσεως τύχωσιν.*] Οἷον, κρείττονος ἢ οἵας οἱ λοιποὶ ἄνθρωποι. Ἡ μὲν γὰρ ἀνάστασις, πᾶσι κοινή· ἀλλ' οὗτοι μὲν ἀναστήσονται εἰς ζωὴν αἰώνιον· οἱ δὲ, εἰς κόλασιν αἰώνιον. *Ἕτεροι δὲ ἐμπαιγμῶν.*] Οἷον, ὁ Ἐλισσαῖος, παιζόμενος ὑπὸ τῶν παιδαρίων (α), ἢ ὁ Σαμψὼν, ὑπὸ τῶν ἀλλοφύλων μετὰ τὸ ἐκκοπῆναι τοὺς ὀφθαλμούς (β). *Καὶ μαστίγων.*] Καὶ πολλοὶ τῶν προφητῶν, καὶ οἱ ἀμφὶ τὸν Πέτρον ὕστερον καὶ τὸν Ἰωάννην (γ). *Ἔτι δὲ δεσμῶν καὶ φυλακῆς.*] Ἱερεμίας, καὶ Μιχαίας, καὶ οἱ ἀπόστολοι ὕστερον (δ). *Ἐλιθάσθησαν.*] Περὶ τοῦ Στεφάνου λέγει καὶ τοῦ Ναβουθαί (ε). Ἐλιθάσθη καὶ Ζαχαρίας ὁ ἱερεύς, ὁ υἱὸς Ἰωδαέ (ζ). *Ἐπρίσθησαν.*] Περὶ τοῦ Ἡσαΐου λέγει, ὃν, ὥς φασι, καὶ ξυλίνῳ πρίονι ἔπρισαν ἵνα ἐπὶ πολὺ διαρκέσῃ ἡ τιμωρία. *Ἐπειράσθησαν.*] Ὡς Ἀβραὰμ (η), ὁ Ἰακώβ, ὁ Μωσῆς (θ), ὁ Ἰώβ. *Ἐν φόνῳ μαχαίρας ἀπέθανον.*] Οὐρίας (ι), καὶ Μιχαίας, καὶ Ζαχαρίας, καὶ Ἰωάννης, καὶ Ἰάκωβος. Ὅρα δὲ, πῶς οἱ μὲν ἀπὸ πίσεως, στόματος μαχαίρας ἔφυγον· οἱ δὲ, ἐν φόνῳ μαχαίρας ἀπέθανον. Τοιοῦτο γὰρ ἡ πίστις· καὶ ἀνύει μεγάλα, καὶ πάσχει μεγάλα, καὶ οὐδὲν οἴεται πάσχειν. Πῶς οὖν ὑμεῖς, μήπω μηδὲν τοιοῦτον πα θόντες, ἀθυμονεῖτε; *Περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι.*] Οὕτως Ἠλίας ὁ μέγας, οὕτως Ἐλισσαῖος, ὁ τῆς ἐκείνου χάριτος κληρονόμος, οὕτως οἱ πλεῖστοι τῶν προφητῶν, οἳ οὐδὲ οἰκίας ἔσχον, ἀλλὰ ξύλα τέμνοντες, καλύβας ἑαυτοῖς κατεσκεύαζον. Ταῦτα δὲ ἀπὸ ἀκτημοσύνης ἔπασχον. Τὸ δὲ, *περιῆλθον*, τὸ διώκεσθαι αὐτοὺς δηλοῖ καὶ ἀστατεῖν. *Μηλωτὴ* δὲ, τὸ τοῦ μήλου, ἤτοι, τοῦ προβάτου, *δέρμα. Κακουχούμενοι.*] Κακῶς πάσχοντες. Οὐ μικρὰ γὰρ Ἠλίᾳ ἀνιζάβελ ἔθλιβε διώκουσα. *Ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος.*] Οὐ

(α) Δ' Βασιλ. Β', 23. (β) Κριτ. Ις', 25. (γ) Πραξ. Ε', 40. (δ) Ἱερ. ΛΘ', 2. Γ' Βασιλ. ΚΒ', 24.—27. (ε) Πραξ. Ζ', 58. 59. Γ' Βασιλ. ΚΛ', 14. (ζ) Β' Παραλ. ΚΔ', 21. (η) Γενεσ. ΚΒ', 1. (θ) Ἐξοδ. ΙΕ', 25. (ι) Ἱερ. ΑΓ', 23.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἔχετέ, φησιν, εἰπεῖν, ὅτι ἁμαρτωλοί ὄντες, τοιαῦτα ἔπασχον· ἀλλὰ τοιοῦτοι, οἷοι καὶ τοῦ κόσμου αὐτοῦ τιμιώτεροι εἶναι. Τοῦτο καὶ αὐτοὺς παραθαῤῥύνει. Εἰ γὰρ τῶν κακῶς πασχόντων διὰ τὸν θεὸν οὐκ ἦν ἄξιος ὁ κόσμος οὗτος, τουτέστιν, οἱ πάντες ἄνθρωποι καὶ ἡ κτίσις αὐτὴ, διὰ τί ὑμεῖς, φησι, βούλεσθε ἐνταῦθα τὰς ἀμοιβὰς κομίσασθαι τῶν διὰ τὸν Χριστὸν θλίψεων; Κρείττονες γὰρ ὄντες τοῦ κόσμου, μὴ ζητεῖτέ τι ἐν τῷ κόσμῳ τούτῳ (1). *Ἐν ἐρημίαις πλανώμενοι.*] Ὁ Ἠλίας, καὶ οἱ προφῆται, οὓς ἔτρεφεν Ἀβδιοῦ κρύβδην ἐν σπηλαίῳ (α). Ὅρα δὲ, ὅτι οὐδὲ τὴν ἔρημον, φησι, καταλαβόντες, ἡσυχίας ἐπέτυχον, ἀλλὰ κἀκεῖθεν ἐλαυνόμενοι ἐπλανῶντο, δέει τῶν διωκόντων. Ἀλλ' ὅμως ἐπίστευον παράκλησιν αἰώνιον λήψεσθαι παρὰ θεοῦ, καὶ ὑπέμενον ταῦτα. *Καὶ οὗτοι πάντες.*] Τί, φησιν, ἀδημονεῖτε καὶ ἀγανακτεῖτε, ἔτι ἐν τῷ ἀγῶνι ὄντες, εἰ μὴ τὰς ἀμοιβὰς δέξησθε; Καίτοι οἱ εἰρημένοι πάντες ἅγιοι, *μαρτυρηθέντες* εὐηρεστηκέναι διὰ τῆς προσούσης αὐτοῖς πίστεως, οὔπω τετυχήκασι τῶν ἐπηγγελμένων τοῖς δικαίοις ἀγαθῶν, τῶν ἐν οὐρανοῖς. *Τοῦ θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου.*] Πῶς κρεῖττόν τι; Ἵνα γάρ, φησι, μὴ πλέον ἡμῶν ἔχωσιν ἐκεῖνοι ἐν τῷ πρῶτοι στεφανωθῆναι, ἕνα πᾶσι καιρὸν ὥρισεν ἀνταποδόσεως, ἵνα καὶ ἡμεῖς σὺν αὐτοῖς στεφανωθῶμεν. Τοῦτο δὲ ὑπὲρ ἡμῶν ἐστιν· ἐκεῖνοι γὰρ κάθηνται ἀγέραστοι, τὴν ἡμῶν περιμένοντες ἐπισταστίαν. *Ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν.*] Οὐκ εἶπε, στεφανωθῶσιν, ἀλλ', ὃ μείζονα ἔμφασιν ἔχει, *τελειωθῶσι*, φησὶ, τουτέστι, τὸ πέρας τῶν ἀγαθῶν καὶ ὑπὲρ οὗ κάμνει πᾶσα σπουδαίου κίνησις ἀπολάβωσι.

---

(1) « Κόσμον, καὶ τὸ πλῆθος τῶν ἀνθρώπων, καὶ τὴν κτίσιν αὐτήν φησιν ἡ Γραφή. Κἀνταῦθα οὖν ἀμφότερα. Ἐὰν οὖν, φησι, πᾶσαν τὴν κτίσιν μετὰ τῶν ἐν αὐτῇ ἀνθρώπων ἀντιτήσῃς τούτοις, οὐδὲν ἀντάξιον εὑρήσεις αὐτῶν. Ἐνταῦθα δὲ διανίστησιν αὐτῶν τὰς καρδίας, ὥστε μηδὲν ζητεῖν τῶν ἐν τῷ κόσμῳ, εἴγε ὁ κόσμος οὐκ ἔστιν ἄξιος τῶν ἁγίων. » Θεοφύλακτος. (α) Γ' Βασιλ. ΙΗ', 4.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Περὶ ὑπομονῆς τῆς ἐν ἀκολουθήσει Χριστοῦ.

ΚΕΦ. XII, 1 Τοιγαροῦν καὶ ἡμεῖς, τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρτύρων, ὄγκον ἀποθέμενοι πάντα, καὶ τὴν εὐπερίστατον ἁμαρτίαν, δι' ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα· 2 ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν, ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς, ὑπέμεινε σταυρόν, αἰσχύνης καταφρονήσας, ἐν δεξιᾷ τε τοῦ θρόνου τοῦ θεοῦ κεκάθικεν·

Τοιγαροῦν καὶ ἡμεῖς, τοσοῦτον ἔχοντες περικείμενον.] Οὐκ εἶπεν, ἐπαιωρούμενον, ἀλλ', ὃ πλέον ἦν, *περικείμενον*, τουτέστι, πάντοθεν ἡμᾶς περιέχον. *Νέφος μαρτύρων.*] Ἡ μὲν γὰρ μνήμη τῶν μαρτύρων κεῖται εἰς τὸ ἐρεθίσαι αὐτοὺς ἐπὶ τὸν ὅμοιον τῶν ἀγώνων ζῆλον· *νέφος* δὲ ἐκάλεσεν αὐτοὺς, ἢ ἀπὸ μεταφορᾶς τῶν ὑπὸ καύματος καταφλεγομένων καὶ ὑπεισελθόντων εἰς νεφέλην δροσίζουσαν, καὶ παραμυθηθέντων· καὶ γὰρ ἡ τῶν ἁγίων μνήμη τοὺς ὑπὸ τοῦ καύσωνος τῶν πειρασμῶν ἐκλελυμένους παραμυθεῖται· ἢ ὅτι νοητὴν ἡμῖν δρόσον νέμουσιν, ὑπὲρ ἡμῶν τὸν θεὸν ἱκετεύοντες (1). Ὄγκον *ἀποθέμενοι πάντα.*] Ἀποθέμενοί, φησι, τὸ βάρος τῶν βιωτικῶν πραγμάτων, καὶ τῶν ἐπ' αὐτοῖς φροντίδων· καὶ μετ' αὐτῶν τὴν ὀλιγωρίαν, καὶ τὴν ῥᾳθυμίαν. *Καὶ τὴν εὐπερίστατον ἁμαρτίαν.*] Ἤτοι τὴν εὐκόλως περιϊσταμένην ἡμᾶς, ἢ τὴν εὐκόλως περίστασιν παθεῖν δυναμένην. Ῥᾴδιον γὰρ, ἐὰν θέλωμεν, περιγενέσθαι τῆς ἁμαρτίας (2). *Δι' ὑπομονῆς τρέχωμεν.*] Οὐ γὰρ ἄλλως τις τὸ βάρος ἀπωθεῖται

(1) « Οὐκ εἶπε δὲ, πλῆθος, ἀλλὰ, νέφος, οἰκειότατα πρὸς τὴν παροῦσαν ὑπόθεσιν. Ἐπεὶ γὰρ καύσωνα εἶχον αὐτοὶ τῶν θλίψεων, ὥσπερ τις νεφέλη, φησὶν, ἡ μνήμη τῶν μαρτύρων ἀναψύχει ὑμᾶς πάντοθεν περιέχουσα. » Θεοφύλακτος.

(2) « Εὐπερίστατον τὴν ἁμαρτίαν ἐκάλεσεν, ὡς εὐκόλως συνισταμένην τε καὶ γινομένην. Καὶ γὰρ ὀφθαλμὸς θελεάζεται, ἀκοὴ καταθέλγεται, ἁφὴ γαργαλίζεται, καὶ γλῶσσα ῥᾳστα διολισθαίνει, καὶ ὁ λογισμὸς περὶ τὸ χεῖρον ὀξύῤῥοπος. » Θεοδώρητος.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν βιωτικῶν, ἢ δι' ὑπομονῆς· τῆς δὲ ὑπομονῆς ἐμνήσθη, ὡς μάλιστα ἁρμοδίου ἐκείνοις. Οὐκεῖπε δὲ, πυκτεύομεν, ἢ, πολεμῶμεν, ἀλλ', ὃ κοῦφον ἦν, *τρέχωμέν*, φησι, τὸν ἀγῶνα. Ὁ γὰρ παρὼν βίος, ἀγών ἐστιν· ἀγὼν δὲ, κατὰ τῶν ἁμαρτιῶν καὶ ἐπιθυμιῶν, καὶ τῶν νοητῶς ἀντιπαλαιόντων ἡμῖν. Τοῦτον οὖν τρέχωμεν καὶ κατορθῶμεν τὸν ἀγῶνα. *Ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγόν.*] Εἰς τὸ κεφάλαιον τῆς παρακλήσεως ἦλθε, τὸν Χριστὸν, καὶ φησιν· Εἰ βουλόμεθα ὑπομονήν τε ἔχειν καὶ τρέχειν καλῶς, πρὸς τὸν Χριστὸν ἀπίδωμεν, καὶ μανθάνομεν καὶ τρέχειν καλῶς καὶ ὑπομένειν. *Ἀρχηγὸν* δὲ αὐτὸν, καὶ, *τελειωτὴν*, καλεῖ, τοῦτο δεικνὺς, ὅτι αὐτὸς καὶ τοῦ ὅλως πιστεῦσαι ἡμῖν αἴτιος γίνεται, καὶ αὐτὸς πέρας ἐπιτίθησι τῇ πίστει, ὥστε ἔχειν αὐτὴν ἡμᾶς βεβαίαν καὶ ἀσάλευτον. *Ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς.*] Ἐξὴν γὰρ αὐτῷ, φησι, μετὰ δόξης καὶ χαρᾶς διάγειν ἐν τῷ κόσμῳ· *Ἐξουσίαν* γάρ, φησιν, *ἔχω θεῖναι τὴν ψυχήν μου καὶ λαβεῖν αὐτήν* (α)· ἀλλ' οὐκ ἠβουλήθη· ἀλλ' ἑκουσίως ὑπέμεινε σταυρὸν, *αἰσχύνης καταφρονήσας*· καὶ γὰρ ἦν ἐπονείδιστος καὶ ἐπικατάρατος ὁ διὰ σταυροῦ θάνατος. Ἂν εἰς τοῦτον οὖν ἀπίδωμεν, καὶ ἡμεῖς ὑπομενοῦμεν, ὡς καὶ αὐτὸς ὑπέμεινεν. Ἢ τὸ, *ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς*, οὕτω δέξαι, ὡς καὶ Γρηγόριος φησίν· « Ὃν ἐξὸν μένειν ἐπὶ τῆς ἰδίας δόξης τε καὶ θεότητος, οὐ μόνον ἑαυτὸν ἐκένωσεν ἄχρι τῆς δούλου μορφῆς, ἀλλὰ καὶ σταυρὸν ὑπέμεινεν, αἰσχύνης καταφρονήσας. » *Ἐν δεξιᾷ τε τοῦ θρόνου τοῦ θεοῦ κεκάθικεν.*] Ὁρᾷς τὸ τέλος τῆς ὑπομονῆς ποῦ ἀναβιβάζει; ὃ καὶ ἀλλαχοῦ φησι· *Διὸ καὶ ὁ θεὸς αὐτὸν ὑπερύψωσε* (β), τὸ κατὰ σάρκα λέγων. Ὥστε ἱκανός ἐστι καὶ ὑμᾶς ἀμείψασθαι ὑπὲρ τῶν δι' αὐτὸν θλίψεων. Οὐ γὰρ μόνον ἐσταυρώθη, ἀλλὰ καὶ ἐν δεξιᾷ κάθηται τοῦ θεοῦ, *τῆς δεξιᾶς*, καὶ, *τῆς καθέδρας*, τὸ ἰσότιμον παριστώσης.

(α) Ἰωαν. Ι', 18. (β) Φιλιπ. Β', 9.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

3 Ἀναλογίσασθε γὰρ τὸν τοιαύτην ὑπομεμενηκότα
ὑπὸ τῶν ἁμαρτωλῶν εἰς αὐτὸν ἀντιλογίαν, ἵνα μὴ
4 κάμητε, ταῖς ψυχαῖς ὑμῶν ἐκλυόμενοι. Οὔπω μέ-
χρις αἵματος ἀντικατέστητε, πρὸς τὴν ἁμαρτίαν
5 ἀνταγωνιζόμενοι· καὶ ἐκλέλησθε τῆς παρακλήσεως,
ἥτις ὑμῖν ὡς υἱοῖς διαλέγεται· «Υἱέ μου, μὴ ὀλι-
γώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου, ὑπ' αὐτοῦ ἐλεγ-
6 χόμενος· ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει· μαστι-
7 γοῖ δὲ πάντα υἱὸν, ὃν παραδέχεται (α).» Εἰ παιδείαν
ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ θεός· τίς
8 γάρ ἐστιν υἱὸς, ὃν οὐ παιδεύει πατήρ; Εἰ δὲ χωρὶς
ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα
9 νόθοι ἐστὲ καὶ οὐχ υἱοί. Εἶτα τοὺς μὲν τῆς σαρκὸς
ἡμῶν πατέρας εἴχομεν παιδευτὰς, καὶ ἐνετρεπόμε-
θα· οὐ πολλῷ μᾶλλον ὑποταγησόμεθα τῷ πατρὶ
τῶν πνευμάτων, καὶ ζήσομεν;

Ἀναλογίσασθε γάρ.] Εἰ γὰρ ὁ τὰ τῶν ὁμοδούλων ἀναλογιζόμενος πάθη, ἔχει παραμυθίαν ἐν τοῖς οἰκείοις πάθεσι, πόσῳ μᾶλλον ὁ τὰ τοῦ δεσπότου, τοῦ τοιαύτην ἀντιλογίαν ὑπομείναντος; *Ἀντιλογίαν* δέ φησι τὸν γέλωτα, τὰς πληγὰς, τὰς χλευασίας, καὶ ὅσα ἀντέλεγον τοῖς αὐτοῦ δόγμασι καὶ διδάγμασι, καὶ τὰς ἐπὶ τοῦ Πιλάτου κραυγὰς, καὶ τελευταῖον, τὸν σταυρὸν αὐτόν. Καὶ, τὸ μεῖζον, ὅτι καὶ ὑπὸ ἁμαρτωλῶν, τῶν ἐθνικῶν δηλαδὴ, ἢ καὶ αὐτῶν τῶν Ἰουδαίων, ταῦτα ὑπομεμένηκεν. *Ἵνα μὴ κάμητε, ταῖς ψυχαῖς ὑμῶν ἐκλυόμενοι.*] Εἰ γὰρ ταῦτα ἀναλογιεῖσθε, φησὶ, στομωθήσεσθε πρὸς τοὺς πειρασμοὺς, εἰδότες μιμητὰς ἑαυτοὺς γινομένους θεοῦ (1). *Οὔπω μέχρις αἵματος ἀντικατέστητε.*] Ἐμαρτύρησεν αὐτοῖς ἀνωτέρω, πολλὰ ἠθληκέναι, ἐν οἷς φησι· *Πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων* (β). Ἵνα οὖν μὴ ἐπαρθῶσιν ἐκ τούτου, λέγει νῦν, ὅτι οὔπω τελείως ἠγωνίσασθε· δεῖ ὑμῖν καὶ ἑτέρου τινός·

(α) Παροιμ. Γ', 11. 12. (1) « Τὸ γὰρ ἀναλογίσασθαι τὸν Χριστὸν, τονώσει ὑμῶν τὰς ψυχὰς καὶ νευρώσει, καὶ οὐκ ἐάσει ἐκλελύσθαι καὶ ἀπαγορεῦσαι πρὸς τὰς θλίψεις, » Θεοφύλακτος. (β) Ἑβρ. Γ', 22.

Δημοσία κεντρική Βιβλιοθήκη Βόλου

ὅπερ καὶ τοῦτο εἶδός ἐστι παρακλήσεως. Καὶ ὅρα σοφίαν! Μεθ' ὧν ἐμνήσθη τῶν ἀρχαίων ἁγίων, τῶν μεγάλα ὑποστάντων, καὶ αὐτοῦ τοῦ Κυρίου, τότε δείκνυσι τὰ αὐτῶν μηδὲν ὄντα. Οὕπω γάρ, φησιν, ἄχρι θανάτου ἐφθάσατε, ἀλλ' ἄχρι διωγμῶν, ἄχρι ἁρπαγῆς· ὁ δὲ Ἰησοῦς Χριστὸς ἄχρι θανάτου ἦλθεν. *Ἀντικατέστητε δὲ εἰπὼν, δείκνυσι καὶ τὴν ἁμαρτίαν σφοδρὸν πνέουσαν, καὶ ἀντικειμένην, καὶ αὐτοὺς δὲ ἑστῶτας καὶ ἀγωνιζομένους, οὔπω μέντοι ἐν τοῖς καιριωτέροις, ἀλλ' ἐν τοῖς κουφοτέροις· τὸ γάρ, ἀντικατέστητε, οἷον εἰς παράταξιν, εἰς πόλεμον, ὡς καὶ τῆς ἁμαρτίας ἀνθεστώσης. Πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι.*] *Πρὸς τὴν ἁμαρτίαν*, ἤτοι πρὸς τὸν διάβολον, τὸν αὐτόχρημα ἁμαρτίαν, ὡς εὑρετὴν αὐτῆς καὶ διδάσκαλον· ἢ πρὸς αὐτὴν τὴν ἁμαρτίαν καὶ τὰ αὐτῆς ἄτιμα πάθη, τὰ πολέμια ἡμῖν καὶ ὀλέθρια. *Καὶ ἐκλέλησθε τῆς παρακλήσεως.*] Τοσοῦτον, φησὶν, ἠθυμήσατε καὶ ἐξελύθητε, ὥστε καὶ τῶν εἰς ἀνδρείαν παρακαλούντων λόγων ἐπιλέλησθε, καίτοι μήπω παθόντες τι μέγα. Τοῦτο δὲ δηλοῖ αὐτοὺς ἄγαν ἀπωκνηκότας· οἱ γὰρ τοιοῦτοι, καὶ τῶν ἐν χερσὶν ἐπιλανθάνονται. *Ἥτις ὑμῖν ὡς υἱοῖς διαλέγεται.*] Οὐ γὰρ υἱοῖς ἰδίοις ἐλάλει ὁ Σολομὼν, ἀλλὰ κοινὴν πᾶσι, τοῖς ἀκούειν δυναμένοις, διδασκαλίαν ἐξετίθετο, καὶ ἡμῖν δὲ πάντως. Διὰ τοῦτο τὸ, ὡς, κεῖται. *Ἀπ' αὐτοῦ ἐλεγχόμενος.*] Μεγίστη παράκλησις τὸ εἰδέναι, ὅτι κατὰ συγχώρησιν θεοῦ πρὸς ἡμέτερον ὄφελος οἱ πειρασμοὶ ἐπέρχονται· αἱ γὰρ θλίψεις φιλοσοφεῖν πείθουσιν. Εἰ δὲ κατὰ συγχώρησιν ἐπέρχονται θεοῦ, παρ' αὐτοῦ δοκοῦσιν ἐπιέναι. *Ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει.*] Οὐδεὶς γὰρ δύναται δεῖξαι δίκαιον χωρὶς θλίψεως· ἐπειδὴ στενή ἐστι καὶ τεθλιμμένη ἡ εἰς τὴν ζωὴν ἀπάγουσα ὁδός (α). Τοιγαροῦν καὶ ὑμᾶς εἰς παιδείαν καλεῖ ὁ θεὸς, οὐκ εἰς κόλασιν. Αὐτῷ οὖν, ᾧ ἐνόμιζον ἐγκαταλελεῖφθαι διὰ τοὺς πειρασμοὺς, δι' αὐτοῦ πείθει αὐτοὺς, ὡς ἐν φροντίδι εἰσὶ παρὰ τῷ θεῷ· τὸ γὰρ ἐναντίον ἦν ἂν ἐγκατάλειψις, εἰ ἄνευ θλί-

(α) Ματθ. Ζ, 14.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ψεως διῆγον. *Μαστιγοῖ δὲ πάντα υἱὸν, ὃν παραδέχεται.*] Προειπὼν, ὅτι *παιδεύει*, τότε ἐπήγαγε τὸ, *μαστιγοῖ*, ἵνα μὴ ὡς κακίας ἔκτισιν, ἀλλ' ὡς παίδευσιν νοήσῃς τὴν μαστίγωσιν τοῦ υἱοῦ. Ὃν δὲ *παραδέχεται*, τουτέστι, παρ' ἑαυτῷ, ὃν ἀποδέχεται, ὃν προσλαμβάνει εἰς τὸ εἶναι αὐτοῦ υἱόν. *Εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ θεός.*] Ἐπεὶ οὖν δεῖγμα υἱῶν τὸ παιδεύεσθαι, ὑπομένετε, φησὶ, τὴν παιδείαν. *Τίνι δὲ τοῦ θεοῦ, οἱ δίκαιοι. Εἰ δὲ χωρὶς ἐστὲ παιδείας.*] Πείσας πρῶτον ἀπὸ πραγμάτων, τῷ παραγαγεῖν τοὺς τοσούτους ἁγίους διὰ θλίψεως ἀγωνισαμένους, νῦν καὶ ἀπὸ λογισμῶν ἀνθρωπίνων πεῖσαι αὐτοὺς ἐπιχειρεῖ. *Ἄρα νόθοι ἐστὲ, καὶ οὐχ υἱοί.*] Εἰ οὖν νόθων μὲν σημεῖον, τὸ μὴ παιδεύεσθαι, γνησίων δὲ, τὸ παιδεύεσθαι, δεῖ, φησὶ, χαίρειν ἐπὶ τῇ παιδείᾳ. *Καὶ ἐντρεπόμεθα.*] Ἐκ τῶν καθ' αὑτοὺς πάλιν ἀποδείκνυσιν, ὅτι δεῖ ὑπομένειν. Εἰ γὰρ ὅταν οἱ σαρκικοὶ πατέρες ἐπαίδευον ἡμᾶς, οὐκ ἐτολμῶμεν ἀποπηδῆσαι, ἀλλ' ἠκούομεν αὐτῶν, καὶ ἠρυθριῶμεν αὐτοὺς, καὶ ὑπεμένομεν, ὅσα ἂν ἐπέφερον· πόσῳ μᾶλλον νῦν, τοῦ θεοῦ παιδεύοντος; Ὅρα δὲ, ὅτι οὐκ εἶπε, Πόσῳ μᾶλλον ὑπομενοῦμεν, ἀλλ', *Ὑποταγησόμεθα·* δεικνὺς, ὅτι ἀντιςάτου ἐστὶ καὶ ἀντιθέου τὸ μὴ ὑπομένειν θλῖψιν. *Τῷ πατρὶ τῶν πνευμάτων.*] Ἤτοι τῶν χαρισμάτων, ἢ τῶν ψυχῶν, ἢ τῶν ἀσωμάτων δυνάμεων· πρὸς γὰρ ἀντιδιαστολὴν τῶν σαρκικῶν πατέρων εἶπε τὸ πνευματικόν. *Καὶ ζήσομεν.*] Τοῦτο γὰρ ζωὴ, τὸ ὑποτετάχθαι θεῷ· ὁ γὰρ ἀνυπότακτος, οὐδὲ ζῇ· ἔξω γὰρ ἐστὶ τοῦ θεοῦ, ὃς ἐστι ζωή.

10 Οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας, κατὰ τὸ δοκοῦν
αὐτοῖς, ἐπαίδευον· ὁ δὲ, ἐπὶ τὸ συμφέρον, εἰς τὸ
11 μεταλαβεῖν τῆς ἁγιότητος αὐτοῦ. Πᾶσα δὲ παιδεία πρὸς μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης· ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι' αὐτῆς γεγυμνασμένοις ἀποδίδωσι δικαιοσύνης.

Οἱ *μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας.*] Οὐδὲ γὰρ ἰσχύουσι δι' ὅλου

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παιδεύειν ἡμᾶς, ἵνα τελείους ἐργάσωνται· ἡ γὰρ θάνατος τοῦ πατρὸς, ἡ αὔξησις, ἡ σκληρότης τοῦ παιδὸς, ἴσησι τὴν παιδείαν· ὁ δὲ θεὸς ἀεὶ παιδεύων, τελείους ποιεῖ. *Κατὰ τὸ δοκοῦν αὐτοῖς.*] Τὸ δὲ δοκοῦν τῷ πατρὶ, οὐ πάντως λυσιτελεῖ τῷ υἱῷ· καὶ γὰρ πολλάκις καὶ αἰσχρὰς διδάσκουσι τέχνας. *Ὁ δὲ, ἐπὶ τὸ συμφέρον.*] Ὁ δὲ θεὸς, τὴν παιδείαν ἐπάγων ἡμῖν, τὸ συμφέρον ἡμῖν ἀεὶ θηρᾶται. *Εἰς τὸ μεταλαβεῖν τῆς ἁγιότητος αὐτοῦ.*] Οὐ γὰρ ἵνα λάβῃ τι παρ' ἡμῶν, ὥσπερ οἱ κατὰ σάρκα πατέρες, τὰ καθ' ἡμᾶς οἰκονομεῖ ὁ θεὸς, ἀλλ' ἵνα μεταδῷ μᾶλλον, καὶ μεταδῷ οὐ μικροῦ τινος, ἀλλὰ τῆς ἁγιότητος, τουτέστι, τῆς καθαρότητος αὐτοῦ· ὥστε, φησὶν, ἀξίους ἡμᾶς, ὅσον ἐφικτὸν, γενέσθαι τῶν αὐτοῦ ἀγαθῶν. Ἆρα οὖν ἡ παιδεία μετάληψις ἁγιότητός ἐστι· καὶ εἰκότως· συστρέφει γὰρ τὴν ψυχὴν πρὸς τὸν ἅγιον θεὸν, μὴ ἐῶσα αὐτὴν πρὸς ἀνθρώπινόν τι ῥέμβεσθαι. *Πᾶσα δὲ παιδεία.*] Πάλιν ἀπὸ τῆς κοινῆς ἐννοίας τὰς ἀφορμὰς λαμβάνει τῆς παραινέσεως, καί φησι· *Πᾶσα παιδεία*, οὐ μόνον ἡ πνευματικὴ, ἀλλὰ καὶ ἡ σαρκικὴ, *οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης.* Καλῶς δὲ τὸ, *δοκεῖ*· οὐ γὰρ ἀληθῶς ἐστι λύπης· πῶς γὰρ ἂν εἴη κυρίως λύπης, εὐφροσύνης οὖσα μήτηρ; ἀλλ' ὡς πρὸς ἡμᾶς, τοὺς δυσχερῶς φέροντας τὰς παιδείας, τὸ, δοκεῖ, εἴρηται αὐτῷ. *Ὕστερον δέ.*] Μετὰ γὰρ τὴν ἐνταῦθα παιδείαν, ἐκεῖ λοιπὸν εἰρήνη, εὐφροσύνη, δικαιοσύνη, καὶ ὅσα τοιαῦτα (1). *Τοῖς δι' αὐτῆς γεγυμνασμένοις.*] Ὅρα δὲ, ὅτι *γυμνασίαν* καλεῖ τὴν παιδείαν. Γυμνάζει γὰρ, καὶ πρὸς ἀρετὴν ἀλήφει, ῥωννύουσα τοὺς πιστοὺς, καὶ οἷόν τινας ἀθλητὰς καὶ εὐτονωτέρους ποιοῦσα. *Γεγυμνασμένους* δέ φησι, τοὺς μετὰ μακροθυμίας καὶ ὑπομονῆς ἐνεγκόντας τὴν παιδείαν.

(1) « Τί ἐστὶ τὸ, εἰρηνικόν; Τοῦτ' ἔστιν, ἀτάραχον, λεῖον, ἡδύ. Ὁ μὲν γὰρ λυπούμενος, ταράττεται· ὁ δὲ χαίρων, λειότητά τινα ἔχει καὶ γαλήνην. Ὁ δὲ καρπὸς οὗτος, δικαιοσύνης ἐστί· διότι δίκαιος ὢν ὁ θεὸς, τοὺς ἐν τῷ αἰῶνι τούτῳ λυπηθέντας, ἐκεῖ ἀναπαύει.» Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Περὶ σωφροσύνης, ἕως καιρὸς κατορθώσεως, μὴ ἀποτύχωμεν αὐτῆς, ὡς Ἠσαῦ, μὴ εὑρὼν τόπον μετανοίας.

12 Διὸ τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα
13 γόνατα ἀνορθώσατε· καὶ τροχιὰς ὀρθὰς ποιήσατε
τοῖς ποσὶν ὑμῶν, ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ, ἰαθῇ
14 δὲ μᾶλλον. Εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν
ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον·
15 ἐπισκοποῦντες, μή τις ὑστερῶν ἀπὸ τῆς χάριτος
τοῦ θεοῦ· μή τις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ,
16 καὶ διὰ ταύτης μιανθῶσι πολλοί· μή τις πόρνος,
ἢ βέβηλος, ὡς Ἠσαῦ, ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέ-
17 δοτο τὰ πρωτοτόκια αὐτοῦ (1). Ἴστε γὰρ, ὅτι καὶ
μετέπειτα θέλων κληρονομῆσαι τὴν εὐλογίαν, ἀπε-
δοκιμάσθη (2)· μετανοίας γὰρ τόπον οὐχ εὗρε,
καίπερ μετὰ δακρύων ἐκζητήσας αὐτήν.

Διὸ τὰς παρειμένας χεῖρας.] Ὡς πρὸς πύκτας τινὰς καὶ ἀγωνιστὰς διαλέγεται. Ἀπὸ τῆς Γραφῆς δὲ τοῦ Ἡσαΐου ἔλαβε τὸ, *παρειμένας*, οἷον, παραλελυμένας χεῖρας (α), δεικνύων ἀπὸ μεταφορᾶς τοῦ μέρους τὸ πᾶν· οὐ γὰρ αἱ χεῖρες μόνον καὶ τὰ γόνατα τοῖς πειρασμοῖς παρελέλυντο· ἀλλὰ μετὰ τοῦ παντὸς σώματος καὶ ἡ ψυχὴ, καὶ ἡ διάνοια. Καὶ γὰρ τοῦτο ἡ ἀθυμία ποιεῖ καὶ ἡ πολλὴ λύπη.—Οὐ περὶ γονάτων δὲ καὶ χειρῶν λέγει, ἀλλὰ περὶ λογισμῶν, χωλευόντων τῷ πλήθει τῶν πειρασμῶν, καὶ ἐκλυομένων (Φωτίου).—*Καὶ τροχιὰς ὀρθάς.*] Τοῦτο ἀπὸ τῶν Παροιμιῶν εἴληφε (β)· διαλέγεται δὲ αὐτοῖς ἐνταῦθα ὡς δρομεῦσι. Πολλὰ δὲ αὐτοὺς αἰνίττεται δεῖν

(1) Γενεσ. ΚΕ', 33.
(α) Ἡσ. ΛΕ', 3.
(2) Γενεσ. ΚΖ', 37.
(β) Παροιμ. Δ', 26.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὀρθῶσαι· οἷον, τοὺς λογισμούς· ὅτι οὐκ ἀπὸ μίσους, ἀλλ' ἀπὸ κηδεμονίας θεοῦ αἱ παιδεῖαι, καὶ οἱ πειρασμοί· τὰς περὶ πίστεως καὶ δογμάτων δόξας· ἔτι γὰρ νήπιοι ὄντες, ἔν τισιν εἴχοντο τοῦ ἰουδαϊσμοῦ· καὶ τὸν βίον καὶ τὴν πολιτείαν. *Ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον.*] Ἵνα μή, φησι, τὸ ἐναρχθὲν κακόν· (τοῦτο γὰρ τὸ, *χωλόν*·) εἰς ἀνήκεστον ἔλθῃ· (τοῦτο γὰρ τὸ, *ἵνα μὴ ἐκτραπῇ*·) μᾶλλον δὲ διορθωθῇ (1). Ἰδοὺ, φανερῶς οἶδε μετάνοιαν, καὶ σημείωσαι τοῦτο διὰ τοὺς Ναυατιανούς. *Εἰρήνην διώκετε μετὰ πάντων.*] Καὶ μεθ' ἑαυτῶν, φησι, καὶ μετὰ τῶν ἐπηρεαζόντων· πολὺ γὰρ τὸ πλάτος τοῦ, *μετὰ πάντων*· *Μετὰ γὰρ τῶν μισούντων τὴν εἰρήνην*, φησὶν, *ἥμην εἰρηνικός* (α). Ἐὰν γάρ ὁμὲν ἀδικῇ, σὺ δὲ οὐκ ἀμύνῃ, ταχέως ἔσται εἰρήνη. Ὅρα δὲ καί το, *διώκετε*· τουτέστι, καὶ πόῤῥω οὖσαν τὴν εἰρήνην, σπουδάζετε καταλαβεῖν, πρὸς ἑαυτοὺς ἐφέλκοντες αὐτήν. *Καὶ τὸν ἁγιασμόν.*] *Ἁγιασμὸν* λέγει τὴν καθαρότητα, οἷον, τὴν παρθενίαν, ἤγουν, τὴν σωφροσύνην. Ὁ γὰρ καὶ ἐν γάμῳ σωφρονῶν, εἰ καὶ μὴ κυρίως ἁγιασμὸν ἐπιτελεῖ· οὐ γὰρ ἅγιος, ἀλλὰ τίμιος ὁ γάμος εἴρηται· ὅμως καὶ οὕτως ἁγιασμὸν ἐπιτελεῖ. *Οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον.*] Εἰ γὰρ οὔτε πόρνοι, οὔτε μοιχοὶ, καὶ οἱ τούτοις ὅμοιοι, βασιλείαν θεοῦ οὐ κληρονομήσουσι (β), πῶς οἱ μὴ σωφρονοῦντες ἴδιεν ἂν τὸν Κύριον, ὡς ἰδεῖν χρή, ἄνευ ἁγιασμοῦ; Ἐπι-

---

(1) « Ἐνταῦθα ὡς πρὸς ὁρμεῖς διαλέγεται, καθὼς καὶ ἀνωτέρω εἶπεν· Δι' ὑπομονῆς τρέχωμεν. Φησὶν οὖν· Πείσασθε τροχιᾶς ὀρθᾶς. Τροχιὰ δέ ἐστιν ἡ τὸ ἴχνος τοῦ ἁρματείου τροχοῦ, ὃ κατὰ τῆς γῆς χαράττεται, ἢ ἡ ὑποκειμένη χώρα τοῖς τῶν τρεχόντων ποσίν. Εστωσαν οὖν, φησιν, αἱ τροχιαὶ ὑμῶν, ἤγουν, αἱ ὁδοὶ ὑμῶν, λεῖαι καὶ ὁμαλαί· τουτέστι, μηδὲν τραχὺ καὶ λυπηρὸν καὶ ἀνώμαλον ἐν ταῖς ἡμετέραις ψυχαῖς ἦτω· ἀλλ' ὁμαλῶς καὶ ἁλύπως καὶ λείως τρέχετε, ἵνα μὴ, χωλοὶ ὄντες, τευτέστι, φύσει μικροψυχότερον διακείμενοι, ἅτε Ἰουδαῖοι· (τοιοῦτον γὰρ τὸ ἔθνος) ἢ καὶ χωλεύοντες περὶ τὸ πιστεύειν τοῖς μέλλουσιν, ἔτι προσπλαγῆτε, καὶ ἐκτραπῶσιν οἱ πόδες ὑμῶν, τουτέστι, παντελῶς στρεβλαὶ γένωνται. Ὁ γὰρ τῇ φυσικῇ ἢ τῇ ἐξ ἀρχῆς προσπεσούσῃ μικροψυχίᾳ συνεπαγόμενος, καὶ μὴ ἀνέχων ἑαυτὸν, ἀλλ' ἐνδιδούς, λανθάνει παντάπασιν ἐκπίπτων εἰς τὸν τῆς ἀπογνώσεως κρημνόν, καὶ δυσανάκλητος ἐκεῖθεν ὤν. Ἀλλὰ μᾶλλον σπουδάσατε, ἵνα ἰαθῇ τὸ ἐν ὑμῖν χωλεῦον· τουτέστι, κἂν τινα ἀπιστίαν ἔχητε μέχρι τοῦ νῦν, διορθώθητε μᾶλλον. Πᾶν γὰρ ἐν τῷ ὑπομένοντι ἀπιστία. » Θεοφύλακτος. (α) Ψαλμ. ΡΙΘ'. 6. (β) Ἐφες. Ε, 5.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σκοποῦντες, μή τις ὑστερῶν ἀπὸ τῆς χάριτος τοῦ θεοῦ.] Καθάπερ ὁδὸν μακρὰν βαδιζόντων αὐτῶν ἐν συνοδίᾳ πολλῇ, φησίν, *ἐπισκοποῦντες*, τουτέστιν, ἀκριβῶς προσέχοντες καὶ ἐρευνῶντες, μή τις εἴη ἀπολελειμμένος τῆς χάριτος τοῦ θεοῦ. Δεῖ γὰρ καὶ ὑπὲρ ἑαυτῶν καὶ ὑπὲρ τῶν ἀδελφῶν φροντίζειν, μή τις ὑστερήσῃ. *Χάριν* δὲ θεοῦ, τὴν πίστιν λέγει, καὶ τὴν χρηστὴν πολιτείαν, καὶ τὰ μέλλοντα ἀγαθά. Πάντα γὰρ ταῦτα, τῆς τοῦ θεοῦ εἰσι χάριτος. *Μή τις ῥίζα πικρίας.*] Τοῦτο ἐν τῷ Δευτερονομίῳ κεῖται (α). Ἔλαβε δὲ αὐτὸ ἀπὸ μεταφορᾶς τῶν φυτῶν. Ὁ δὲ ἀλλαχοῦ γράφει· *Μικρὰ ζύμη, ὅλον τὸ φύραμα ζυμοῖ* (β)· τοῦτο καὶ ἐνταῦθά φησι. *Ῥίζαν δε πικρίας*, τὴν ἁμαρτίαν φησίν. Ὅτι δὲ πικρὰ ἡ ἁμαρτία, μᾶλλον δὲ οὐδὲν πικρότερον αὐτῆς, ἴσασιν οἱ μετὰ τὸ πρᾶξαι ὑπὸ τοῦ συνειδότος τηκόμενοι. Λέγει οὖν· **Κἄν τις ᾖ εἰς ὑμᾶς οὐκ ἀγαθὰ φρονῶν, ἐκκοπτέτω ὁ τοιοῦτος εἰς ἔργον ἐξάγειν τὴν ἁμαρτίαν·** (τοῦτο γὰρ τὸ, *ἄνω φύουσα*·) **ἵνα μὴ καὶ τοῖς λοιποῖς πρόφασις γένηται ἁμαρτίας· καὶ διὰ ταύτης γάρ, φησι, *μιανθῶσι πολλοί*. Ὁρῶν γὰρ ἕκαστος τὸν πλησίον ἁμαρτάνοντα, εἰς ζῆλον ἥξει τοῦ καὶ αὐτὸς ἁμαρτάνειν. Καλῶς δὲ εἶπε, *ῥίζαν πικρίας*, καὶ οὐ, πικρὰν ῥίζαν, τὴν ἁμαρτίαν· ἡ μὲν γὰρ πικρὰ ῥίζα, δύναται καρποὺς ἐνεγκεῖν γλυκεῖς· ἡ δὲ τῆς πικρίας ῥίζα, ἑαυτῇ τέ ἐστι πικρά, καὶ ὧν ἐστι ῥίζα· πικρίας γάρ ἐστι ῥίζα καὶ ὑπόστασις καὶ οἷον οὐσία. *Μή τις πόρνος, ἢ βέβηλος, ὡς Ἡσαῦ.*] Τὸ, *πόρνος*, οὐκ εἶπεν ὡς πρὸς τὸν Ἡσαῦ, ἀλλὰ πρὸς ἀντιδιαστολὴν κεῖται τοῦ, *Καὶ τὸν ἁγιασμὸν διώκετε* (ι)· τὸ δὲ, *βέβηλος*,

(α) Δευτ. ΚΘ', 18· (β) Α' Κορ. Ε, 6. Γαλ. Ε', 9.

(ι) « Οὐ τοῦτό φησιν, ὅτι πόρνος ἦν Ἡσαῦ, ἀλλ' ἀχρι; αὐτοῦ στῆσον, Μή τις πόρνος ἐν ὑμῖν ἦτω· (αἰνίττεται γάρ τινας παρ' αὐτοῖς τοιούτους, οὐ μέντοι βούλεται ἐλέγχειν αὐτοὺς, ἀλλὰ προσποιεῖται ἄγνοιαν, ὡς ἂν διορθώσωνται.) Εἶτα ἀπ' ἄλλης ἀρχῆς εἰπὲ, Μη δὲ βέβηλος, ὡς Ἡσαῦ, τουτέστι, γαστρίμαργος, κοσμικὸς, τὰ πνευματικὰ βεβήλων καὶ καταπατῶν. Τὴν γὰρ παρὰ θεοῦ δοθεῖσαν τιμὴν τῶν πρωτοτοκίων ἀπέδοτο, καὶ ταῦτα βρώσεως μιᾶς. Τοῦτο δέ ἐστι βεβήλωσις, ἡ καταφρόνησις τῶν θείων.» Θεοφύλακτος. Ὁ δὲ Θεοδώρητος λέγει· « Πορνείαν τοῦ Ἡσαῦ, τὴν γαστριμαργίαν ἐκάλεσε· διὰ ταύτην γὰρ ἀπέδοτο τῶν πρωτοτοκίων τὴν εὐλογίαν. Οὐκ ἂν δέ τις ἁμάρτοι πορνείαν αὐτοῦ καλέσας καὶ τὸν παράνομον γάμον· ἀλλοφύλους γὰρ γυναῖκας ἠγάγετο. »

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὡς πρὸς τὸν Ἡσαῦ κεῖται. *Βέβηλον* δέ φησι, τὸν γαστρίμαργον, διὰ τὸ ὑπὲρ βρώσεως μιᾶς ἀπεμπολῆσαι αὐτὸν τὴν τοῦ θεοῦ δωρεάν, τουτέστι, τὰ πρωτοτόκια. Γέγραπται γὰρ ἐν βίβλῳ Γενέσεως· « Ηὐξήθησαν δὲ οἱ νεανίσκοι· καὶ ἦν Ἡσαῦ ἄνθρωπος εἰδὼς κυνηγεῖν, ἀγροῖκος· Ἰακὼβ δὲ, ἄνθρωπος ἄπλαστος, οἰκῶν οἰκίαν. Ἠγάπησε δὲ Ἰσαὰκ τὸν Ἡσαῦ· ὅτι ἡ θήρα αὐτοῦ, βρῶσις αὐτῷ· Ῥεβέκκα δὲ ἠγάπα τὸν Ἰακώβ. Ἔψησε δὲ Ἰακὼβ ἔψημα· ἦλθε δὲ Ἡσαῦ ἐκ τοῦ πεδίου ἐκλείπων. Καὶ εἶπεν Ἡσαῦ τῷ Ἰακώβ· Γεῦσόν με ἀπὸ τοῦ ἐψήματος τοῦ πυῤῥοῦ τούτου· ὅτι ἐκλείπω. Διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα αὐτοῦ, *Ἐδώμ*. Εἶπε δὲ Ἰακὼβ τῷ Ἡσαῦ· Ἀπόδου σήμερον τὰ πρωτοτόκιά σου ἐμοί. Εἶπε δὲ Ἡσαῦ· Ἰδοὺ, ἐγὼ πορεύομαι τελευτᾶν, καὶ ἵνα τί μοι ταῦτα τὰ πρωτοτόκια; Καὶ εἶπεν αὐτῷ Ἰακώβ· Ὄμοσόν μοι σήμερον· καὶ ὤμοσεν αὐτῷ. Ἀπέδοτο δὲ Ἡσαῦ τὰ πρωτοτόκια αὐτοῦ τῷ Ἰακώβ (α). » Λοιπὸν οὖν, ἡμῶν, καὶ οὐκ Ἰουδαίων τὰ πρωτοτόκια· ἐκ γὰρ Ἰσαὰκ καὶ Ἰακὼβ καταγόμεθα. *Ἀπεδοκιμάσθη.*] *Ἀπεδοκιμάσθη* παρὰ θεοῦ· ὁ γὰρ θεὸς αἴτιος τοῦ, τὸν Ἰσαὰκ ἀπατηθέντα, εὐλογῆσαι τὸν Ἰακώβ. *Καίπερ μετὰ δακρύων.*] Τινὲς οὕτως ἑρμηνεύουσι· *Καίτοι μετὰ δακρύων ἐζητήσας αὐτὴν*, τουτέστι, τὴν εὐλογίαν· καὶ τὸ, *μετανοίας τόπον οὐχ εὗρε*, διὰ μέσου. *Καίπερ μετὰ δακρύων ἐκζητήσας αὐτήν.*] Ἆρα μὴ ἐκβάλλει τὴν μετάνοιαν ἐνταῦθα ὁ Παῦλος; Μὴ γένοιτο. Πῶς οὖν, εἰ μετὰ δακρύων ἐζήτησεν αὐτὴν, οὐκ ἐπέτυχεν αὐτῆς; Ἐζήτησε μὲν, πλὴν οὐχ εὗρεν· οὐ γὰρ καλῶς ἐζήτησε. Πῶς; Ὅτι οὐ μετενόησε καθ' ὃν ἐχρῆν τρόπον. Ποίας γὰρ ἂν ἦν μετανοίας τὰ ῥήματα, ἃ ἐφθέγξατο· *Ἐγγισάτωσαν αἱ ἡμέραι τοῦ πένθους τοῦ πατρός μου, καὶ ἀποκτενῶ Ἰακὼβ τὸν ἀδελφόν μου* (β); Ὥστε διὰ τοῦτο οὐχ εὗρε τὴν μετάνοιαν, ἐπειδὴ μὴ ὡς ἐχρῆν αὐτὴν ἐζήτησεν. Εἰ γὰρ καὶ δά-

(α) Γενες. ΚΕ', 27—33. (β) Γενες. ΚΖ', 41.

Δημόσια Κεντρική Βιβλιοθήκη Πάτρας

κρυα εἶχεν, ὅμως οὐ μετανοίας τὰ δάκρυα, ἀλλὰ φθόνου καὶ πικρίας, μὴ ἀνεχομένου μηδὲ στέργοντος τὴν παρευδοκίμησιν· ὥσπερ οὐδὲ τοῦ Κάϊν ἡ λύπη ἦν μετανοίας, ἀλλὰ φθόνου, καὶ ἐδήλωσεν ὁ φόνος. Ἢ οὖν τοῦτό ἐστιν, ὃ ἔφην, ἢ ὅτι σοφώτατα ὁ Παῦλος, τοὺς μηδέπω πεσόντας τούτῳ τῷ τρόπῳ φοβεῖ, μὴ πεσεῖν, τῷ μὴ εἶναι ἐπὶ τοῖς μεγίστοις ἁμαρτήμασιν ἀξίαν μετάνοιαν. Καὶ πρὸς μὲν τοὺς μήπω ἁμαρτήσαντας οὕτω λέγει, τῷ φόβῳ συντηρῶν αὐτούς, μὴ πεσεῖν· ὅταν δὲ ἤδη τινὰς τέλεον πεσόντας, ὅρα πῶς μεταβάλλεται. Φησὶ γάρ· *Τεκνία, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν* (α). Ὅτι γὰρ πρὸς ἤδη πεσόντας ταῦτα γράφει, δῆλον· φησὶ γάρ· *Οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε* (β). Ὁρᾷς, ὅτι μαρτυρῶν αὐτοῖς τὸ πεπτωκέναι, πρὸς τὸ μὴ εἰς ἀπόγνωσιν ἐλθεῖν, εἶπε τό· *Οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν*; Εἶδε μὴ ἐκβεβλημένην τὴν μετάνοιαν, ἀλλ' οἰκονομικῶς πάντα φθεγγόμενον τὸν ἅγιον τοῦτον;

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Ὅτι φοβερώτερα τῶν ἐπὶ Μωϋσέως τὰ μέλλοντα, καὶ πλείονος ἄξια σπουδῆς τὰ νῦν.

18 Οὐ γὰρ προσεληλύθατε ψηλαφωμένῳ ὄρει, καὶ κε-
καυμένῳ πυρὶ, καὶ γνόφῳ, καὶ σκότῳ, καὶ θυέλλῃ
19 καὶ σάλπιγγος ἤχῳ, καὶ φωνῇ ῥημάτων, ἧς οἱ
ἀκούσαντες παρῃτήσαντο μὴ προστεθῆναι αὐτοῖς
20 λόγον· (οὐκ ἔφερον γὰρ τὸ διαστελλόμενον· « Κἂν

(α) Γαλ. Δ', 19. (β) Γαλ. Ε', 4.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

21 θηρίον θίγῃ τοῦ ὄρους, λιθοβοληθήσεται (α)· » καὶ (οὕτω φοβερὸν ἦν τὸ φανταζόμενον)· « Μωϋσῆς εἶπεν· Ἔκφοβός εἰμι καὶ ἔντρομος (β). »)

Οὐ γὰρ προσεληλύθατε ψηλαφωμένῳ ὄρει, καὶ ἐξῆς.] Δείκνυσιν, ὅτι μειζόνων εἰσὶν ὑπεύθυνοι, ἐὰν μὴ ὑπομένωσιν, ἀλλὰ ἀπιστῶσι τῷ ἐπαγγειλαμένῳ, ἢ οἱ ἐν τῇ Παλαιᾷ. Καὶ ὅρα, πῶς ποιεῖται τὴν σύγκρισιν. Μεθ' ὃ ἔδειξε τὴν ὑπεροχὴν τῆς Νέας πρὸς τὴν Παλαιὰν διὰ πλειόνων, ὡς ἔγνωσται, τίθησι νῦν καὶ τὰ μεγάλα παρὰ τοῖς πάλαι καὶ θαυμαστά, τὰ ἐν τῷ Σινᾷ ὄρει γενόμενα, καὶ ἀποφαίνει ταῦτα μικρὰ ὄντα, καὶ οὐκ ἀξιόλογα πρὸς τὰ τῆς Νέας. Ἐκεῖ μὲν γάρ, φησι, φαντασία πολλὴ πρὸς ἔκπληξιν τοῦ νηπιώδους ἐκείνου λαοῦ. Καὶ γὰρ τὸ πῦρ διὰ τοῦτο προσετέθη, ἵνα φοβερώτερος φανῇ νομοθετῶν ὁ θεός. Ὁ γνόφος καὶ τὸ σκότος, ἐδήλουν τὸ συνεσκιασμένον τῆς Παλαιᾶς. Εἰ γὰρ ἐκείνη τύπος ἦν, δῆλον ὅτι ἕως οὗ ἦλθεν ἡ ἀλήθεια, ἀσαφεῖς ἦσαν οἱ τύποι, μὴ γινωσκόμενοι τί δηλοῦσι. Καὶ τὸ ἀόρατον δὲ τοῦ θεοῦ ἐδηλοῦτο διὰ τούτων· *Καὶ γνόφος γάρ, φησιν, ὑπὸ τοὺς πόδας αὐτοῦ* (γ). Ἡ δὲ *θύελλα*, ῥᾳθύμους ὄντας τοὺς Ἑβραίους διήγειρεν· (ἔστι δὲ *θύελλα*, ἀνέμου συγροφή·) αἱ δὲ *σάλπιγγες*, ὡς βασιλέως παρόντος· τοῦτο γὰρ καὶ ἐν τῇ δευτέρᾳ παρουσίᾳ ἔσται. *Καὶ φωνῇ ῥημάτων.*] Ὁ γὰρ Μωσῆς ἐλάλει, ἀπεκρίνατο δὲ ὁ θεὸς (δ). Ἔδει γὰρ τοῦ θεοῦ φέρεσθαι τὴν φωνὴν, ἵνα ἀξιόπιστος ἡ νομοθεσία γένηται, καὶ μὴ νομισθῇ Μωσέως εἶναι, δι' οὗ νομοθετεῖν ἔμελλεν ὁ θεός. *Οὐκ ἔφερον γὰρ τὸ διαστελλόμενον.*] Εἶπε τὴν αἰτίαν τῆς παραιτήσεως· ὅτι οὐκ ἔφερον *τὸ διαστελλόμενον*, τουτέστιν, οὐκ ἠδύναντο τοῖς ὠσὶ στέγειν τὸ παρὰ τοῦ θεοῦ ἐντελλόμενον καὶ λαλούμενον, ὡς φοβερόν· καὶ γὰρ εἶπον Μωσεῖ· Λάλησον ἡμῖν σὺ, καὶ μὴ λαλείτω ἡμῖν ὁ θεός (ε).

(α) Ἔξοδ. ΙΘ', 12. 13.— Παρ' ἄλλοις προστίθεται, ἢ βολίδι κατατοξευθήσεται, μετὰ τὸ, λιθοβοληθήσεται. (β) Δευτ. Θ', 19.
(γ) Ψαλμ. ΙΖ, 10. (δ) Ἔξοδ. ΙΘ, 19. (ε) Ἔξοδ. Κ, 19.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κἂν θηρίον θίγῃ.] Τοσοῦτος ἦν ὁ φόβος, ὅτι *κἂν θηρίον*, τουτέστι, κτῆνός τι, ἐξ ὧν ὁ λαὸς εἶχεν, ἔθιγε τοῦ ὄρους, ἐλιθοβολεῖτο. *Καὶ, οὕτω φοβερὸν ἦν τὸ φανταζόμενον.*] Θέλει δεῖξαι καὶ ἐν τούτῳ διαφορὰν τῆς Νέας, ὡς πρὸς τὴν Παλαιάν. Ἡ γὰρ Παλαιὰ, καίτοι μηδὲν ἔχουσα μέγα καὶ τοιοῦτον, οἷον ἡ Νέα, φοβερά τις ἦν, καὶ οὔτε θηρίον ἐξῆν ἅπτεσθαι τοῦ ὄρους· ἡ δὲ Νέα, ἔχουσα τὸ τέλειον, ἡπία ἐστὶ καὶ χωρὶς φόβου (1). *Μωϋσῆς εἶπεν· Ἔκφοβός εἰμι καὶ ἔντρομος.*] Οὗτος, φησὶν, ὁ εἰς τὸν γνόφον εἰσελθών. Εἰ δὲ Μωσῆς, ὁ εἰσελθὼν εἰς τὸν γνόφον, ὁ οὕτω μέγας καὶ θαυμαστὸς, εἶπεν· *Ἔκφοβός εἰμι καὶ ἔντρομος*· πόσῳ μᾶλλον ὁ λαός;

22 Ἀλλὰ προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ μυριάσιν ἀγγέ-
23 λων, πανηγύρει καὶ ἐκκλησίᾳ πρωτοτόκων, ἐν οὐρανοῖς ἀπογεγραμμένων, καὶ κριτῇ θεῷ πάντων,
24 καὶ πνεύμασι δικαίων τετελειωμένων, καὶ διαθήκης νέας μεσίτῃ Ἰησοῦ, καὶ αἵματι ῥαντισμοῦ, κρεῖττον (2) λαλοῦντι παρὰ τὸν Ἄβελ.

Ἀλλὰ προσεληλύθατε.] Ἐκεῖνοι οὐ προσῆλθον, ἀλλὰ πόρρωθεν εἱστήκεισαν· ὑμεῖς δὲ προσεληλύθατε. Ὁρᾷς τὴν ὑπεροχήν; *Σιὼν ὄρει, καὶ πόλει θεοῦ ζῶντος.*] Ἀντὶ τοῦ Σιὼν ὄρους, φησὶν, ἐνταῦθά ἐστιν ὁ οὐρανός· τοῦτο γὰρ καλεῖ, *Σιὼν ὄρος*, καὶ, *Ἱερουσαλὴμ*· ἄθεν ἐπάγει, *ἐπουρανίῳ* (3). *Καὶ μυριάσιν ἀγγέλων.*] Ἀντὶ τοῦ Ἰουδαϊκοῦ λαοῦ, ἔχομεν ἡμεῖς ἀγγέλων μυριάδας. *Πανηγύρει καὶ ἐκκλησίᾳ πρωτοτόκων.*] Πρωτοτόκους καλεῖ τοὺς πιστοὺς, τοὺς ἀφιερωμένους τῷ θεῷ, τοὺς ἁγιασμένους, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς. Τοῦτο γάρ φησι καὶ ὁ Κύριος τοῖς μαθηταῖς· *Χαίρετε, ὅτι τὰ ὀνόματα ὑμῶν*

(1) «Φανταζόμενον εἶπεν· ἐπειδὴ οὐκ αὐτὸν ἑώρων τὸν τῶν ὅλων θεὸν, ἀλλά τινα φαντασίαν τῆς θείας ἐπιφανείας.» Θεοδώρητος.

(2) Παρ' ἄλλοις, κρείττονα. (3) «Ἀντὶ τοῦ Σινᾶ ὄρους, ἔχομεν Σιὼν ὄρος νοητὸν, καὶ πάλιν νοητὴν Ἱερουσαλήμ· τουτέστιν, αὐτὸν τὸν οὐρανὸν, οὐκ ἔρημον, ὡς ἐκεῖνοι.» Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βερροίας

γέγραπται ἐν τοῖς οὐραγοῖς (α). Ἐπειδὴ δὲ κοινός ἐστι πατὴρ πάντων ὁ θεὸς, πάντες μὲν ἄνθρωποι, υἱοί εἰσιν αὐτοῦ κοινῶς· πρωτότοκοι δὲ τούτων, οἱ πιστεύσαντες, καὶ ἄξιοι τῆς κατὰ πρόθεσιν υἱοθεσίας. — ΑΛΛΟ. *Πρωτοτόκους*, τοὺς ἁγίους λέγει, τοὺς τὸ ἐξαίρετον ἔχοντας παρὰ τοὺς λοιποὺς πιστοὺς, τοὺς τῆς υἱοθεσίας ἠξιωμένους· ἀπὸ τῶν παρ' ἡμῖν πρωτοτόκων, οὐκ ἐκ τῶν πρωτοτοκίων ἔχουσί τινα πρεσβεῖα.—*Καὶ κριτῇ θεῷ πάντων.*] Ὡσεὶ εἶπεν· Ἐκεῖνοι μὲν οὐδὲ ῥημάτων ψιλῶν ἐτόλμησαν ἀκοῦσαι· ὑμεῖς δὲ αὐτῷ τῷ κριτῇ προσεληλύθατε, τουτέστι, τῷ Χριστῷ. *Ὁ γὰρ πατήρ, φησι, κρίνει οὐδένα· ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ* (β). *Καὶ πνεύμασι δικαίων τετελειωμένων.*] Μετ' αὐτῶν γὰρ εἶναι μέλλετέ, φησιν, οἱ τῇ Νέᾳ προσελθόντες. *Τετελειωμένους* δὲ αὐτοὺς καλεῖ, ὡς μελλόντων αὐτῶν τότε τὸ τέλειον ἔξειν, καθὼς καὶ ἄνω φησίν· *Ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι. Καὶ διαθήκης νέας μεσίτῃ.*] Ἀντὶ Μωϋσέως, ὁ Χριστὸς ἐνταῦθα. *Καὶ αἵματι ῥαντισμοῦ.*] *Αἷμα ῥαντισμοῦ*, τουτέστι, καθαρισμοῦ, τὸ τίμιον αἷμα λέγει τοῦ Χριστοῦ. Τὸ γὰρ αἷμα τοῦ Χριστοῦ ῥαντισθὲν ἐφ' ἡμᾶς, ἐκάθαρε καὶ ἡγίασε. *Κρεῖττον λαλοῦντι παρὰ τὸν Ἄβελ.*] Τὸ τοῦ Ἄβελ αἷμα ἐλάλησε; Ναί· *Φωνὴ γάρ, φησιν, αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με ἐκ τῆς γῆς* (γ). Ἤ, ὅπερ καὶ ἀνωτέρω εἴρηται, ὅτι *δι' αὐτῆς ἀποθανὼν ἔτι λαλεῖ*, τῇ δόξῃ, τῇ φήμῃ δηλονότι (1). Τὸ δὲ τοῦ Χριστοῦ αἷμα εὐδηλον, ὅτι τῇ δόξῃ πλέον λαλεῖ, τὸ παντὸς τοῦ κόσμου καθαριστικόν (2). Ἀεὶ δὲ ἐκ τῶν ἐλαχιστοτάτων τὰς συγκρίσεις ποιεῖται, διὰ τὸ νηπιώδες τῶν ἀκουόντων.—Τὸ μὲν αἷμα τοῦ Ἄβελ μόνον τάχα που κατακεκράγει τοῦ φονευτοῦ· τό δέ γε τίμιον αἷμα τοῦ Χριστοῦ, ὑπὲρ ἡμῶν λαλεῖ πρὸς τὸν πατέρα. Διὰ τοῦτό φησι, *Κρεῖττον λαλοῦντι παρὰ τὸν Ἄβελ* (Κυρίλλου).

(α) Λουκ. Ι, 20. (β) Ἰωαν. Ε', 22. (γ) Γεν. Δ', 10. (1) Ἰδ. Ἑβρ. ΙΑ', 4. (2) « Ἀλλὰ τὸ τοῦ Χριστοῦ λαμπροτέραν φωνὴν ἀφίησι καὶ εὐσημοτέραν, διὰ τῶν πραγμάτων βοῶν, ὅτι πάντας ἡγίασε. » Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

25 Βλέπετε, μὴ παραιτήσησθε τὸν λαλοῦντα. Εἰ γὰρ
ἐκεῖνοι οὐκ ἔφυγον, τὸν ἐπὶ γῆς παραιτησάμενοι
χρηματίζοντα, πολλῷ μᾶλλον ἡμεῖς, οἱ τὸν ἀπ' οὐ-
26 ρανῶν ἀποστρεφόμενοι· οὗ ἡ φωνὴ τὴν γῆν ἐσά-
λευσε τότε· νῦν δὲ ἐπήγγελται, λέγων· « Ἔτι ἅπαξ
ἐγὼ σείω οὐ μόνον τὴν γῆν, ἀλλὰ καὶ τὸν οὐ-
27 ρανόν (α). » Τὸ δὲ, Ἔτι ἅπαξ, δῆλοῖ τῶν σαλευο-
μένων τὴν μετάθεσιν, ὡς πεποιημένων, ἵνα μείνῃ
τὰ μὴ σαλευόμενα.

Μὴ *παραιτήσησθε τὸν λαλοῦντα.*] Διὰ ἀπιστίας καὶ ἀπογνώσεως (1). Τίς δὲ ὁ λαλῶν καὶ εἰς τὴν οἰκείαν καλῶν βασιλείαν; Ὁ Χριστὸς δῆλον ὅτι. Εἰ γὰρ τὸ αἷμα αὐτοῦ λαλεῖ, πολλῷ μᾶλλον αὐτὸς ζῇ, καὶ λαλεῖ. *Εἰ γὰρ ἐκεῖνοι οὐκ ἔφυγον.*] Τουτέστι, τὸν κίνδυνον, τὴν ἀπώλειαν. *Τὸν ἐπὶ γῆς παραιτησάμενοι χρηματίζοντα.*] *Τὸν ἐπὶ γῆς χρηματίζοντα*, ἤτοι τὸν τὰ γήϊνα καὶ παρερχόμενα ὑπισχνούμενον, γῆν ῥέουσαν μέλι καὶ γάλα, ἐχθρῶν ἐπικράτειαν, εὐπαιδίαν, καὶ βίον μακροχρόνιον· ἀπ' οὐρανῶν δὲ λαλεῖ, ὁ αὐτὸν τὸν οὐρανὸν εἰς κληρονομίαν ἐπαγγελλόμενος, ὁ τῆς ἀῤῥάστου δόξης ἐκείνης καὶ ἀπεράντου τὴν ἀπόλαυσιν χαριζόμενος· ἢ δύναται εἰρῆσθαι τὸ ἐπὶ γῆς χρηματίζειν, ὅτι σχεδὸν πάντα τῆς διὰ Μωσέως νομοθεσίας σωματικοὶ καθαρμοὶ ἐτύγχανον· ἡ δὲ νέα καὶ διὰ Χριστοῦ δοθεῖσα ἡμῖν νομοθεσία, ψυχῆς ἐστι καθάρσιον καὶ φωτισμός. Ἐπὶ γῆς οὖν ἐστὶν ἐκεῖνα κεχρηματισμένα, ὅτι ταπεινὰ καὶ περὶ τὸ ὑλῶδες σκήνωμα στρεφόμενα· ἀπ' οὐρανοῦ δὲ ταῦτα, ὅτι θεῖα καὶ ὑψηλὰ, καὶ τὸ θειοειδὲς, τὴν ψυχὴν ἐκκαθαίροντα, καὶ εἰς οὐρανοὺς ἀναφέροντα (2). *Πολλῷ μᾶλλον ἡμεῖς, οἱ τὸν ἀπ' οὐρανῶν ἀποστρεφόμενοι.*] Τουτέστι

(α) Ἀγγ. Β', 6. (1) «Διὰ τοῦ ἀπιστῆσαι ταῖς αὐτοῦ ἐπαγγελίαις, καὶ ἀπογνῶναι.» Θεοφύλακτος.

(2) « Ἐπὶ γῆς χρηματίζοντα, τὸν Μωσῆν λέγει, ἢ καὶ τὸν θεὸν, τὸν ἀπ' οὐρανοῦ μὲν καταβάντα, ἐπὶ γῆς δὲ ὅμως χρηματίζοντα διὰ Μωσέως. Ἐν γὰρ τῷ ὄρει τῷ Σινᾷ ἐχρημάτισε, τουτέστιν, ὡμίλησε, διελήλυθε, διετάξατο.» Θεοφυλάκτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸν Χριστὸν, τὸν ἀπ' οὐρανῶν χρηματίζοντα. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Εἰ οἱ Ἰουδαῖοι, παραιτησάμενοι πεισθῆναι Μωσεῖ, οὐκ ἐξέφυγον τὸν ὄλεθρον, πῶς ἡμεῖς ἐκφευξόμεθα, παραιτησάμενοι πεισθῆναι τῷ ἐξ οὐρανῶν λαλοῦντι, τουτέστι, τῷ Χριστῷ; Οὐκ ἐπειδὴ πάλαι μὲν ἄλλος ἔδωκε τὸν νόμον, νῦν δὲ ἄλλος λαλεῖ, καὶ εἰς τὴν αὐτοῦ καλεῖ βασιλείαν καὶ πίστιν· ἀλλ' ὅτι φοβερώτερός ἐστι νῦν ἐκ τοῦ οὐρανοῦ καὶ δι' ἑαυτοῦ λαλῶν, ἢπερ πάλαι ἀπὸ γῆς καὶ διὰ μέσου Μωϋσέως· ὅθεν καὶ δίκαιός ἐστι μᾶλλον ἀκουσθῆναι. Ὅτι δὲ οὐκ ἄλλος ὁ πάλαι νομοθετῶν παρὰ τὸν νῦν λαλοῦντα, αὐτὸς δηλοῖ εἰπών· *Οὗ ἡ φωνὴ τὴν γῆν ἐσάλευσε τότε.*] Πότε; Ὅτε ἐνομοθέτει ἐν τῷ ὄρει τῷ Σινᾷ. Ἡ γὰρ φωνὴ αὐτοῦ τότε ἐν τῷ τῆς νομοθεσίας καιρῷ τὴν γῆν ἔσεισεν (1). Ὁρᾷς, ὅτι ὁ αὐτὸς ἦν ὁ τότε λαλῶν, καὶ νῦν ἀπ' οὐρανοῦ χρηματίζων ἡμῖν; Ἀλλ' ἡ διαφορὰ ἐν τῷ τρόπῳ τοῦ κηρύγματος· τότε μὲν γὰρ, ἀπὸ γῆς καὶ διὰ Μωϋσέως ἐκήρυσσε· νῦν δὲ, ἀπ' οὐρανοῦ καὶ δι' ἑαυτοῦ. *Νῦν ἐπήγγελται, λέγων· Ἔτι ἅπαξ ἐγὼ σείω.*] Τὸ, Ἔτι ἅπαξ, δηλοῖ, τὸ μετὰ τὸ δεύτερον προσθεῖναι ἄλλο ἅπαξ. Πρότερον μὲν γὰρ ἐσείσθη ὁ κόσμος ἐπὶ τῆς ἐν Σινᾷ νομοθεσίας. *Γῆ γὰρ ἐσείσθη*, φησὶν ὁ Δαυὶδ (α). Πάλιν ἐπὶ τῆς ἐν σαρκὶ ἐπιδημίας ἐσείσθη ὁ κόσμος. Ἐσείσθη γάρ, φησι, *πᾶσα Ἱερουσαλὴμ* (β)· καὶ· *Σεισθήσεται τὰ χειροποίητα Αἰγύπτου* (γ). Ἐσείσθησαν γὰρ, τουτέστι, τῆς τοῦ πλανᾶν τοὺς ταῦτα σεβομένους στάσεως ἀπεκινήθησαν, καὶ κατεβλήθη ἡ ἰσχὺς αὐτῶν. Τὸ οὖν, Ἔτι ἅπαξ, τρίτον σεισμὸν δηλοῖ, τὸν μετὰ τὸν δεύτερον συμβησόμενον, ἤγουν τὴν ἐν τῇ δευτέρᾳ αὐτοῦ παρουσίᾳ, τῇ μετὰ δόξης γενησομένῃ, καινοτομίαν· ὅταν μεταποιῇ καὶ ἐναλλάσσῃ τὴν κτίσιν ἀπὸ τῆς φθορᾶς εἰς ἀφθαρσίαν· τότε γὰρ μάλιστα σεισθήσεται ἡ κτίσις. *Σεισμὸν* δὲ ἢ τὸν ὄντως σεισμὸν καὶ πάταγον λέγει,

(1) « Ἐσαλεύθη γὰρ τὸ ὄρος, τοῦ θεοῦ σημαίνων τὴν ἐπιφάνειαν. » Θεοδώρητος.
(α) Ψαλμ. ΞΖ', 9. (β) Ματθ. Β', 3. (γ) Ἡσ. ΙΘ', 1.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἢ τὴν μετάθεσιν, τὴν ἀπὸ τοῦ κακοῦ εἰς τὸ ἀγαθὸν, τῶν τότε φθαρησομένων ἀνθρώπων. Πρόσχες καὶ τῇ παραγραφῇ τοῦ μακαρίου Κυρίλλου εἰς τὸν Ἀγγαῖον.—*Σεισμὸν* λέγει τὸ οἷον ἐξάκουστον τοῦ κηρύγματος, δι' οὗ ἐσείσθησαν ἀπὸ τῆς πάλαι ἐν τῇ πλάνῃ στάσεως καὶ μετηνέχθησαν οἱ ἄνθρωποι. Οὕτως ὁ ἅγιος Κύριλλος.—*Τὸ δὲ, Ἔτι ἅπαξ, δηλοῖ τῶν σαλευομένων τὴν μετάθεσιν.*] Τουτέστι, τῆς γῆς καὶ τοῦ οὐρανοῦ, τῶν τότε μελλόντων σαλεύεσθαι ἐκ τῆς νῦν καταστάσεως ἐν τῇ ἀλλαγῇ καὶ μεταποιήσει. *Ὡς πεποιημένων.*] Τουτέστι, τὸ κατὰ φύσιν πασχόντων· ἐπειδὴ γὰρ τὸ ἀρξάμενον, καὶ πέρας λαμβάνει, φησὶν, *ὡς πεποιημένων.* Ἐπειδὴ γὰρ πεποίηται, καὶ ἀπὸ κινήσεως ἤρξατο, τῆς ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι, εἰκότως πάλιν σαλευθήσεται καὶ μετακινηθήσεται ἐν τῇ ἀλλαγῇ. *Ἵνα μείνῃ τὰ μὴ σαλευόμενα.*] Σαλεύει δὲ τὴν κτίσιν τότε καὶ ἐναλλάσσει, *ἵνα μείνῃ τὰ μὴ σαλευόμενα·* τουτέστι, τὰ μηκέτι μέλλοντα σαλεύεσθαι καὶ ἀμείβεσθαι· ὡς εἰ ἔλεγε· Διὰ τοῦτο σείει καὶ ἐναλλάσσει τὴν κτίσιν, ἵνα λοιπὸν μείνῃ κατὰ χώραν τὰ μηκέτι μέλλοντα σαλεύεσθαι ἢ ἐναλλάσσεσθαι· μὴ ἐναλλασσόμενα δὲ, εἰκότως οὐκέτι μέλλει σαλεύεσθαι. Ἅπαξ γὰρ τὴν πρώτην ἐναλλαγὴν δεξάμενα, ἄφθαρτα ἔσται (1).

28 Διὸ βασιλείαν ἀσάλευτον παραλαμβάνοντες, ἔχωμεν
χάριν, δι' ἧς λατρεύομεν εὐαρέστως τῷ θεῷ, μετὰ
29 αἰδοῦς καὶ εὐλαβείας. Καὶ γὰρ ὁ θεὸς ἡμῶν πῦρ
καταναλίσκον (α).

Διὸ βασιλείαν ἀσάλευτον παραλαμβάνοντες.] Εἰ ἡ κτίσις ἀσάλευτος, πολλῷ μᾶλλον ἡ βασιλεία τῶν οὐρανῶν, ἣν παραλαβεῖν μέλλετε ἔπαθλον τῶν ἐνταῦθα ὑπὲρ Χριστοῦ θλίψεων. Ἐπεὶ οὖν αἱ θλίψεις πρόξενοι τῆς βασιλείας, *χάριν ἔχωμεν* ὑπὲρ αὐτῶν τῷ θεῷ. *Δι' ἧς λατρεύομεν.*] Δι' ἧς, εὐχαριστίας

(1) « Σεισμοί, φησι, γίνονται συνεχεῖς. Τὸ τοίνυν Ἅπαξ μεταβολήν τινα πραγμάτων δηλοῖ, καὶ τῶν φθειρομένων τὴν ἐπὶ τὰ κρείττω μεταβολήν, ἅπερ μόνιμον λοιπὸν ἕξει τὴν φύσιν. » Θεοδώρητος. (α) Δευτ. Δ', 24.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διὰ γὰρ τοῦ καὶ ὑπὲρ τῶν θλίψεων καὶ πειρασμῶν εὐχαριστεῖν τῷ θεῷ, ἔστιν αὐτῷ εὐαρέστως λατρεύειν. *Μετὰ αἰδοῦς καὶ εὐλαβείας.*] Καὶ οὐκ ἀρκεῖ, φησι, μόνον εὐχαρίστους εἶναι, εἰ μὴ καὶ αἰδῶς, ἡ πρὸς πάντας, καὶ ἡ πρὸς θεὸν εὐλάβεια συμπαρῇ. *Καὶ γὰρ ὁ θεὸς ἡμῶν πῦρ καταναλίσκον.*] Τοῦτο λέγων, ἢ αὐτοὺς πτοῆσαι θέλει μὴ ἀχαριστεῖν, μηδὲ γογγύζειν ἐπὶ ταῖς θλίψεσι, μήπως ὀργιζομένου καὶ τιμωρουμένου τύχωσι τοῦ θεοῦ· ἢ παραμυθήσασθαι· ὡς εἰ ἔλεγεν· Ἡμεῖς ἐπὶ ταῖς θλίψεσιν εὐχαριστήσωμεν· ἔχομεν γὰρ δεσπότην, ἐξαναλῶσαι τοὺς ὑπεναντίους δυνάμενον.

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Περὶ φιλαδελφίας καὶ φιλοξενίας· ἐνῷ, περὶ σωφροσύνης, περὶ αὐταρκίας, περὶ μιμήσεως πατέρων.

ΚΕΦ. XIII, 1. 2 Ἡ φιλαδελφία μενέτω. Τῆς φιλο-
ξενίας μὴ ἐπιλανθάνεσθε· διὰ ταύτης γὰρ ἔλαθόν
3 τινες ξενίσαντες ἀγγέλους (α). Μιμνήσκεσθε τῶν
δεσμίων, ὡς συνδεδεμένοι, τῶν κακουχουμένων, ὡς
4 καὶ αὐτοὶ ὄντες ἐν σώματι. Τίμιος ὁ γάμος ἐν
πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος· πόρνους δὲ καὶ μοι-
5 χοὺς κρινεῖ ὁ θεός. Ἀφιλάργυρος ὁ τρόπος· ἀρ-
κούμενοι τοῖς παροῦσιν· αὐτὸς γὰρ εἴρηκεν·
« Οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλίπω (β)·»
6 ὥστε θαῤῥοῦντας ἡμᾶς λέγειν· « Κύριος ἐμοὶ
βοηθὸς, καὶ οὐ φοβηθήσομαι· τί ποιήσει μοι
ἄνθρωπος (γ); »

Ἡ *φιλαδελφία μενέτω.*] Τουτέστιν, ἑδραία ἔστω, μὴ ἐάσητε αὐτὴν ὑμᾶς ἀποφυγεῖν. *Τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε.*]

(α) Γεν. Κεφ. ΙΗ'. ΙΘ'. (β) Δευτ. ΑΑ', 6.' Ἰησ. Α', 5.
(γ) Ψαλμ. ΡΙΖ', 6, ΝΕ', 5. 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὡς γὰρ διηρπακσμένοι τὰ ὑπάρχοντα, ἴσως φειδομένως ἂν διέκειντο. Διὰ δὲ τοῦ λέγειν, *μετέτω*, καὶ, *μὴ ἐπιλανθάνεσθε*, δείκνυσιν, ὅτι τούτων εἶχοντο τὸ πάλαι τῶν ἀρετῶν, ἀλλὰ νῦν ἐκ τῶν συνεχῶν θλίψεων ἐκινδύνευον περὶ ταύτας τὰς ἀρετὰς ἀποῤῥαθυμῆσαι· διὸ πάλιν αὐτοὺς εἰς ταύτας προτρέπεται. *Διὰ ταύτης γὰρ ἔλαθόν τινες.*] Οὕτω, φησὶ, μέγα ἡ φιλοξενία, ὥστε πρόφασις τοῖς ἀμφὶ τὸν Ἀβραὰμ καὶ τὸν Λὼτ γέγονε πρὸς τὸ ἀγγέλους ὑποδέξασθαι. Τὸ δὲ, *ἔλαθον*, ἀντὶ τοῦ, ἠγνόουν, ὅτι ἄγγελοι ἦσαν οἱ ξενιζόμενοι, καὶ ὅμως οὕτω φιλοῤῥόνως ἐξένισαν αὐτούς· διὸ καὶ μέγας οὗτος ὁ μισθὸς αὐτοῖς· ὡς εἴγε ᾔδεισαν, οὐδὲν μέγα ἐποίουν. *Ὡς συνδεδεμένοι.*] Ὁ γὰρ συνδεδεμένος τινὶ, κἂν θέλῃ ἐπιλαθέσθαι, οὐ δύναται. *Τῶν κακουχουμένων.*] Τῶν κακουχουμένων ἢ ἐν φυλακαῖς, ἢ ἐν λιμῷ, ἢ ἐν ἑτέρᾳ θλίψει. Εἰ γάρ τις ἀνελογίσαιτο, ὅτι καὶ αὐτὸς ὁμοιοπαθὴς ἐκείνοις περίκειται σῶμα, ἐλεήσει μᾶλλον αὐτούς, διά τε τὴν συμπάθειαν, καὶ διὰ τὸν φόβον, μὴ καὶ αὐτὸς τὰ ὅμοια ἐκ τῆς ἀπανθρωπίας πάθῃ. *Τίμιος ὁ γάμος ἐν πᾶσιν.*] Ὅρα, πόσος περὶ σωφροσύνης αὐτῷ ὁ λόγος! Καὶ γὰρ καὶ ἀνωτέρω, ἁγιασμοῦ μνημονεύων, περὶ ταύτης ἔλεγε, καὶ πάλιν μετὰ ταῦτα ἐρεῖ περὶ πόρνων καὶ μοιχῶν. *Ἐν πᾶσιν* οὖν, τουτέστι, μὴ ἐν τούτῳ μὲν τῷ μέρει τίμιος, ἐν ἑτέρῳ δὲ οὐκέτι, ἀλλ' ὅλος δι' ὅλου τίμιος καὶ ἀμίαντος ἔστω. Ἢ ἐν πᾶσι τρόποις, καὶ ἐν πᾶσι καιροῖς· μὴ ἐν θλίψει μέν, ἐν ἀνέσει δὲ οὔ. *Πόρνους καὶ μοιχοὺς κρινεῖ ὁ θεός.*] Καὶ ἐνταῦθα μετὰ ἐπιτιμίων ἡ ἀπαγόρευσις τῆς πορνείας καὶ μοιχείας. *Κρινεῖ* γὰρ ὁ θεὸς, ἀντὶ τοῦ, κατακρινεῖ. Καὶ εἰκότως. Εἰ γὰρ ὁ γάμος ἐπιτέτραπται, καὶ ἔξεστιν ἀναμαρτήτως τὴν ἐπιθυμίαν πληροῦν, τίς ἔσται τοῖς μοιχοῖς καὶ τοῖς πόρνοις ἀπολογία; *Ἀφιλάργυρος ὁ τρόπος.*] Οὐκ εἶπε, Μηδὲν κέκτησθε· (καὶ δῆλον ἐξ ὧν ἐπάγει· *Ἀρκούμενοι τοῖς παροῦσιν, ὅσα ἂν ᾖ·*) ἀλλὰ, Γνώμην ἔχετε φιλόσοφον καὶ ἀφιλάργυρον. *Αὐτὸς γὰρ*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἴρηκεν· *Οὐ μή σε ἀνῶ.*] Ἐπειδὴ ἁρπαγέντες ἦσαν τὰ ὑπάρχοντα· (εἶπε γάρ· *Καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε* (α)·) παραινεῖ αὐτοῖς, ἀρκεῖσθαι τοῖς παροῦσιν· ἵνα δὲ μὴ εἴποιεν· Ποίοις παροῦσιν ἀρκεσθησόμεθα; ἡμεῖς ἡρπάγημεν, καὶ οὐδὲν ἔχομεν· φησίν· Ἀλλὰ κἂν ἡρπάγητε, δύνασθε τοῖς ἀπομείνασι, καὶ βραχυτάτοις οὖσιν, ἀρκεῖσθαι διὰ τὸν εἰπόντα θεόν· *Οὐ μή σε ἀνῶ*, τουτέστιν, οὐ μή σε ἐάσω, οὐδ' οὐ μή σε ἐγκαταλίπω. *Ὥστε θαῤῥοῦντας ἡμᾶς λέγειν.*] Εἰ οὐκ ἐᾷ, οὐδὲ ἐγκαταλιμπάνει ὁ θεὸς, θαῤῥοῦντας οὖν, φησὶ, λέγειν χρὴ τὸ τοῦ Δαυΐδ· *Κύριος ἐμοὶ βοηθός.* Εἰ γὰρ ὁ θεὸς βοηθεῖ, οὐ δεῖ ὑπὲρ τῶν ἁρπαζόντων ἢ ἐπηρεαζόντων δεδοικέναι.

7 Μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ θεοῦ· ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τὴν πίστιν.
8 Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς, καὶ εἰς τοὺς αἰῶνας.

Μνημονεύετε τῶν ἡγουμένων.] Τῶν διδασκάλων. Τοῦτο καὶ Θεσσαλονικεῦσι παρήνει, ὥστε ἔχειν αὐτοὺς ἐν τιμῇ ὑπερεκπερισσοῦ (β). Καὶ ὥσπερ ἐκεῖνοι τοῦ λόγου μεταδιδάσιν, οὕτως, εἰ ἔνεστι, βοηθεῖν αὐτοῖς ἐν ταῖς σωματικαῖς χρείαις. Τοῦτο γὰρ αἰνίττεται διὰ τοῦ, *μνημονεύετε.* Ἢ καὶ πρὸς μίμησιν αὐτῶν ἐπαλείφει τούτους. *Ὧν ἀναθεωροῦντες.*] Ἀναλογιζόμενοι, ἐξετάζοντες. Δύναται τοῦτο καὶ περὶ τετελευτηκότων εἰρῆσθαι, καὶ περὶ ζώντων· περὶ τετελευτηκότων μέν· Ἀναθεωροῦντες, φησὶ, πῶς ἐξέβησαν τὸν βίον, ποίᾳ ἀναστροφῇ ἐχρήσαντο ἐν τῷ κόσμῳ, μιμεῖσθε αὐτῶν τὴν πίστιν· ἀπὸ γὰρ πίστεως ὁ βίος ὁ καθαρός· εἰ γὰρ μὴ ἐπίστευον ἐκεῖνοι τοῖς μέλλουσιν, ἀλλὰ ἐδίσταζον, οὐκ ἂν ἀρίστην ἐπεδείξαντο πολιτείαν· περὶ ζώντων δέ· Ἀναθεωροῦντες, φησὶ,

(α) Ἑβρ. Ι, 34. (β) 1' Θεσσαλ. Ε, 13.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πῶς διεξέρχονται καλῶς τὴν ἐν τῷ βίῳ ἀναστροφὴν, μιμηταὶ γίνεσθε τῆς πίστεως αὐτῶν. *Τὴν ἔκβασιν τῆς ἀναστροφῆς.*] Τὴν ἄχρι τέλους πολιτείαν. *Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον.*] Ὡς ἔοικεν, ἦσάν τινες παρ' αὐτοῖς παραχαράττοντες τὴν πίστιν, καὶ λέγοντες, ὅτι ὁ σταυρωθεὶς, οὐκ ἔστιν ὁ κατηγγελμένος καὶ προσδοκώμενος Χριστός· ὅτι ἄλλος ἥξει, ὃν καὶ μέχρι τοῦ νῦν προσδοκῶσιν οἱ Ἑβραῖοι. Φησὶν οὖν, ὅτι *Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς, καὶ εἰς τοὺς αἰῶνας·* διὰ μὲν τοῦ, *χθὲς*, τοὺς παρεληλυθότας αἰῶνας δηλῶν· διὰ δὲ τοῦ, *σήμερον*, τοὺς ἐνεστῶτας· καὶ διὰ τοῦ, *καὶ εἰς τοὺς αἰῶνας*, τοὺς μέλλοντας καὶ ἀπεράντους· ὡς εἰ εἶπεν· Οὐχ ἥξει ἕτερος Χριστός· ὁ γὰρ ἐλθὼν, οὗτός ἐστιν, ὃς προῆν, καὶ ἐστὶ, καὶ ἔσται εἰς τοὺς αἰῶνας. Μὴ τοίνυν πλανᾶσθε.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Περὶ τοῦ μὴ σωματικῶς ζῆν κατὰ νόμον, ἀλλὰ πνευματικῶς, κατὰ Χριστὸν ἐν ἀρετῇ.

9 Διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ παραφέρεσθε· καλὸν γὰρ, χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν, ἐν οἷς οὐκ ὠφελήθησαν οἱ περιπατήσαν-
10 τες. Ἔχομεν θυσιαστήριον, ἐξ οὗ φαγεῖν οὐκ
11 ἔχουσιν ἐξουσίαν οἱ τῇ σκηνῇ λατρεύοντες. Ὧν γὰρ εἰσφέρεται ζώων τὸ αἷμα περὶ ἁμαρτίας εἰς τὰ ἅγια διὰ τοῦ ἀρχιερέως, τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς.

Διδαχαῖς ποικίλαις.] Διδασκαλίαις, φησὶ, ταῖς ὑπὲρ δογμάτων, μήτε διαφόροις, μήτε ξέναις παρασύρεσθε· ἓν γάρ ἐστι, καὶ αὐτὸ γνώριμον, τὸ δόγμα. Τὸ δὲ, *παραφέρεσθε*, ἀπὸ μεταφορᾶς τῶν μαινομένων, τῶν τῇδε

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κἀκεῖσε παραφερομένων εἴρηται (1). *Καλὸν γὰρ, χάριτι βεβαιοῦσθαι τὴν καρδίαν.*] Ἡ γὰρ χάριτι θεοῦ βεβαιουμένη πρὸς τὴν πίστιν καρδία, οὔτε ξένῃ, οὔτε ποικίλῃ παρενεχθείη διδασκαλίᾳ, ἀλλὰ τὴν ὀρθὴν τηρήσει. *Οὐ βρώμασιν.*] Ἐν τῇ πίστει οὖν, τῇ διὰ χάριτος θεοῦ ἐνεργουμένῃ, δεῖ βεβαιοῦσθαι τὴν καρδίαν, οὐ μὴν βεβαιοῦσθαι αὐτὴν πρὸς παρατήρησιν βρωμάτων· οἱ γὰρ εἰς τὰς παρατηρήσεις ταύτας *περιπατοῦντες*, τουτέστιν, οἱ ταύτας φυλάττοντες, οὐδὲν ἐξ αὐτῶν ὠφελήθησαν (2). Αἰνίττεται δέ τινας παρ' αὐτοῖς ἔθει ἰουδαϊκῷ παρατηρουμένους τὰ βρώματα. *Ἔχομεν θυσιαστήριον.*] Ἐπειδὴ εἶπεν, ὅτι οὐ χρὴ παρατηρεῖσθαι βρώματα, ἵνα μὴ νομίσωσιν εὐκαταφρόνητα εἶναι τὰ ἡμέτερα τῷ εἶναι ἀπαράτηρατα, φησὶ· Μὴ γὰρ καὶ ἡμεῖς οὐκ ἔχομεν παρατηρήσεις; ἀλλ' οὐ βρωμάτων, ἀλλὰ τοῦ θυσιαστηρίου ἡμῶν, ἤτοι, τῆς ἀναιμάκτου θυσίας τοῦ ζωοποιοῦ σώματος. Ταύτης γὰρ οὐδὲ αὐτοῖς τοῖς τῶν Ἰουδαίων ἀρχιερεῦσιν ἔξεστι μετασχεῖν· οὗτοι γὰρ *οἱ τῇ σκηνῇ*, οἷον, τῷ τύπῳ καὶ τῇ σκιᾷ, καὶ οὐκ ἀληθείᾳ δουλεύοντες. *Ἐξ οὗ φαγεῖν οὐκ ἔχουσιν ἐξουσίαν.*] Οὐχ οἷα, φησὶ, τὰ ἰουδαϊκὰ, τοιαῦτα καὶ τὰ ἡμέτερα· ὡς μηδὲ τῷ ἀρχιερεῖ θέμις εἶναι μετασχεῖν αὐτῶν (3). *Ὧν γὰρ εἰσφέρεται ζώων τὸ αἷμα.*] Εἶτα δείκνυσι τὰ παρὰ Ἰουδαίοις σεμνὰ,

(1) « Ποικίλαις, ταῖς ἄλλοτε ἄλλαις, καὶ παρ' ἄλλων καὶ ἄλλων. Ἀλλὰ καὶ ξέναις, τοῦ ὀρθοῦ ἀλλοκότοι δόγματος. Ἔστι γὰρ ποικίλην μὲν εἶναι διδασκαλίαν, μὴ ξένην δὲ· καὶ διὰ τοῦτο οὐκ ἀδόκιμον. Ὅταν δὲ καὶ ποικίλαι, τουτέστι, παρὰ τοῦδε, τόδε, καὶ παρὰ τοῦδε, τόδε· καὶ ξέναι, τουτέστιν, ἀλλότριαι τῆς ἀληθείας, τότε δεῖ φυλάττεσθαι. Ἡ γὰρ ἀληθεια, μονοειδὴς, καὶ πρὸς ἓν ἀφορῶσα. Ὅρα δὲ τὸ, περιφέρεσθε, ὡς ἐπί τινων κούφων, καὶ ἐνταῦθα κἀκεῖ ῥᾳδίως περιαγομένων. » Θεοφύλακτος

(2) « Οἱ ἐν τοῖς βρώμασι περιπατήσαντες, τουτέστι, τῇ τῶν βρωμάτων παρατηρήσει στοιχήσαντες διαπαντὸς, οὐδὲν εἰς ψυχὴν ὠφελήθησαν, ὡς τῆς πίστεως ἔξω ὄντες, καὶ τῷ νόμῳ τῷ ἀνωφελεῖ δουλεύοντες. » Θεοφύλακτος.

(3) « Ἐπειδὴ καὶ ὁ θεῖος νεὼς κατὰ τὸν καιρὸν ἐκεῖνον εἱστήκει, καὶ τὰ ἱερὰ κατὰ νόμον ἐθύετο, ἀναγκαίως ἐπήγαγεν· « Ἔχομεν θυσιαστήριον, ἐξ οὗ φαγεῖν οὐκ ἔχουσιν ἐξουσίαν οἱ τῇ σκηνῇ λατρεύοντες. » Τοῦτ, φησι, τοῦ παλαιοῦ πολλῷ τιμιώτερον· ἐκεῖνο γὰρ τούτου σκιὰ· ἐκεῖνο δέχεται τὰς ἀλόγους θυσίας· τοῦτο δὲ τὴν λογικήν τε καὶ θείαν. Οὗ δὴ χάριν οὐδεὶς ἐκείνων τῶν ἱερέων ταύτης μεταλαμβάνει, εἰμὴ πρότερον τὴν εἰς τὸν Κύριον δέξηται πίστιν. » Θεοδώρητος

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τύπους ὄντα τῶν ἡμετέρων, καὶ φησιν, ὅτι οὐδὲν ἦσαν ἐκεῖναι αἱ θυσίαι, ὧν ἐκωλύοντο μετέχειν οἱ τοῦ λαοῦ· τῆς δὲ ἡμετέρας θυσίας οὐδὲ οἱ τοῦ νόμου ἀρχιερεῖς μετέχουσι· ταύτην γὰρ ἐκεῖναι ἐτύπουν. Ὥσπερ γὰρ ἐπὶ τῶν θυσιῶν, τῶν περὶ ἁμαρτίας προσφερομένων, τὸ μὲν αἷμα εἰς τὰ ἅγια εἰσεφέρετο διὰ τοῦ ἀρχιερέως· τὰ δὲ σώματα ἔξω τῆς παρεμβολῆς ἐκαίετο· οὕτω καὶ ὁ Χριστὸς, ὑπὲρ τῶν τοῦ κόσμου ἁμαρτιῶν παθὼν, τὸ μὲν αἷμα αὐτοῦ εἰς τὰ ἅγια εἰσεκόμισε τῷ πατρὶ ὡς ἀρχιερεύς· τὸ δὲ σῶμα αὐτοῦ ἔξω τῆς πόλεως Ἱερουσαλὴμ ἀνεσκολοπίσθη, διὰ τὸ καὶ τὰ σώματα τῶν ὑπὲρ ἁμαρτίας θυσιῶν ἔξω τῆς παρεμβολῆς καίεσθαι. Τοῦτο δὴ οὖν τὸ αἷμα διὰ τοῦ παρ' ἡμῖν ἀρχιερέως εἰσφέρεται εἰς τὸ παρ' ἡμῖν θυσιαστήριον. Διὸ οὐκ ἔξεστι τοῖς Ἰουδαίων ἀρχιερεῦσιν ἐξ αὐτοῦ τοῦ θυσιαστηρίου φαγεῖν, ὡς ἀλλογενέσι, καὶ ὡς μὴ ὑπὲρ τὸν κόσμον τοῦτον φρονοῦσιν· ἡμεῖς δὲ οὐχ οὕτως.

12 Διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος
13 τὸν λαὸν, ἔξω τῆς πύλης ἔπαθε. Τοίνυν ἐξερχώ-
μεθα πρὸς αὐτὸν ἔξω τῆς παρεμβολῆς, τὸν ὀνει-
14 δισμὸν αὐτοῦ φέροντες· οὐ γὰρ ἔχομεν ὧδε μέ-
νουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν.
15 Δι' αὐτοῦ οὖν ἀναφέρωμεν θυσίαν αἰνέσεως διαπαν-
τὸς τῷ θεῷ, τοῦτ' ἔστι, καρπὸν χειλέων ὁμολογούν-
των τῷ ὀνόματι αὐτοῦ.

Διὸ καὶ Ἰησοῦς.] Τοῦτο πρὸς τοὺς ἐπαπορήσαντας ἄν, Πῶς λέγεις ἔχειν θυσιαστήριον; τί γὰρ ἐτύθη ἐν αὐτῷ; καὶ γὰρ καὶ αὐτὸς ὁ Χριστὸς, ὃν ἄνω καὶ κάτω περιάγεις ὅτι ἐτύθη, ὅτι θυσία γέγονεν ὑπὲρ τοῦ κόσμου καὶ προσφορὰ, οὐδ' αὐτὸς οὖν ἐν τῷ θυσιαστηρίῳ σου τέθυται· φανερὸν γὰρ, ὅτι ἔξω τῆς πόλεως Ἱερουσαλὴμ ἔπαθε. Πρὸς οὖν τούτους, Ναί, φησιν, ἔξω μὲν ἔπαθεν, ἀλλὰ διὰ τούτου μᾶλλον κατασκευάζεται, ὅτι ἔχομεν θυσιαστήριον· καὶ γὰρ καὶ παρ' αὐτοῖς τοῖς Ἰουδαίοις, οὐκ ἐν αὐτοῖς τοῖς θυσιαστηρίοις καταναίεται τῶν θυομένων

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὰ σώματα, ἀλλ' ἔξω τῆς παρεμβολῆς. Καὶ ἔτι, διὰ τοῦτο ἔξω τῆς πύλης ἔπαθεν, *ἵνα πάντας*, καὶ *μὴ μόνον* τοὺς ἱερεῖς, *ἁγιάσῃ*. Εἰ δὲ θυσία γέγονεν ὑπὲρ πάντων, πῶς οὐχὶ καὶ θυσιαστήριόν ἐστι; Τὸ δὲ, *Ἵνα ἁγιάσῃ τὸν λαὸν*, καὶ ἄλλην ἔννοιαν δίδωσιν. Εἶπον, φησίν, ὅτι οἱ *τῇ σκηνῇ λατρεύοντες οὐκ ἔχουσιν ἐξουσίαν φαγεῖν ἐκ τοῦ θυσιαστηρίου ἡμῶν*, οὐχ ὅτι ἀδύνατον αὐτοῖς τοῦτο, ἀλλ' ὅτι κατὰ γνώμην ἑαυτῶν ἀναξίους ἑαυτοὺς ἀποφαίνουσιν· ἐπεὶ τόγε ἀπὸ τῆς φιλανθρωπίας τοῦ Χριστοῦ, οὐ μόνον οὐ κεκώλυται, ἀλλὰ καὶ δι' αὐτὸ τοῦτο πέπονθεν. *Ἵνα* γὰρ *ἁγιάσῃ*, φησὶν, οὐχὶ τόνδε, ἢ τόνδε, ἀλλὰ σύμπαντα τὸν λαὸν, καὶ ποιήσῃ αὐτοὺς ἐξουσίαν ἔχειν καὶ ἐκ τοῦ θυσιαστηρίου αὐτοῦ ἐσθίειν, ἔξω τῆς πύλης ἔπαθε. *Τοίνυν ἐξερχώμεθα.*] Ἐπεὶ οὖν ὁ Χριστὸς ἔξω τῆς πύλης ἔπαθεν, *ἐξερχώμεθα πρὸς αὐτὸν ἔξω τῆς παρεμβολῆς*, τουτέστιν, ἔξω τοῦ κόσμου, *μηδὲν κοσμικὸν*, μήτε γήϊνον, μήτε τῆς κάτω ὕλης ἐπιφερόμενοι. *Ἢ, ἔξω τῆς πόλης*, τουτέστιν, ἔξω τοῦ κόσμου, *τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες*, τουτέστι, τὰ ὅμοια αὐτῷ πάσχοντες, εἰ δοκοῖ· τοῦτο γὰρ δηλοῖ, *τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες*, ὃν αὐτὸς ὑπέμεινε διά τε τῶν σκωμμάτων καὶ τοῦ σταυροῦ.—ΑΛΛΟ. Ἔοικεν ὁ θεσπέσιος Παῦλος, *ἔξω τῆς παρεμβολῆς*, ἔξω τοῦ κόσμου λέγειν· ζωῆς γὰρ ἡμᾶς ἐξίστησι κοσμικῆς. — *Οὐ γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν.*] Δεῖ οὖν μετὰ προθυμίας αἱρεῖσθαι τὸν ὑπὲρ Χριστοῦ θάνατον· καὶ μάλιστα, διότι οὐκ εἰσὶν ἡμῶν πόλεις αἱ ὧδε πόλεις, ἀλλὰ δεῖ ἑτέραν ζητεῖν, τὴν μένουσαν· αὗται γὰρ ἀπόλλυνται (1). *Δι' αὐτοῦ οὖν.*] Ὡς δὲ ἀρχιερέως τὸ κατὰ σάρκα, ἀναφέρωμεν τῷ πατρὶ *θυσίαν*

(1) « Τὸ δεῖν ἐξέρχεσθαι ἔξω τῆς πόλης, τουτέστι, τοῦ κόσμου, κατασκευάζει. Οὐκ ἔχομεν γὰρ μετοχήν τινα ἐν τῷ κόσμῳ τούτῳ, ἐπεὶ δὲ οὐδὲ μένει. Ὀφείλομεν οὖν φεύγειν ἐκ τούτου, καὶ πρὸς τὴν μέλλουσαν πόλιν τρέχειν, τουτέστι, τὸν οὐρανόν. » Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αἰνέσεως, τουτέστιν, εὐχαριστίαν. Εὐχαριστοῦμεν γὰρ τῷ πατρὶ, ὡς τὸν υἱὸν αὐτοῦ δόντι ὑπὲρ τοῦ ἁγιάσαι ἡμᾶς. Τοῦτο δὲ διὰ τοὺς ἀσθενεῖς. Ἐπεὶ, ὅτι τοῦ υἱοῦ ἡ χάρις δῆλον ἐκ τοῦ ἴσην εἶναι τὴν τιμήν· *Ἵνα* γάρ, φησι, *πάντες τιμῶσι τὸν υἱὸν, καθὼς τιμῶσι τὸν πατέρα* (α). *Τοῦτ' ἔστι καρπὸν χειλέων.*] Τί δέ ἐστι *καρπὸς χειλέων*; Εὐχαὶ, ὕμνοι δεήσεις πρὸς τὸν θεόν. Ἐπειδὴ γὰρ εἶπε, *θυσίαν*, ἵνα μὴ νομίσωσι τὰς διὰ ζώων αὐτὸν λέγειν θυσίας, ἡρμήνευσε ἑαυτόν. *Θυσίας*, φησὶ, λέγω τὰς ἀναιμάκτους, τὰς διὰ χειλέων, τὰς ἐν εὐχαῖς καὶ ὕμνοις καὶ δεήσεσιν. *Ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ.*] *Ὁμολογούντων τῶν χειλέων τῷ ὀνόματι αὐτοῦ*, τουτέστι, χάριν εἰδότων, ὅτι ὑπὲρ τῶν ἡμετέρων ἀπέθανεν ἁμαρτιῶν. Ἢ, *ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ*, τουτέστιν, ἐξομολογουμένων τῶν χειλέων ἡμῶν τὸ ὀνόματι αὐτοῦ.

16 Τῆς δὲ εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε
17 τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ θεός. Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες· ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι καὶ μὴ στενάζοντες· ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο
18 Προσεύχεσθε περὶ ἡμῶν· πεποίθαμεν γὰρ, ὅτι καλὴν συνείδησιν ἔχομεν, ἐν πᾶσι καλῶς θέλοντες
19 ἀναστρέφεσθαι· περισσοτέρως δὲ παρακαλῶ τοῦτο ποιῆσαι, ἵνα τάχιον ἀποκατασταθῶ ὑμῖν.

Τῆς δὲ εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε.] *Εὐποιΐαν καὶ κοινωνίαν*, τὴν αὐτὴν λέγει. *Εὐαρεστεῖται ὁ θεός.*] Οἷον ἀρέσκεται· τὸ γὰρ, *εὐαρεστεῖται*, τὸ καλῶς ἀρέσκεσθαι δηλοῖ. Ὥστε οὐ χρὴ μόνον καρπὸν χειλέων προσφέρειν, ἀλλὰ καὶ τὰς τοιαύτας θυσίας, οἷον τὰς τῆς εὐχαριστίας καὶ τῆς εὐποιΐας. Ὁ γὰρ εὐχάριστος, πρόδηλον, ὅτι καὶ εὐμετάδοτος

(1) Ἰωαν. Ε, 23.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βόλος

ἐστιν, ἅτε εἰδὼς τίνων ἠξίωται (1). *Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν.*] Περὶ ἐπισκόπων λέγει. Πρότερον δὲ αὐτοὺς ἐπαινέσας ἐν τῷ εἰπεῖν, *πιστοὺς* καὶ τοῦ *ζηλοῦσθαι ἀξίους*, ἐν τῷ λέγειν· *Ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, ζηλοῦτε τὴν πίστιν*, τότε ἐπάγει, *Πείθεσθε*. Τί οὖν; Παντὶ ἄρχοντι πείθεσθαι δεῖ; Τῷ μὲν κακῶς πιστεύοντι οὐ δεῖ πείθεσθαι· τῷ δὲ κακῶς μὲν βιοῦντι, καλῶς δὲ πιστεύοντι, πείθεσθαι χρή· *Πάντα γάρ*, φησιν, *ὅσα ἂν λέγωσιν ὑμῖν ποιεῖν, ποιεῖτε· κατὰ δὲ τὰ ἔργα αὐτῶν, μὴ ποιεῖτε* (α). Περὶ δὲ τῶν περὶ τὴν πίστιν διεφθαρμένων φησί· *Διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ παραφέρεσθε*. Τί δήποτε; Ὅτι ὁ μὲν κακῶς βιῶν, οὐκ ἂν κακῶς βιοῦν συμβουλεύσειε τοῖς ἄλλοις· καὶ γὰρ καὶ αὐτὸς ταῦτα πράττων αἰσχύνεται· καὶ δῆλον ἐκ τοῦ μηχανᾶσθαι πάντα τρόπον κρύπτειν ἃ πράττει· ὁ δὲ περὶ τὴν πίστιν κακὸς, κακῶς καὶ τῷ λαῷ κηρύξει. *Καὶ ὑπείκετε.*] Τὴν ἐπιτεταμένην πειθὼ διὰ τοῦ, *ὑπείκετε*, δηλοῖ, ὥστε καὶ δι' ἔργων αὐτοῖς δουλεύειν, εἰ δεήσει. *Αὐτοὶ γὰρ ἀγρυπνοῦσιν.*] Ἀκουέτωσαν οἱ ἡγούμενοι, ὅτι, ὥσπερ τὸν λαὸν πειθήνιον εἶναι χρή· οὕτω καὶ τὸν ἱερέα ἄγρυπνον ὑπὲρ τῶν ἁμαρτιῶν τοῦ λαοῦ· οἱ γὰρ ἡγούμενοι, ὑπὲρ τῶν τοῦ λαοῦ ἁμαρτιῶν ὑπόκεινται τιμωρίᾳ. *Ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσιν.*] Αὐτοὶ μὲν οὖν πάντως ἀγρυπνήσουσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν· τὸ δὲ ὑμῶν πειθήνιον, ἢ μὴ, ἐκείνους ἢ μετὰ χαρᾶς; ἢ μετὰ στεναγμῶν τοῦτο ποιεῖν παρασκευάσει· ὅπερ *ἀλυσιτελὲς* ὑμῖν ἔσαι,

---

(1) « Ἔθεντε τὴν τῆς αἰνέσεως θυσίαν ἀρέσκουσαν τῷ θεῷ. Συνέζευξε δὲ αὐτῇ καὶ τὴν τῆς εὐποιΐας, ἣν κοινωνίαν εἰκότως ἐκάλεσε. Καὶ γὰρ ὁ Κύριος ἔφη· Ποιήσατε ἑαυτοῖς φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας· ἵνα, ὅταν ἐκλίπητε, δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους αὐτῶν σκηνάς (Λουκ. ΙϚ', 9.). Καὶ ὁ θεῖος ἀπόστολος· Τὸ ὑμῶν περίσσευμα εἰς τὸ ἐκείνων ὑστέρημα, ἵνα γένηται καὶ τὸ ἐκείνων περίσσευμα εἰς τὸ ὑμῶν ὑστέρημα, ὅπως γένηται ἰσότης (Β Κορ. Η, 14.). Κοινωνία τινῶν ἐστι καὶ ἀντίδοσις· ὁ μὲν γὰρ δίδωσι χρήματα, ὁ δὲ ἀντιδίδωσιν εὐλογίαν, καὶ ἔστι τοῦ δεομένου τὰ μείζονα. » Θεοδώρητος.

(α) Ματθ. ΚΓ', 3.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τουτέστιν, ἀσύμφορον, ἀνωφελές· ὁ θεὸς γὰρ ἐπαμυνεῖ (1) *Προσεύχεσθε περὶ ἡμῶν.*] Ἐπειδή τινες διέβαλλον τὸν ἀπό στολον, ὡς ἀποστασίαν ἐκ τοῦ νόμου διδάσκοντα, διὰ τοῦτ ἀπεχθῶς εἶχον πρὸς αὐτὸν πολλοὶ τῶν Ἑβραίων· διὸ οὐδὲ τ ὄνομα αὐτοῦ ἐν ἀρχῇ τῆς ἐπιστολῆς τέθεικεν, ἵνα μὴ Παύ λου τὸ ὄνομα εὑρίσκοντες, μηδὲ ἀναγνῶσι τὴν ἐπιστολήν Ὅθεν νῦν ἀπολογεῖται αὐτοῖς. Καὶ πρῶτον μὲν ἀξιοῖ αὐτοὺ εὔχεσθαι ὑπὲρ αὐτοῦ, ὃ παρὰ τῶν φιλούντων εἰώθαμεν αἰτεῖ σθαι. Ἔπειτα δὲ δείκνυσι καὶ ἑαυτὸν ἀθῷον· *πεποίθαμε γάρ*, φησιν, *ὅτι καλὴν συνείδησιν* ἔχομεν· τουτέστιν, οὐδὲ μετὰ ὑποκρίσεως πεποιήκαμεν, ἀλλὰ τὸ συνειδὸς ἡμῶν καθα ρόν ἐστι, καὶ οὐ συνοίδαμεν ἑαυτοῖς, ὅτι ἐπεβουλεύσαμε ὑμῖν, ἢ πονηρόν τι καθ' ὑμῶν εἰργασάμεθα, ἢ διεβάλλομε ὑμᾶς. *Ἐν πᾶσι καλῶς θέλοντες ἀναστρέφεσθαι.*] Τουτέ στιν, ἐν πᾶσιν ἀπροσκόπως διάγειν σπουδάζοντες καὶ ἀσκαν δαλίστως· οὐκ ἀποστασίαν τοῦ νόμου κηρύσσοντες, καθώ τινες διαβάλλουσιν, ἀλλ' ἀπὸ τοῦ γράμματος καὶ τῆς σκιᾶ ἐπὶ τὸ πνεῦμα καὶ τὴν ἀλήθειαν μετάγοντες· ὅπερ οὐκ ἔστι ἀποστασία, ἀλλὰ πλήρωσις μᾶλλον καὶ συνηγορία τοῦ νόμου *Περισσοτέρως δὲ παρακαλῶ τοῦτο ποιῆσαι.*] Ποῖον τοῦτο Τὸ εὔχεσθαι ὑπὲρ ἡμῶν. Τοῦτο σφόδρα φιλοῦντος ἦν αὐτοὺ τὸ θέλειν οὕτως εὔξασθαι αὐτοὺς θερμῶς καὶ μετὰ πάσ σπουδῆς, ὥστε τάχιον ἀποκατασταθῆναι αὐτοῖς. *Ἵνα τάχιο ἀποκατασταθῶ ὑμῖν.*] Τοῦτο θαρροῦντος ἦν, ὅτι ἀγαθὴν συν εἰδησιν εἶχε, τὸ θέλειν καὶ αὐτοπροσώπως αὐτοὺς πεῖσα ὅπερ οὐκ ἂν ἐποίησεν, εἴπερ συνήδει ἑαυτῷ πονηρόν τι.

---

(1) « Ἐὰν μὲν ὑπείκῃς, φησὶ, καὶ θεραπεύῃς τὸν ἡγούμενόν σου, τὸ βάρος τ ὑπὲρ σοῦ φροντίδος κοῦφον ποιεῖς αὐτῷ, ἅτε χαίροντι ἐπὶ τὸ ὑποτάσσεσθαί σε. Ἐ δὲ ἀπαναισχυντῇς, αὐτὸς μὲν καὶ οὕτως ἀγρυπνήσει ὑπὲρ τῆς σῆς ψυχῆς· πλ ἐὰν μὴ διορθώσῃ τὸ ἀνυπότακτον, στενάξει κατὰ σοῦ πρὸς τὸν θεόν· ὅπερ ἀλυσ τελές ἐστι. Ὅρα δὲ, οὐκ ἐπιτρέπει τῷ ἡγουμένῳ ἄλλως ἀμύνασθαι, εἰ μὴ διὰ σ νάγκῃ » Θεοφύλακτος.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

Εὐχὴ πρὸς τὸν θεὸν περὶ τῆς εἰς ἀρετὴν ἀγωγῆς καὶ οἰκονομίας.

20 Ὁ δὲ θεὸς τῆς εἰρήνης, ὁ ἀναγαγὼν ἐκ νεκρῶν
τὸν ποιμένα τῶν προβάτων τὸν μέγαν ἐν αἵματι
21 διαθήκης αἰωνίου, τὸν Κύριον ἡμῶν Ἰησοῦν, καταρ-
τίσαι ὑμᾶς ἐν παντὶ ἔργῳ ἀγαθῷ, εἰς τὸ ποιῆσαι τὸ
θέλημα αὐτοῦ, ποιῶν ἐν ὑμῖν τὸ εὐάρεστον ἐνώπιον
αὐτοῦ, διὰ Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶ-
22 νας τῶν αἰώνων. Ἀμήν. Παρακαλῶ δὲ ὑμᾶς, ἀδελ-
φοί· ἀνέχεσθε τοῦ λόγου τῆς παρακλήσεως· καὶ
23 γὰρ διὰ βραχέων ἐπέστειλα ὑμῖν. Γινώσκετε τὸν
ἀδελφὸν Τιμόθεον ἀπολελυμένον, μεθ' οὗ, ἐὰν τά-
24 χιον· ἔρχηται, ὄψομαι ὑμᾶς. Ἀσπάσασθε πάντας
τοὺς ἡγουμένους ὑμῶν, καὶ πάντας τοὺς ἁγίους.
25 Ἀσπάζονται ὑμᾶς οἱ ἀπὸ τῆς Ἰταλίας. Ἡ χάρις
μετὰ πάντων ὑμῶν. Ἀμήν.

Ο *δὲ θεὸς τῆς εἰρήνης.*] Πρῶτον παρ' αὐτῶν αἰτήσας τὰς εὐχὰς, καὶ τιμήσας αὐτοὺς κἀν τούτῳ, οὕτως ἤδη καὶ αὐτὸς ἐπεύχεται αὐτοῖς. Ἐπειδή, φησι, θεὸς εἰρήνης ἐστὶν, οὐ δεῖ ὑμᾶς ἀπὸ μόνης ἀκοῆς ψευδοῦς διαστασιάζειν πρὸς ἐμὲ καὶ πολεμίως ἔχειν. *Ὁ ἀναγαγὼν ἐκ νεκρῶν τὸν ποιμένα τῶν προβάτων τὸν μέγαν.*] Ποῖον; Τὸν Κύριον ἡμῶν, φησὶν, Ἰησοῦν. Τὸν περὶ ἀναστάσεως αὐτοῖς βεβαιοῖ λόγον, ἐκ τῆς Ἡσαΐου προφητείας τὴν χρῆσιν λαβών (α). Ὡς ὄντων δὲ καὶ ἄλλων ποιμένων μὲν, μικρῶν δὲ, εἶπε τὸ, *μέγαν.* Πολλοὶ γὰρ προφῆται διδάσκαλοι, ἀλλ' εἷς καθηγητὴς, ὁ Χριστός. *Ἐν αἵματι διαθήκης αἰωνίου.*] Τουτέστιν, ἤγειρεν αὐτὸν ἐκ νεκρῶν ἀποθανόντα, καὶ ἐκχέαντα τὸ αἷμα αὐτοῦ, ἵνα εἴη τοῦτο ἡμῖν

(α) Ἡσ. ΞΓ', 11.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰς διαθήκην *αἰώνιον*, τουτέστιν, οὐ καταλυομένην, ὡς ἡ νομικὴ, ἀλλὰ διαιωνίζουσαν. Ἢ οὕτως· Ἤγειρεν αὐτὸν ἐκ νεκρῶν σὺν αἵματι διαθήκης αἰωνίου. Ἐγερθέντος γὰρ αὐτοῦ, τὸ αἷμα αὐτοῦ κεχάρισται ἡμῖν εἰς διαθήκην αἰώνιον. Εἰ γὰρ μὴ ἐγήγερτο, οὐκ ἂν ἦν ἡμῖν τὸ αἷμα αὐτοῦ εἰς διαθήκην. *Καταρτίσαι ὑμᾶς ἐν παντὶ ἔργῳ ἀγαθῷ.*] Οἷον, πληρῶσαι, τελειῶσαι. Δείκνυσιν οὖν, ὅτι ἤρξαντο μὲν τῶν ἀγαθῶν ἔργων ἐδέοντο δὲ τοῦ τελειωθῆναι ἐν αὐτοῖς· ὃ καὶ ἐπεύχεται αὐτοῖς Ὅρα δὲ, ὅτι ἡμᾶς δεῖ ἐνάρξασθαι πρότερον, καὶ τότε αἰτεῖσθα παρὰ τοῦ θεοῦ τὸ τέλος. *Εἰς τὸ ποιῆσαι τὸ θέλημα αὐτοῦ.* Ὁ γὰρ εἰς πᾶν ἔργον ἀγαθὸν κατηρτισμένος καὶ πεπληρωμένος ἐκεῖνος ἰσχύει ποιῆσαι τὸ θέλημα τοῦ θεοῦ. *Πᾶν δὲ ἔργον* λέγει, ἔργον καὶ πίστιν. *Ποιῶν ἐν ὑμῖν τὸ εὐάρεστον.*] Ὅταν δὲ ἡμᾶς καταρτίσῃ εἰς πᾶν ἔργον ἀγαθὸν, εἰς τὸ ποιεῖν τ θέλημα αὐτοῦ, τότε ἐμποιεῖ ἐν ἡμῖν τὸ εὐάρεστον αὐτῷ. Τ δέ ἐστιν αὐτῷ εὐάρεστον; Τὸ ποιεῖν ἡμᾶς τὸ θέλημα αὐτοῦ Εἰπὼν δὲ, τὸ *εὐάρεστον*, προσέθηκε τὸ, *ἐνώπιον αὐτοῦ*. Τότ γὰρ ὄντως εὐαρεστοῦμεν, ὅταν ἐνώπιον τοῦ θεοῦ καλοὶ φαινώ μεθα, οὐχ ὅταν ἐνώπιον τῶν ἀνθρώπων. *Διὰ Ἰησοῦ Χριστοῦ.* Λύτός, φησι, ποιεῖ τὸ εὐάρεστον αὐτῷ, δι' ἡμῶν μέσων. Ὁρᾷ ὅτι τὸ πᾶν τοῦ θεοῦ ἐστί; Τοῦτο δὲ ποιήσει καὶ ἐπιτελέσ εἰς ἡμᾶς, τὸ εὐάρεστον αὐτῷ, διὰ τοῦ Χριστοῦ. Εἰ γὰρ μεσίτ γενέσθαι θεοῦ καὶ ἡμῶν ἠθέλησεν, εἰκότως δι' αὐτοῦ ὁ πατ τὸ εὐάρεστον αὐτῷ εἰς ἡμᾶς ἐπιτελέσει (1). *Ἀντέχεσθε τ λόγου τῆς παρακλήσεως.*] Ἀσμένως δέξασθε τὴν παρ' ἐμ πεμφθεῖσαν διὰ τῶν γραμμάτων παράκλησιν. Οὐ λέγει δὲ, τ συμβουλῆς, ἢ, παραινέσεως, ἀλλὰ, διὰ τὰς θλίψεις, ἐν αἷς ἦσα

(1) « Ὥστε, ὅταν ποιῶμεν ἡμεῖς τὸ καλὸν, ὁ θεὸς ποιεῖ τοῦτο ἐν ἡμῖν διὰ Ἰ σοῦ Χριστοῦ, τουτέστι, μεσίτῃ καὶ ἐνεργῷ ἐκείνῳ χρώμενος. Ὁ γὰρ τὴν σω ρίαν ἡμῶν ἐξ ἀρχῆς ἐνεργήσας, τί θαυμαστὸν, εἰ καὶ ἐν τῇ ἐργασίᾳ τῶν ἀρε μεσίτης γίνεται, καὶ τὸ πατρικὸν θέλημα ἐν ἡμῖν πληροῖ, αὐτὸς ἐνισχύων ἡ καὶ ἐνδυναμῶν πρὸς τὰς ἀγαθὰς πράξεις; » Θεοφύλακτος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς παρακλήσεως, φησὶ, τουτέστι, τῆς παραμυθίας, τῆς εἰς τὸ ὑπομένειν προτροπῆς. Καὶ γὰρ διὰ βραχέων ἐπέστειλα.] *Διὰ βραχέων*, ὡς πρὸς τὰ μέλλοντα λέγεσθαι, πάνυ πολλὰ ὄντα, εἴπερ πάντα εἴρηται. *Γινώσκετε τὸν ἀδελφὸν Τιμόθεον ἀπολελυμένον.*] Μᾶλλον πρὸς τὸν Τιμόθεον οὐκ εἶχον ἀπεχθῶς, διὸ γράφει περὶ αὐτοῦ. Τί δέ ἐστι τὸ, *ἀπολελυμένον*; Ἢ ὅτι ἐν φυλακῇ ἦν, καὶ ἀπελύθη· ἢ ἐξ Ἀθηνῶν ἀπελύετο· ἐκεῖ γὰρ ἦν. *Μεθ' οὗ, ἐὰν τάχιον ἔρχηται, ὄψομαι ὑμᾶς.*] Ἀπελύθη μέν· εἰ δὲ τάχιον ἔλθῃ πρός με, σὺν αὐτῷ ὄψομαι ὑμᾶς, ἐρχόμενος πρὸς ὑμᾶς. Εἰκὸς γὰρ ἦν ἀπολελύσθαι μὲν αὐτὸν, μήπω δὲ ἀπεληλυθέναι πρὸς τὸν Παῦλον. *Ἀσπάσασθε πάντας τοὺς ἡγουμένους ὑμῶν.*] Ὅρα, πῶς αὐτοὺς τιμᾷ, εἴγε δι' αὐτῶν τοὺς ἡγουμένους προσαγορεύει· μᾶλλον γὰρ ἔδει τοῖς ἡγουμένοις ἐπιστεῖλαι, καὶ δι' ἐκείνων τοὺς ἀρχομένους προσαγορεῦσαι· ὁ δὲ σοφώτατα τοὺς ἀσθενεστέρους ἐκθεραπεύει. *Ἀσπάζονται ὑμᾶς οἱ ἀπὸ τῆς Ἰταλίας.*] Οὕτως ὑμῶν περιέχομαι, ὥστε μὴ μόνος ἐγὼ ἀσπάσασθαι ὑμᾶς, ἀλλὰ καὶ ἄλλοις ἐγκαταστῆσαι τὸν πρὸς ὑμᾶς πόθον τοσοῦτον, ὥστε καὶ ἀπὸ τοσούτου διαστήματος ἐρᾶν ἐκείνους ὑμῶν, καὶ διὰ τοῦτο ἀσπάζεσθαι. *Ἡ χάρις μετὰ πάντων ὑμῶν.*] Ἐπειδὴ κοινόν τι ἐστὶν ἡ χάρις, κοινῇ ταύτην πᾶσι καὶ ἡγουμένοις καὶ ἀρχομένοις ἐπεύχεται. Τίς δὲ ἐστὶν ἡ χάρις; Ἡ ἄφεσις τῶν ἁμαρτιῶν, ἡ κάθαρσις, ἡ τοῦ Πνεύματος μετάληψις. Πῶς δ' ἂν εἴη μετὰ πάντων ὑμῶν; Εἰ μὴ ὑβρίζητε εἰς τὴν εὐεργεσίαν τοῦ θεοῦ, ἁμαρτάνοντες καὶ ῥαθυμοῦντες, ἐὰν μὴ ἀναξίως αὐτῆς πολιτεύησθε. Παραμένει μὲν γὰρ ἡ χάρις, ὅταν ἔργα χρηστὰ ἔχωμεν· ἀφίπταται δὲ, ὅταν μὴ κατὰ τὴν ἐντολὴν τοῦ ταύτην διδόντος ἡμῖν ζῶμεν. Ἀλλὰ γένοιτο, ἐπιγινώσκοντας ἡμᾶς ταύτην, καὶ ὅσα δι' αὐτῆς ἐλάβομεν, μὴ ἐπὶ ὕβρει τοῦ τοσαῦτα ἀγαθὰ χαρισαμένου ἡμῖν πολιτεύεσθαι· ἀλλὰ διὰ τῶν ἀγαθῶν ἔργων δοξάζοντας ἐκεῖνον, καὶ δεικνῦντας, ὡς οὐκ εἰς ἀχαρίστους καὶ ἀγνώμονας τὴν χάριν ταύτην κατέθετο, ἔχειν ταύτην

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀνελάττωτον ἐν ταῖς ψυχαῖς ἡμῶν, ἐν αὐτῷ τῷ Χριστῷ, τῷ εὐεργέτῃ τῶν ἡμετέρων ψυχῶν. Μεθ' οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΕΛΟΣ,

ΣΥΝ ΘΕΩ, ΤΗΣ ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΣ.

Ἐγράφη ἀπὸ Ἰταλίας διὰ Τιμοθέου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Η
ΚΑΘΟΛΙΚΗ ΙΑΚΩΒΟΥ
ΕΠΙΣΤΟΛΗ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ

ΚΑΘΟΛΙΚΗΣ ΙΑΚΩΒΟΥ

ΕΠΙΣΤΟΛΗΣ.

ΤΑΥΤΗΝ αὐτὸς ὁ Ἰάκωβος ἐπιστέλλει τοῖς ἀπὸ τῶν δώδεκα φυλῶν διασπαρεῖσι, καὶ πιστεύσασιν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Γράφει δὲ διδασκαλικὴν τὴν ἐπιστολήν, διδάσκων περὶ διαφορᾶς πειρασμῶν, ποῖος μέν ἐστιν ὁ ἀπὸ θεοῦ, ποῖος δὲ ὁ ἀπὸ τῆς ἰδίας καρδίας τῶν ἀνθρώπων· καὶ ὅτι οὐ λόγῳ μόνῳ, ἀλλὰ καὶ ἔργῳ δεῖ δεικνῦναι τὴν πίστιν· καὶ ὅτι οὐχ οἱ ἀκροαταὶ τοῦ νόμου, ἀλλ' οἱ ποιηταὶ αὐτοῦ δικαιοῦνται. Περὶ δὲ τῶν πλουσίων παραγγέλλει, ἵνα μὴ προκρίνωνται τῶν πτωχῶν ἐν ταῖς ἐκκλησίαις, ἀλλὰ μᾶλλον καὶ ἐπιπλήττωνται, ὡς ὑπερήφανοι. Καὶ τέλος, παραμυθησάμενος τοὺς ἀδικουμένους, καὶ προτρεψάμενος αὐτοὺς μακροθυμεῖν ἕως τῆς παρουσίας τοῦ κριτοῦ· καὶ διδάξας περὶ ὑπομονῆς, καὶ δείξας ἐκ τοῦ Ἰὼβ τὸ χρήσιμον αὐτῆς, παραγγέλλει προσκαλεῖσθαι τοὺς πρεσβυτέρους ἐπὶ τοὺς ἀσθενοῦντας, καὶ σπουδάζειν ἐπιστρέφειν τοὺς πλανηθέντας ἐπὶ τὴν ἀλήθειαν· εἶναι γὰρ τούτου μισθὸν παρὰ τοῦ Κυρίου, ἄφεσιν ἁμαρτιῶν· καὶ οὕτω τελειοῖ τὴν ἐπιστολήν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΔΙΑ ΤΙ ΕΠΙΣΤΟΛΑΙ τσιαίδε Καθολικαὶ ὀνομάζονται;

Καθολικαὶ λέγονται αὗται αἱ ἐπιστολαι, οἱονεὶ ἐγκύκλιοι. Οὐ γὰρ ἀφωρισμένως ἔθνει ἑνὶ ἢ πόλει, ὡς ὁ θεῖος Παῦλος, Ῥωμαίοις οἱονεὶ, ἢ Κορινθίοις, προσφωνεῖ ταύτας τὰς ἐπιστολὰς ὁ τῶν τοιούτων τοῦ Κυρίου μαθητῶν θίασος, ἀλλὰ καθόλου τοῖς πιστοῖς, ἤτοι τοῖς Ἰουδαίοις, τοῖς ἐν τῇ διασπορᾷ, ὡς καὶ ὁ Πέτρος, ἢ καὶ πᾶσι τοῖς ὑπὸ τὴν αὐτὴν πίστιν τελοῦσι χριστιανοῖς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΙΑΚΩΒΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
Η
ΚΑΘΟΛΙΚΗ ΕΠΙΣΤΟΛΗ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ ὑπομονῆς καὶ πίστεως ἀδιακρίτου, καὶ περὶ ταπεινοφροσύνης πρὸς πλουσίους· ἐν ᾧ περὶ τῆς ἐν ἡμῖν πυρώσεως καὶ τῶν ἐξ αὐτῆς παθῶν, ὅτι οὐ παρὰ θεοῦ τὸ αἴτιον· εἴ τι γὰρ ἀγαθὸν ἡμῖν, παρ' αὐτοῦ.

ΚΕΦ. Ι, 1 ΙΑΚΩΒΟΣ, θεοῦ καὶ Κυρίου Ἰησοῦ Χρι-
στοῦ δοῦλος, ταῖς δώδεκα φυλαῖς ταῖς ἐν τῇ δια-
2 σπορᾷ, χαίρειν. Πᾶσαν χαρὰν ἡγήσασθε, ἀδελφοί
μου, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις·

Ἰάκωβος, *θεοῦ καὶ Κυρίου Ἰησοῦ Χριστοῦ δοῦλος.*] Θεοῦ μὲν, τοῦ πατρὸς, Κυρίου δὲ, τοῦ υἱοῦ. Ὥστε εἰ ἐξ ἴσου πατρὸς καὶ υἱοῦ δοῦλος, ὁμότιμός ἐστι τῷ πατρὶ ὁ υἱὸς καὶ κατ' οὐσίαν καὶ κατ' ἐνέργειαν. Ὑπὲρ πᾶν δὲ κοσμικὸν ἀξίωμα οἱ τοῦ Κυρίου ἀπόστολοι τῷ, *δοῦλοι Χριστοῦ*, εἶναι καλλωπιζόμενοι, τοῦτο γνώρισμα ἑαυτῶν βούλονται ποιεῖσθαι, καὶ λέγοντες, καὶ ἐπιστέλλοντες, καὶ διδάσκοντες. *Πᾶσαν χαρὰν ἡγήσασθε.*] Τὴν κατὰ θεὸν λύπην καὶ τοὺς πειρασμοὺς τούτους, καὶ ἐπαινετοὺς οἶδε καὶ χαρᾶς ἀξίους· δεσμὸς γὰρ οὗτοί εἰσιν ἀρραγὴς, καὶ αὔξησις ἀγάπης καὶ κατανύξεως. Ὅθεν

κἀκεῖνο εἴρηται· *Τέκνον, εἰ προσέρχῃ δουλεύειν τῷ Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν* (α)· καὶ ὁ Χριστός· *Ἐν τῷ κόσμῳ, φησὶ, θλῖψιν ἕξετε· ἀλλὰ θαρσεῖτε* (β)· καὶ· *Στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς, ἡ ἀπάγουσα εἰς τὴν ζωήν* (γ). Οὐ γάρ ἐστιν ἐκτὸς γυμνασίων, οὔτε κοσμικῶν, οὔτε τῶν κατὰ θεὸν στεφάνων ἀξιωθῆναι. Μετριοφρονῶν δὲ, *ἀδελφοὺς*, αὐτοὺς, οὐχὶ, τέκνα, καλεῖ. Χαρᾶς δὲ πάσης οἱ πειρασμοὶ παραίτιοι τοῖς σπουδαίοις· ὅτι τὸ δοκίμιον αὐτῶν διὰ τούτων γίνεται φανερόν· τὸ δὲ δοκίμιον εἰς ἔργον τέλειον παραπέμπει. Ἀλλ' ἐρεῖ τις· Εἰ τοιοῦτον τὸ τῶν πειρασμῶν ἔργον, πῶς εἰς πειρασμὸν ὁ Χριστὸς μὴ εἰσενεχθῆναι ἐν τῇ εὐχῇ διδάσκει ἡμᾶς τὸν θεὸν παραιτεῖσθαι (δ); Φαμὲν οὖν, ὅτι διττοί εἰσιν οἱ πειρασμοί· οἱ μὲν, ἀφ' ἡμῶν τὴν ἀρχὴν ἔχοντες, οἱ δὲ, ἀπὸ θεοῦ, γυμνασίας χάριν καὶ ἀναῤῥήσεως ἡμῖν ἐπαγόμενοι. Διττοὶ δὲ καὶ οἱ ἀφ' ἡμῶν τὴν ἀρχὴν ἔχοντες· οἱ μὲν γὰρ, δι' ἀλόγιστον ἀνδρείαν, ὃ καὶ θράσος καλοῦμεν· ὃ καὶ φυλάττεσθαι εἰσηγεῖται ὁ Κύριος, ὡς τοῦ μὲν πνεύματος πρυθύμου ὄντος (ε), μεταξὺ δὲ ἀγώνων τῆς προθυμίας ἀποσβεσθείσης, καὶ οὐκ εἰς ἀγαθὸν τοῖς χρησαμένοις τελευτησάσης· οἱ δὲ, δι' ἁμαρτίαν ἐπαγόμενοι, ὡς τοῖς Σοδομίταις ὁ ὄλεθρος. Τούτους τοὺς πειρασμοὺς, ὅση δύναμις, φευκτέον, ἀναμαρτήτως βιοῦντας· ἐπεὶ τούς γε ἀπὸ θεοῦ, ὡς τῷ Ἰὼβ, ὡς τῷ Ἀβραὰμ, μὴ μόνον οὐ φευκτέον, ἀλλ', εἴπερ καὶ δυνατὸν, διὰ τῆς ὑπομονῆς καὶ τῆς εὐχαριστίας ἐπισπαστέον, ὡς ἀναῤῥήσεως καὶ στεφάνων ἀξίους· ὁ γὰρ θεὸς πειράζων, ἐπ' ὠφελείᾳ καὶ ἀναῤῥήσει τοῦτο ποιεῖν οἶδε. *Πειρασμοῖς* δὲ *ποικίλοις* εἶπε, διὰ τὸ τοὺς μὲν, ὡς ἔφημεν, ἀπὸ θεοῦ, τοὺς δὲ, ἀφ' ἡμῶν εἶναι.

3 Γινώσκοντες, ὅτι τὸ δοκίμιον ὑμῶν τῆς πίστεως

(α) Σιράχ Β', 1. (β) Ἰωαν. ΙϚ', 33. (γ) Ματθ. Ζ', 14.
(δ) Ματθ. Ϛ', 13. Λουκ. ΙΑ', 4. (ε) Ματθ. Κϛ', 41.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

4 κατεργάζεται ὑπομονήν. Ἡ δὲ ὑπομονὴ ἔργον τέλειον ἐχέτω, ἵνα ἦτε τέλειοι καὶ ὁλόκληροι, ἐν μηδενὶ λειπόμενοι.

Γινώσκοντες, ὅτι τὸ δοκίμιον ὑμῶν τῆς πίστεως.] Δοκίμιον, τὸ κεκριμένον λέγει, τὸ δεδοκιμασμένον, τὸ καθαρόν· ὡς καὶ τό· Ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ (α). Πῶς δὲ τὸ δοκίμιον ἡμῶν τῆς πίστεως ὑπομονὴν κατεργάζεται; Ἐκείνη γὰρ ἡ πίστις καθαρὰ ἐλέγχεται, ἡ ἐν ὑπομονῇ καὶ καρτερίᾳ τῶν ἐπιφερομένων πειρασμῶν διατελοῦσα. Πιστοῦ γάρ, ὡς ἀληθῶς, ἔργον, τὸ μετὰ μακροθυμίας τε καὶ εὐχαριστίας τὰς τοιαύτας ἐπιφορὰς δέχεσθαι· ὁποῖόν τι καὶ ὁ Ἰὼβ ἔπραττεν, ἐν πᾶσιν εὐχαριστῶν. Ἡ δὲ ὑπομονὴ ἔργον τέλειον ἐχέτω.] Σκόπει, ὅτι οὐκ εἶπε τὴν ὑπομονὴν ὁριστικῶς, ὅτι ἔργον τέλειον ἔχει, ἀλλὰ προστακτικῶς, ἐχέτω. Οὐ γὰρ προϋποκειμένην ἀρετὴν ἐξαγγέλλει, ἀλλὰ νῦν ἐγγινομένην, ἣν ὡς χρὴ γίνεσθαι νομοθετεῖ. Ἵνα ἦτε τέλειοι καὶ ὁλόκληροι, ἐν μηδενὶ λειπόμενοι.] Τὸ αἴτιον ἡμῖν λέγει καὶ τοῦ τελείου ἔργου· τοῦτο δέ ἐστιν ἡ σοφία ἡ ἄνωθεν, δι' ἧς ἐνδυναμούμενοι, ὁλόκληρον δυνησόμεθα πρᾶξαι τὸ ἀγαθόν.

5 Εἰ δέ τις ὑμῶν λείπεται σοφίας, αἰτείτω παρὰ τοῦ διδόντος θεοῦ πᾶσιν ἁπλῶς, καὶ μὴ ὀνειδίζοντος· 6 καὶ δοθήσεται αὐτῷ. Αἰτείτω δὲ ἐν πίστει, μηδὲν διακρινόμενος· ὁ γὰρ διακρινόμενος ἔοικε κλύδωνι 7 θαλάσσης ἀνεμιζομένῳ καὶ ῥιπιζομένῳ. Μὴ γὰρ οἰέσθω ὁ ἄνθρωπος ἐκεῖνος, ὅτι λήψεταί τι παρὰ 8 τοῦ Κυρίου. Ἀνὴρ δίψυχος, ἀκατάστατος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ.

Εἰ δέ τις ὑμῶν λείπεται σοφίας, αἰτείτω παρὰ θεοῦ.] Ἐπειδὴ οἶδε τὸ τῆς πίστεως δοκίμιον, καὶ τὴν ὑπομονὴν τὴν ἐν τοῖς πειρασμοῖς, οὐ τῶν τυχόντων ἀνθρώπων κατόρθωμα,

(α) Ψαλμ. ΙΑ', 7.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀλλὰ τῶν κατὰ θεὸν σοφῶν, διὰ τοῦτο ἐπὶ σοφίας αἴτησιν παρορμᾷ τοὺς ταῦτα κατορθοῦν ἐπιποθοῦντας· σοφίας δὲ πνευματικῆς, οὐκ ἀνθρωπίνης. *Αἰτείτω δὲ ἐν πίστει, μηδὲν διακρινόμενος.*] Εἰ γὰρ πιστεύει, αἰτείτω· εἰ δὲ μὴ πιστεύει, ἀλλὰ διακρίνεται, μηδὲ αἰτείτω· οὐδὲ γὰρ λήψεταί τι ὧν αἰτεῖ, ἀπιστῶν, ὅτι λήψεται. *Ὁ γὰρ διακρινόμενος ἔοικε κλύδωνι θαλάσσης.*] Ὁ γὰρ διακρινόμενος, ἀμφίβολος ὢν περὶ τὰς ἑαυτοῦ αἰτήσεις, μικρὸν προσκαρτερήσας, εὐθὺς ἀναχωρεῖ. Πάσχει δὲ τοῦτο ἐξ ὑπερηφανίας, ἀπαγορεύων ταχέως, ὅτι μὴ παρὰ πόδας ἐπηκολούθησε τὰ αἰτούμενα, ὡς δὴ μεγάλα οἰόμενος περὶ ἑαυτοῦ, καὶ ὡς οὐκ ἀνάξιος ἀστοχεῖν ὧν ποιεῖται τὴν αἴτησιν· τούτῳ δὲ ἀπεναντίας ὁ ταπεινόφρων. *Μὴ γὰρ οἰέσθω ὁ ἄνθρωπος ἐκεῖνος.*] Ὁ μεθ' ὑπεροψίας αἰτῶν δηλαδὴ καὶ ὀλιγωρίας. *Ἀνὴρ δίψυχος.*] *Δίψυχον ἄνδρα*, τὸν ἀνεπέρειστον, τὸν ἀστήρικτον λέγει, τὸν μήτε πρὸς τὰ μέλλοντα παγίως, μήτε πρὸς τὰ παρόντα ἀσφαλῶς ἡδρασμένον, ἀλλὰ τῇδε κἀκεῖσε ἀγόμενον καὶ περιφερόμενον, καὶ ποτὲ μὲν τῶν μελλόντων, ποτὲ δὲ τῶν παρόντων ἀντεχόμενον. Τὸν δὲ τοιοῦτον καὶ *κλύδωνι* ἀπείκασε *θαλάσσης*, ὡς μὴ ἔχοντι τὸ ἑδραῖον καὶ ᾄσιμον, καὶ κατωτέρω, *ἄνθει χόρτου*, ἀπεικάζει αὐτόν, οὐδὲ αὐτῷ παραμένοντι, ἀλλ' ἅμα τῷ ἀνατεῖλαι τὸν ἥλιον, ἀπορυῖσκομένῳ. Σκόπει δὲ, ὅτι οὐκ εἶπε, χόρτῳ ἐοικέναι τὸν τοιοῦτον, ἀλλ', ἄνθει χόρτου, τὸ τελέως ὀλιγοχρόνιον διὰ τοῦ ἄνθους δηλῶν. Πῶς δὲ *δίψυχος* εἴρηται; καὶ διὰ τί; Ὡς μήτε πρὸς τὴν παροῦσαν, μήτε πρὸς τὴν μέλλουσαν πεποιθότως ἀπευθυνόμενος ζωήν. *Ψυχὴ* γὰρ ἐν τῇ Γραφῇ καὶ ἡ ζωὴ λέγεται· ὡς ἐν τῷ· *Πάντα, ὅσα ἔχει ἄνθρωπος, δώσει ὑπὲρ τῆς ψυχῆς αὐτοῦ* (α). Ἆρον σεαυτοῦ τὴν διψυχίαν, καὶ μηδὲν ὅλως διψυχήσῃς αἰτήσασθαι παρὰ θεοῦ, λέγων ἐν σεαυτῷ· Ὅτι, πῶς δύναμαι αἰτῆσαί τι παρὰ τοῦ Κυρίου καὶ λαβεῖν, ἡμαρτηκὼς τοσαῦτα εἰς αὐτόν; Μὴ

(α) Ἰώβ. Β', 4.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διαλόγιζου ταῦτα· ἀλλ' ἐξ ὅλης καρδίας σου ἐξομολογοῦ, καὶ ἐπίστρεψον ἐπὶ Κύριον, καὶ αἴτου παρ' αὐτοῦ ἀδιστάκτως· καὶ γνώσῃ τὴν πολυσπλαγχνίαν αὐτοῦ, ὅτι οὐ μή σε ἐγκαταλίπῃ, ἀλλὰ τὸ αἴτημα τῆς ψυχῆς σου πληροφορήσει. Οὐκ ἔστι γὰρ ὁ θεὸς, ὡς οἱ ἄνθρωποι, οἱ μνησικακοῦντες ἀλλήλοις, ἀλλ' αὐτὸς ἀμνησίκακός ἐστι, καὶ σπλαγχνίζεται ἐπὶ τὴν ποίησιν αὐτοῦ. *Ἀκατάστατος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ.*] Ὁδοὺς, τὰς ψυχικὰς λέγει κινήσεις, αἷς ἐλπίδες ἐπαιωροῦνται, εἴτε χρηταὶ, εἴτε καὶ μὴ, καθό φησι καὶ ὁ Δαυὶδ· *Καὶ πάσας τὰς ὁδούς μου προεῖδες* (α).

9 Καυχάσθω δὲ ὁ ἀδελφὸς, ὁ ταπεινὸς, ἐν τῷ ὕψει
10 αὐτοῦ· ὁ δὲ πλούσιος, ἐν τῇ ταπεινώσει αὐτοῦ·
11 ὅτι ὡς ἄνθος χόρτου παρελεύσεται. Ἀνέτειλε γὰρ ὁ ἥλιος σὺν τῷ καύσωνι, καὶ ἐξήρανε τὸν χόρτον, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε, καὶ ἡ εὐπρέπεια τοῦ προσώπου αὐτοῦ ἀπώλετο· οὕτω καὶ ὁ πλούσιος ἐν ταῖς πορείαις αὐτοῦ μαρανθήσεται.

Ἐπειδὴ *κλύδωνι θαλάσσης* τὸν διακρινόμενον ἀπεικάζει, ὃς μετεωρίζεται μὲν τοῖς πνεύμασιν ἐξογκούμενος, θᾶττον δὲ ἢ ὑψωθῆναι καταστορεῖταί τε καὶ κοιμίζεται, ταὐτὸ δὲ τοῦτο καὶ ὁ διακρινόμενος πάσχει, ἐξ ὑπερηφανίας καὶ ὑπεροψίας πρὸς οὐδὲν τῶν δεόντων ἐπιστηρίζων τὰς ἑαυτοῦ αἰτήσεις, διὰ τοῦτο ἐπιφέρει τό· *Καυχάσθω ὁ ἀδελφὸς, ὁ ταπεινός*· τοιοῦτόν τι λέγων· Ὁ βουλόμενος αἰτεῖν τι, πρῶτον μὲν αἰτείτω τὰ δέοντα, ἐν οἷς οὐδὲ ἀστοχήσει τῶν αἰτουμένων· ταῦτα δέ ἐστιν ἡ βασιλεία τοῦ θεοῦ καὶ ἡ δικαιοσύνη (β)· ἔπειτα δὲ καρτερείτω περὶ τὴν τῶν τοιούτων αἴτησιν· ἀλλὰ μὴ ἐπ' ὀλίγον εὐξάμενος, εὐθὺς ἀναχωρείτω· (ἀλαζόνος γὰρ τοῦτο·) ἀλλὰ περιμενέτω τὴν λῆψιν ἐν ταπεινώσει ψυχῆς προσκαρτερῶν.— *Ἄλλως.* Ἐπειδὴ τῶν καλῶν ἁπάντων ταμιεύτριαν οἶδε τὴν ταπεινοφροσύνην, καὶ ὅτι ἄνευ ταύτης οὐδὲν κατορθοῦται τῶν σπουδαίων,

(α) Ψαλμ. ΡΛΗ', 3. (β) Ματθ. ς', 33.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διὰ τοῦτο ἐπιφέρει τό· *Καυχάσθω ὁ ταπεινὸς ἐν τῷ ὕψει αὐτοῦ.* — *Ὁ ταπεινὸς ἐν τῷ ὕψει αὐτοῦ.*] Ἐκ τοῦ κατὰ θεὸν ταπεινοῦσθαι πᾶν ἀγαθὸν ἡμῖν περιγίνεται. *Ὁ δὲ πλούσιος, ἐν τῇ ταπεινώσει αὐτοῦ.*] Ἀκόλουθον ἦν εἰπεῖν· *Ὁ δὲ πλούσιος αἰσχυνέσθω ἐν τῇ ταπεινώσει αὐτοῦ*· ἀλλὰ τὸ ἀνεπαχθέστερον μεταδιώκων, παρῆκεν αὐτό. *Πλούσιον* δὲ, τὸν κατωφρωμένον λέγει, ὃν καὶ *ταπεινὸν* καλεῖ, ὡς ἐν τῷ ἐπαίρεσθαι καταβαλλόμενον. *Ὅτι ὡς ἄνθος χόρτου παρελεύσεται.*] *Ἄνθει χόρτου* ἀπεικάζει τὸν πλοῦτον, τὸ ἐφήμερον αὐτοῦ παραστῆσαι βουλόμενος. *Καὶ ἡ εὐπρέπεια τοῦ προσώπου αὐτοῦ ἀπώλετο.*] *Πρόσωπον* καταχρηστικῶς εἴρηκε· τοῦτο γὰρ ἐπὶ μόνου λέγεται ἀνθρώπου, ἐπὶ δὲ τῶν ἄλλων ζώων, οὔ. *Οὕτω καὶ ὁ πλούσιος ἐν ταῖς πορείαις αὐτοῦ μαρανθήσεται.*] *Πορείας* τοῦ πλουσίου, τὰς ἐν εὐπραγίᾳ διεξόδους καλεῖ, εἴτουν, διοικήσεις, ὧν μεταξὺ ἀνελπίστως κομίζεται τὴν ἐπὶ τὴν δυστυχίαν μεταβολήν.

12 Μακάριος ἀνὴρ, ὃς ὑπομένει πειρασμόν· ὅτι, δόκιμος γενόμενος, λήψεται τὸν στέφανον τῆς ζωῆς, ὃν ἐπηγγείλατο ὁ Κύριος τοῖς ἀγαπῶσιν αὐτόν.
13 Μηδεὶς πειραζόμενος λεγέτω· Ὅτι ἀπὸ θεοῦ πειράζομαι· ὁ γὰρ θεὸς ἀπείραστός ἐστι κακῶν, πειράζει
14 δὲ αὐτὸς οὐδένα. Ἕκαστος δὲ πειράζεται, ὑπὸ τῆς
15 ἰδίας ἐπιθυμίας ἐξελκόμενος καὶ δελεαζόμενος· εἶτα ἡ ἐπιθυμία συλλαβοῦσα τίκτει ἁμαρτίαν· ἡ δὲ
16 ἁμαρτία ἀποτελεσθεῖσα ἀποκύει θάνατον. Μὴ πλανᾶσθε, ἀδελφοί μου ἀγαπητοί.

Μακάριος ἀνὴρ, ὃς ὑπομένει πειρασμόν.] Ἔοικεν ὁ μακάριος οὗτος ἀσφαλέστερον χρησάμενος τῷ περὶ πειρασμῶν λόγῳ, ἐν οἷς φησί· *Πᾶσαν χαρὰν ἡγήσασθε* ἐν πειρασμῶν περιπτώσει. Εἶτα τῆς τοῦ Κυρίου μνησθεὶς εὐχῆς (α), ἥτις μὴ εἰς πειρασμὸν ἐμπεσεῖν ἡμᾶς ἐξιλεουμένους τὸ κρεῖττον πα-

(α) ματθ. ϛ', 13.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρεγγυᾷ, ἐπαναλαμβάνει διὰ τῶν προκειμένων τὸν λόγον, σαφηνίζων, τίς μὲν ὁ ἀπὸ θεοῦ πειρασμός, ὃς καὶ περιχαρείας πρόξενος, τίς δὲ ὁ παρ' ἡμῶν αὐθαίρετος. Πλὴν καλῶς ἔχει, τὸν μὲν Κύριον καὶ θεὸν Ἰησοῦν Χριστὸν, πρὸς τὸ ἀσθενέστερον τῆς ἀνθρωπίνης ἀποσκοπήσαντα φύσεως, τὴν ἐπιφορὰν ἀπεύξασθαι τῶν πειρασμῶν ὑποθέσθαι, ἀτελέστερον ἔτι τῶν μαθητῶν διακειμένων· ὃ καὶ ἐν ἄλλοις πεποίηκε πολλοῖς, τὰ τελειότερα τέως ὑπερθέμενος. Ἐπεὶ δὲ τῇ διὰ τῆς ἀναστάσεως αὐτοῦ ἐπιγνώσει, καὶ τῇ εἰς οὐρανοὺς ἀναλήψει, ἐπερρώσθη ἡ ἀσθενὴς ἡμῶν φύσις, μηκέτι τοὺς πειρασμοὺς δεδοικέναι ὁ ἀδελφὸς αὐτοῦ κατὰ σάρκα εἰσηγεῖται, ἅτε οἷας τε οὔσης λοιπὸν, τοῖς τοῦ Κυρίου πάθεσιν ἐπιῤῥωσθείσης, καταπαλαίειν πᾶσαν ἐπερχομένην ἐπήρειαν. Διττῶν δὲ ὄντων, ὡς ἔφημεν, τῶν πειρασμῶν, συμφέρει καθ' ἑκάτερον ἡ ὑπομονή. Ἐπὶ μὲν τῶν ἀπὸ τοῦ θεοῦ, ὅτι ἀναῤῥήσεως μετὰ ταῦτα τυγχάνομεν, ὡς ὁ Ἀβραὰμ, ὡς ὁ Ἰώβ· ἐπὶ δὲ τῶν ἀφ' ἡμῶν, ὅτι ὑπομένοντες μετὰ εὐχαριστίας, οἱονεὶ ἀντισήκωσιν ταύτην εἰσφέρομεν τῶν ἁμαρτημένων. Ὁ γὰρ ἐπιγνώμων τῶν ἑαυτοῦ, ἀρχὴν ἑαυτῷ κατεβάλετο σωτηρίας, καὶ εἰς χαρακτῆρα δικαίου ἑαυτὸν ἀρωμοίωσεν, εἴπερ ἀνὴρ δίκαιος, ἐν πρωτολογίᾳ ἑαυτοῦ κατήγορος (α). *Μηδεὶς πειραζόμενος λεγέτω· Ὅτι ἀπὸ θεοῦ πειράζομαι.*] Εἰ διττοὶ οἱ πειρασμοὶ, τί νῦν πάντα πειρασμὸν ἐκβάλλει τῆς ἀπὸ τοῦ θεοῦ αἰτίας; Ἀλλὰ σκόπει, ὅτι οὐκ εἶπε, πειρασθεὶς, ἀλλὰ, *πειραζόμενος*· τὸν γὰρ ἑαυτῷ διὰ πλημμέλειαν καὶ ἀκολασίαν ἐκπορίζοντα τοὺς πειρασμοὺς, καὶ ὥσπερ ἐν διηνεκεῖ σάλῳ ταῖς περιστάσεσι κυβιστεύοντα, τοῦτον λέγει μὴ ἀπὸ θεοῦ πειράζεσθαι, ἀλλ' ἀπὸ τῆς ἰδίας ἐπιθυμίας. Ὁ γάρτοι τὸν ἐπενεχθέντα νικήσας πειρασμὸν, ἀσφαλέστερον ἑαυτὸν καταστήσας, δυσάλωτος ἔτι καθίσταται πειρασμοῖς, μάλιστα τοῖς ἀφ' ἑαυτοῦ κινουμένοις.

(α) Παροιμ. ΙΗ', 17.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πρὸς γὰρ φιλοσοφωτέραν ἀποκλίνας ζωὴν, ἐνέρραξε τὴν τοῦ
πειρασμοὺς νάουσαν πηγὴν, καὶ ἐν ἀνέσει λοιπὸν τῶν πειρα-
σμῶν διατελεῖ. *Ὁ γὰρ θεὸς ἀπείραστός ἐστι κακῶν.*] *Ἀπεί-
ραστος δὲ ὁ θεὸς κακῶν, κατὰ τὸν εἰρηκότα·* Τὸ θεῖόν τ
καὶ μακάριον, οὔτε αὐτὸ πράγματα ἔχει, οὔτε ἑτέροις παρέ-
χει. Περὶ τὴν θνητὴν γὰρ φύσιν καὶ περίγειον ταῦτα πάντα,
περὶ ἣν ἀλλοίωσις ὁρᾶται καὶ μεταβολὴ, τὰ τῆς φύσεω
ἡμῶν προκατάρχοντα. Ἐπιθυμία δὲ καὶ ἁμαρτία, καὶ ὁ ἐ
ταύτης ἐπιφυόμενος τῇ ψυχῇ θάνατος, βαθμοί τινες τῆς ἀν
θρωπίνης καθεστήκασιν ἀπωλείας. Ἡ γὰρ ἐπιθυμία, χώρα
λαβοῦσα παραδοχῆς, καὶ μονὴν ἀνευροῦσα, εἰργάσατο τὴ
ἁμαρτίαν· ἥτις ἀπέτεκε θάνατον, ἂν μὴ διὰ μετανοίας αὐ
τὴν ἐκριζώσαντες, δευτέρας ἡμῖν ζωῆς ἀνευρήσωμεν ἀρχήν

Ἐπεὶ οὖν ἀποχρώντως ἔδειξε τὴν θείαν φύσιν, μήτ' αὐτὴ
οἷαντε οὖσαν πειράζεσθαι, μήτ' ἄλλοις τοῦτο παρέχουσαν
λέγει δὲ *πειρασμοὺς* ἐνταῦθα, τοὺς τὸ εὐσταθὲς τῆς ψυχῆ
ταράσσοντας καὶ συγχέοντας λογισμούς· οἱ γὰρ ἀπὸ θεοῦ, ο
συγχέοντες, ἀλλὰ μάλιστα καταστηματικοὶ τῆς ψυχῆς, λαμ
πρύνοντες ταύτην, καὶ τοῖς πολλοῖς τὸ ἀπόῤῥητον αὐτῆς ἐκ
πομπεύοντες κάλλος. Διὰ τοῦτο ἐπάγει·

17 Πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνω
θέν ἐστι καταβαῖνον ἀπὸ τοῦ πατρὸς τῶν φώτων
παρ' ᾧ οὐκ ἔνι παραλλαγὴ, ἢ τροπῆς ἀποσκίασμα

Ὡς τῶν παρ' ἡμῶν ἐπαγομένων πειρασμῶν οὔτε τὸ τέλειον, ε
μὴ καὶ πολὺ τὸ ἀτελὲς ἐχόντων, οὔτε τὴν ψυχὴν λαμπρυνόντων
Πῶς γὰρ τέλειον, τὸ ἀπὸ τῶν ἐκ προκοπῆς τὸ τέλειον λαμβα
νόντων, καὶ μόγις καμάτῳ πολλῷ τὸ ἐκ γενέσεως αἶσχος ἀπο
καθαιρομένων, εἶτα πρὸς τὴν λαμπρότητα τὴν θείαν ἀφικνου
μένων; *Πατέρα* δὲ *τῶν φώτων* ἐνταῦθα νόει τὸν θεόν· τῶ
φώτων δὲ, ἢ τῶν ἀγγελικῶν δυνάμεων, ἢ τῶν διὰ Πνεύματο
ἁγίου πεφωτισμένων. *Παρ' ᾧ οὐκ ἔνι παραλλαγή.*] Οὐκ ἔνι

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλος

φησὶ, παρὰ τῷ θεῷ τῶν φώτων παραλλαγὴ· αὐτὸς γὰρ βοᾷ διὰ τοῦ προφήτου· *Ἐγώ εἰμι, καὶ οὐκ ἠλλοίωμαι* (α). Τὸ δὲ, ἢ τροπῆς ἀποσκίασμα, ἀντὶ τοῦ, οὐδὲ μέχρις ὑπονοίας τινὸς ὑποβολή.

18 Βουληθεὶς ἀπεκύησεν ἡμᾶς λόγῳ ἀληθείας, εἰς τὸ εἶναι ἡμᾶς ἀπαρχήν τινα τῶν αὐτοῦ κτισμάτων.

Βουληθεὶς ἀπεκύησεν ἡμᾶς.] Τὸ, *βουληθεὶς*, εἶπεν, ἐπιζομίζων τοὺς αὐτομάτως ὑποστῆναι τόδε τὸ πᾶν ληροῦντας. Ἐπειδὴ γὰρ ἀνωτέρω εἶπε· *Παρ' ᾧ οὐκ ἔνι παραλλαγὴ*· καὶ ἔδειξεν ἐκ τούτου ἀναλλοίωτον τὸ θεῖον, ἐπάγει τό· *Βουληθεὶς ἀπεκύησεν ἡμᾶς*. Εἰ γὰρ γεννητοὶ ἡμεῖς, δῆλον ὅτι καὶ ἀλλοιωτοί· πῶς γὰρ ἀναλλοίωτον τὸ ἐκ τοῦ μὴ ὄντος ἐξ ἀλλοιώσεως εἰς τὸ εἶναι προϊόν; Εἶτα, ἐπειδὴ εἶπεν, *ἀπεκύησεν ἡμᾶς*, ἵνα μήτις ὑπολάβῃ ὁμοίως ἡμῖν καὶ τὸν υἱὸν ἀποτεκεῖν αὐτὸν, καὶ μεθ' ἡμῶν καὶ τὸν υἱὸν γεγεννῆσθαι, ἐπάγει τὸ, *λόγῳ ἀληθείας*. *Πάντα* γὰρ, κατὰ τὸν θεῖον Ἰωάννην, *δι' αὐτοῦ ἐγένετο* (β), οἱονεὶ, *διὰ τοῦ τῆς ἀληθείας λόγου*. Ὥστε, εἰ διὰ τοῦ τῆς ἀληθείας λόγου ἡ πρόοδος ἡμῖν, οἱ τὸ εἶναι ἔχοντες ἀπὸ τοῦ λόγου, οὐχ ὁμογενεῖς τῷ ὑφ' οὗ γεγόναμεν. *Εἰς τὸ εἶναι ἡμᾶς ἀπαρχήν τινα τῶν αὐτοῦ κτισμάτων.*] Ἀντὶ τοῦ, πρώτους καὶ τιμιωτάτους. *Κτίσματα* δὲ, αὐτὴν τὴν ὁρωμένην κτίσιν φησίν.

19 Ὥστε, ἀδελφοί μου ἀγαπητοὶ, ἔστω πᾶς ἄνθρωπος ταχὺς εἰς τὸ ἀκοῦσαι, βραδὺς εἰς τὸ λαλῆσαι,
20 βραδὺς εἰς ὀργήν. Ὀργὴ γὰρ ἀνδρὸς δικαιοσύνην θεοῦ οὐ κατεργάζεται.

Τὸ, *ταχὺς*, οὐχὶ εἰς ψιλὴν ἀκρόασιν περιΐστησιν, ἀλλ' εἰς ἐνεργὸν, καὶ μετὰ τὸ ἀκοῦσαι πρὸς τὴν μεταχείρησιν τῶν ἠκουσμένων ἀφορμῶσαν. Ἐπίσταται γὰρ τὸν μετὰ σπουδῆς ὑπέχοντα τοῖς λεγομένοις τὴν ἀκοὴν, καὶ πρὸς τῆν ἐργασίαν τούτων ἕτοιμον παρέξοντα ἑαυτόν· ὥσπερ ἀπ' ἐναντίας, τὸν μετὰ

(α) Μαλαχ. Γ', 6. (β) Ἰωαν. Α', 3.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βραδυτῆτος πρός τι διατιθέμενον τῇ ἀναβολῇ, καὶ πάμπαν εἰργόμενον ἐσθ' ὅτε τῆς ἐγχειρήσεως. Διὸ ἐπὶ μὲν τῆς τῶν θείων διδασκαλίας ταχυτῆτα ἐντέλλεται· ἐπὶ δὲ τῶν ἐπισφαλῆ τὴν μεταχείρισιν ἐχόντων, τὴν βραδυτῆτα· ταῦτα δέ ἐςι τὸ λαλῆσαι, τὸ ὀργισθῆναι· ἥτε γὰρ ἀπρομηθὴς λαλιὰ, ἥτε ἀπερίσκεπτος ὀργὴ, οὐκ εἰς ἀγαθὸν ἔσθ' ὅτε οἶδεν ἀποτελευτᾶν. Διὸ καί τις ἀνὴρ θεῖος φησιν· Ὁ λαλήσας, μετέγνω πολλάκις· ὁ δὲ σιωπήσας, οὐδέποτε. Καὶ ὁ μακάριος δὲ πάλιν Δαυίδ· *Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε* (α)· τουτέςι, Μὴ ὀργιζόμενοι εὐθέως καὶ τὴν ὑποβαλλομένην ἐκ τῆς ὀργῆς ἐπάγετε μανίαν. Σύμφωνα τούτοις καὶ τὰ παρόντα· τό τε γὰρ περὶ τὸ λαλῆσαι ἀργὸν τό τε περὶ τὸ ὀργισθῆναι νωθρὸν, τῇ περὶ ταῦτα μελήσει ἐπανήγαγε τὸν μεταχειριούμενον πρὸς τὸ δέον καὶ τὸ εὐθές· καὶ ἡ παντελῶς τὴν περὶ ταῦτα ἐξέλυσεν ὁρμὴν διὰ τῆς κεκριμένης ἐπισκέψεως, ἣ κατὰ τὸ προσῆκον τῶν πραγμάτων ποιήσασθαι τὴν διέξοδον τούτων εἰσηγήσατο, μάλιστα τῆς ὀργῆς ἥτις, ἀλογίστως προενεχθεῖσα, τῆς τοῦ θεοῦ δικαιοσύνης ἀποστερεῖ. Διὸ καὶ τὴν αἰτίαν ἐπάγει ταύτην· *Ὀργὴ γὰρ ἀνδρὸς δικαιοσύνην θεοῦ οὐ κατεργάζεται.* Εἰ γὰρ *δικαιοσύνη* ἐστὶ ἕξις ἐν τῇ ψυχῇ, τοῦ κατ' ἀξίαν ἑκάςῳ ἀπονεμητικὴ, *ὀργὴ* δὲ κατὰ τὸν εἰπόντα, ἀπόλλυσι καὶ φρονίμους (β), πῶς ἂν αὕτη ἡ διὰ τὴν ἄγαν ἐμπάθειαν σκοτοῦσα τὸν νοῦν, ὡς καὶ φρονίμους ἀπολλύναι, τὴν κεκριμένως ἀπονέμουσαν ἑκάστῳ τὸ κατ' ἀξίαν συστήσειεν; — *Βραδὺς εἰς ὀργήν.*] Τὴν βραδυτῆτα διχῶς βούλεται ἐνεργεῖσθαι παρ' ἡμῶν, εἴς τε τὸ λαλῆσαι, καὶ τὸ ὀργισθῆναι. Οἶδε γὰρ ἡ μέλησις καὶ ἀποχὴν ἐργάζεσθαι τῆς ὁρμῆ

(α) Ψαλμ. Δ', 5. Ἐφεσ. Δ', 26. (β) Παροιμ. ΙΕ', 1.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ πραότητος καὶ ἁγνείας καὶ πράξεως ἀγαθῆς, μεταδοτικῆς ἐπὶ μακαρισμῷ, καὶ περὶ ἐπιστήμης καὶ συμμετρίας λόγου.

21 Διʼ ὃ, ἀποθέμενοι πᾶσαν ῥυπαρίαν καὶ περισσείαν κακίας, ἐν πραΰτητι δέξασθε τὸν ἔμφυτον λόγον, τὸν δυνάμενον σῶσαι τὰς ψυχὰς ὑμῶν.

Τῇ *ῥυπαρίᾳ* προστίθησι καὶ τὸ, *περισσείαν κακίας*, τοῦτο βουλόμενος παραστῆσαι, τὸ, Εἰ καί τινι πολλάκις περιέπεσέ τις ῥυπαρία, ταχέως αὐτῆς ὑπεξίστασθαι, ἀλλὰ μὴ τῇ κατʼ αὐτὴν ἐπιμονῇ τε καὶ ἐγχρονίσει διὰ τῆς συνηθείας βεβαιότερον καὶ δυσεκνιπτότερον τὸ κακὸν ἀπεργάζεσθαι, πεφυκότων τῶν συνεχέστερον ἡμῖν καὶ περιττότερον ἐπιτελουμένων, εἰς φύσιν ἀποκαθιστᾶν τὸ τελούμενον, ἤτοι φύσεως ἕξιν αὐτῷ περιποιεῖν. *Ἐν πραΰτητι.*] Ἐν πραΰτητι γὰρ, ἀλλʼ οὐκ ἐν θορύβῳ καὶ ταραχῇ ἡ τῆς διδασκαλίας γίνεται παραδοχή. *Ἔμφυτον λόγον.*] *Ἔμφυτον λόγον* καλεῖ, τὸν διακριτικὸν τοῦ βελτίονος καὶ τοῦ χείρονος, καθʼ ὃ καὶ λογικοὶ ἐσμὲν καὶ λεγόμεθα.

22 Γίνεσθε δὲ ποιηταὶ λόγου, καὶ μὴ μόνον ἀκροα-
23 ταὶ, παραλογιζόμενοι ἑαυτούς. Ὅτι, εἴ τις ἀκροατὴς λόγου ἐστὶ, καὶ οὐ ποιητὴς, οὗτος ἔοικεν ἀν-
δρὶ κατανοοῦντι τὸ πρόσωπον τῆς γενέσεως αὐτοῦ
24 ἐν ἐσόπτρῳ· κατενόησε γὰρ ἑαυτὸν, καὶ ἀπελήλυ-
25 θε, καὶ εὐθέως ἐπελάθετο, ὁποῖος ἦν. Ὁ δὲ παρακύψας εἰς νόμον τέλειον, τὸν τῆς ἐλευθερίας, καὶ παραμείνας, οὗτος οὐκ ἀκροατὴς ἐπιλησμονῆς γε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νόμενος, ἀλλὰ ποιητὴς ἔργου, οὗτος μακάριος ἐν τῇ ποιήσει αὐτοῦ ἔσται.

Ἐπειδὴ οἶδε καὶ τοὺς σπουδῇ ἐπακούοντας τοῦ λόγου πολλάκις τὴν θερμότητα καὶ ἐν αὐτῷ τῷ ἀκροᾶσθαι ἀποσβεννύντας, διὰ τοῦτο νῦν ἐπιφέρει ταῦτα, δυνάμει ταῦτα παρακελευόμενος· Μὴ ἐν τῷ ἀκροᾶσθαι μόνον τὴν σπουδὴν ἐπιδείκνυσθε, ἀλλὰ πολὺ μᾶλλον ἐν τῷ ποιεῖν. Τὸ δέ, *παραλογιζόμενοι* ἑαυτούς, ἀντὶ τοῦ, ἐξαπατῶντες. *Οὗτος ἔοικεν ἀνδρὶ κατανοοῦντι τὸ πρόσωπον τῆς γενέσεως αὐτοῦ ἐν ἐσόπτρῳ. Πρόσωπον γενέσεως*, τὸ διὰ τοῦ νόμου λέγει ἑαυτὸν ἐπεγνωκέναι· διὸ καὶ τῷ *προσώπῳ* ἐπήγαγε τὸ, *γενέσεως*. Διὰ γὰρ τοῦ νόμου μανθάνοντες, οἷοι γεγόναμεν, καταναοῦμεν οἵους γενομένους ὁ πνευματικὸς ἡμᾶς ἀποτελεῖ νόμος διὰ τοῦ λουτροῦ τῆς παλιγγενεσίας. Εἶτα μὴ ἐμμένοντες τοιαύτῃ θέᾳ διὰ τῆς πράξεως, καὶ τοῦ χαρίσματος ἐπιλανθανόμεθα. Ὁ γὰρ πράξεσιν ἑαυτὸν ἐκδοὺς πονηραῖς, οὐδὲ ὅτι εὐηργέτηται παρὰ τοῦ θεοῦ μνημονεύει. Εἰ γὰρ ἐμνημόνευεν ὅτι υἱοθετήθη, καὶ ἐδικαιώθη, καὶ ἡγιάσθη, (ἃ πνευματικά ἐστι χαρίσματα,) οὐκ ἂν ἑαυτὸν παρεδίδου τοῖς ἀθετοῦσι τὴν χάριν ἔργοις. *Ἐν ἐσόπτρῳ.*] Ἀπὸ τοῦ συνήθους τούτου ἐσόπτρου, ἐπὶ τὸ νοητὸν ἔσοπτρον διαβιβάζει τὸν λόγον· μηδὲν ἐπενέγκας τῶν εἰς παράδειγμα ἀφοριζόντων τὸ εἰρημένον· οἷον ἵνα εἴπῃ οὕτως· « *Εἴτις ἀκροατὴς λόγου, καὶ οὐ ποιητὴς, οὗτος ἔοικεν ἀνδρὶ κατανοοῦντι τὸ πρόσωπον τῆς γενέσεως αὐτοῦ ἐν ἐσόπτρῳ.* Ὡς γὰρ ἐκεῖνος κατενόησεν ἑαυτὸν, καὶ ἀπελήλυθε, καὶ εὐθέως ἐπελάθετο, ὁποῖος ἦν· οὕτω καὶ οὗτος ὁ διὰ τοῦ Μωσέως νόμου κατανοήσας τὸ, δι' ὅτι γέγονεν, ὅτι δηλαδὴ πρὸς δόξαν θεοῦ, καὶ τὸ κατ' εἰκόνα γενέσθαι τοῦ πεποιηκότος θεοῦ, μετὰ τὸ κατανοῆσαι, οὐδὲν τῶν κατανοηθέντων εἰργάσατο, ἀλλ' ὡσαύτως τῷ πρώτῳ πάθει τὴν κατανόησιν διετέθη. » Οὕτως οὖν τῷ λόγῳ χρήσασθαι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δέον, οὐ κέχρηται· τοῦτο δὲ οὐ μάτην ποιεῖ ὁ τοῦ Κυρίου μαθητὴς Ἰάκωβος, ἀλλὰ συντόμως ἅπαντα φθέγγεται, ὡς τοῦ συντετμημένου μαθητὴς λόγου, καὶ ἅμα συνάγων τὸν ἀκροατὴν, καὶ συντείνων εἰς τὸ μὴ παρέργως τούτων ἀκούειν. *Ὁ δὲ παρακύψας.*] Σκόπει, ὅτι, *ὁ παρακύψας*, εἶπεν, ἀλλ' οὐκ, ὁ εἰσελθών· ὁ γὰρ πνευματικὸς νόμος τὸ ἐφετὸν παντα-χοῦ καὶ μεγαλεῖον ἔχων, καὶ ἀπ' αὐτῆς τῆς βραχείας ἐντυ-χίας οἶδεν ἐφέλκεσθαί τε καὶ τελειοποιεῖν· καὶ ἅτε τὸ τέ-λειον ἔχων καὶ περὶ πάντα ἀνελλιπὲς, τοῦ ἐνδοιάζειν περί τι τῶν ἐν αὐτῷ ἀπαλλάξας τὸν ἐντυγχάνοντα, καὶ παραμένειν πέπεικε τοῖς τεθεαμένοις. *Εἰς νόμον τέλειον.*] Ἐπειδὴ μέγα ἐφρόνουν Ἰουδαῖοι ἐν ταῖς τοῦ νόμου παρατηρήσεσι, καὶ ταύταις τὸ πᾶν τῆς περὶ τὸν θεὸν εὐσεβείας κατορθοῦν ᾠοντο, καὶ περὶ ταύτας ἀσχολούμενοι μόνας, αὐτοὶ μὲν τὸ τέλειον ἑαυ-τοῖς περιπεποιηκέναι ἐλογίζοντο, πρὸς δὲ τοὺς ἄλλους ἀνθρώ-πους ὑπερηφάνως καὶ ὀνειδιστικῶς διέκειντο, ὡς δῆλον ἀπὸ τοῦ ἐν εὐαγγελίῳ Φαρισαίου καὶ ὧν κατὰ τοῦ τελώνου ἀπηυ-θαδίσατο (α), ταύτην τὴν οἴησιν καταστέλλων ὁ μακάριος Ἰάκωβος, τὰ προκείμενά φησι. Μνησθεὶς γὰρ ποιητοῦ ἔργων, καὶ μακαρίσας αὐτὸν, ἐπανορθοῦται εὐθὺς καὶ τὸ ἐν τῇ ποιή-σει παρὰ τοῖς πολλοῖς ἐπιφυόμενον κακὸν, καί φησι· Μὴ ὑπο-λάμβανε ὁ ἀπὸ τῆς ποιήσεως τοῦ νόμου λαχὼν τὸ μακάριον, ὡς μόνη ἡ ποίησις ἔχει καὶ τὸ ἀποδεκτὸν παρὰ θεῷ· οὐ γὰρ· ἀλλ' ἐκεῖνος μακάριος, ὁ μετὰ τοῦ ποιεῖν, μὴ ἐξονειδιστικῶς τοῖς μὴ ποιοῦσι φερόμενος, μηδὲ ἀφιλανθρώπως πρὸς τοὺς ὁμογενεῖς διακείμενος. *Τὸν τῆς ἐλευθερίας.*] Εἰπὼν, *νόμον τέλειον*, ἐπήνεγκε, *τὸν τῆς ἐλευθερίας*, τὴν ἐλευθερίαν ἐπίση-μον αὐτοῦ ποιούμενος. Ὁ γὰρ κατὰ Χριστὸν νόμος, τῆς περὶ πᾶν τὸ σαρκικὸν ἀπαλλάξας δουλείας, σαββατισμῶν, καὶ περιτομῆς, καὶ τῆς περὶ τοὺς ἄλλους ἁγνισμοὺς λατρείας, ἐν

(1) Λουκ. ΙΗ', 10—14.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐλευθερίᾳ τούτων καὶ ἀνέσει τὸν προσιόντα καθίστησι· καὶ διὰ τὸ ἐλευθέριον καὶ τὸ ἀπὸ τῆς ἐλευθερίας ἡδὺ, καὶ προσεκτικὸν εἰργάσατο τοῦτον, καὶ τῆς λυμαινομένης ἅπασι τοῖς καλοῖς ἀπήλλαξεν ἐπιλησμονῆς. Οὐδὲν γὰρ οὕτω περιέχεσθαί τινος πείθει, ὡς τὸ περὶ τὸ πρᾶγμα ἐνθεωρούμενον ἄνετόν τε καὶ ἐλευθέριον. Προσέτι καὶ μακάριον ἀπέφηνε τὸν τοιοῦτον. *Οὗτος οὐκ ἀκροατὴς ἐπιλησμονῆς.*] Τῇ ἀκροάσει συνῆψε τὴν ἐπιλησμονήν· ὡς, εἰ ἐνδεῖ τῆς ποιήσεως ἡ ἀκρόασις, οὐδὲν πρᾶγμα μὴ καὶ τὴν ἐπιλησμονὴν ἐπακολουθῆσαι, ὡς κατὰ πάρεργον οὐκ ἐνεργῶς τῆς ἀκροάσεως γενομένης.

26 Εἴτις δοκεῖ θρῆσκος εἶναι ἐν ὑμῖν, μὴ χαλιναγωγῶν γλῶσσαν αὑτοῦ, ἀλλὰ ἀπατῶν καρδίαν αὑτοῦ,
27 τούτου μάταιος ἡ θρησκεία. Θρησκεία καθαρὰ καὶ ἀμίαντος παρὰ τῷ θεῷ καὶ πατρί, αὕτη ἐστίν· ἐπισκέπτεσθαι ὀρφανοὺς καὶ χήρας ἐν τῇ θλίψει αὐτῶν, ἄσπιλον ἑαυτὸν τηρεῖν ἀπὸ τοῦ κόσμου.

Η *θρησκεία*, πλέον τι δοκεῖ τῆς πίστεως ἔχειν· κρυφίων γάρ τινων γνῶσιν τὸ ὄνομα ἐπαγγέλλεται, καὶ βεβαιότητα τῶν κατὰ τὴν πίστιν ἐνθεωρουμένων. Διά τοι τοῦτο καὶ νῦν ὁ μακάριος Ἰάκωβος τῇ λέξει ταύτῃ ἐχρήσατο, *θρῆσκος*, εἰπὼν, ὥσπερ εἴ ἔλεγε· Γνώστην ἑαυτὸν οἴει τῶν ἐν τῷ νόμῳ ἀπορρήτων καὶ ἀκριβῆ φύλακα; Πῶς; ὅς γε τὴν γλῶσσαν μὴ ἐπιστάμενος χαλιναγωγεῖν, καταλαλεῖς τοῦ πλησίον, καὶ ὑπεροπτικῶς διαβιούς, οὐδένα τῶν ἀπορούντων οἰκτείρεις; τοῦ νόμου μήτε τὸν καταλαλοῦντα προσιεμένου (α), ἀλλὰ καὶ τοὺς ἐχθροὺς οἰκτείρειν κελεύοντος, καὶ τῷ ὑπὸ τὸν γόμον τὸ ἑαυτοῦ κτῆνος ἐμπεπτωκὸς ἔχοντι καταλαμβανομένῳ ἐχθρῷ συναντιλαμβάνειν τούτῳ κελεύοντος (β); Εἴπερ οὖν θρῆσκος εἶναι βούλει, μὴ ἐν τῇ γνώσει τοῦ νόμου ἐπιδείκνυσο τὸν θρῆσκον, ἀλλ' ἐν τῇ ποιήσει· τοῦτο δέ ἐστι τὸ τοὺς πλησίον οἰκτείρειν· ὁ γὰρ εἰ

(α) Ψαλμ. Ρ', 5. (β) Ἐξοδ. ΚΓ', 5.

Δημόσια Κεντρική Βιβλιοθήκη Σέρρων

τὸν πλησίον οἰκτιρμὸς, ἀφομοίωσίς ἐστι πρὸς τὸν θεόν· *γίνεσθε* γάρ, φησιν, *οἰκτίρμονες, καθὼς καὶ ὁ πατὴρ ὑμῶν, ὁ οὐράνιος, οἰκτίρμων ἐστί* (α). Ἀλλὰ καὶ ὁ οἰκτιρμὸς μὴ ἐν προσωποληψίᾳ ἔστω· ἐπεὶ μηδὲ ὁ θεὸς ἀπομεμερισμένας τὰς ἑαυτοῦ ποιεῖται εὐεργεσίας, ἀλλὰ ἀδιαστάλτως πάντας, πλουσίους καὶ πένητας, πονηροὺς καὶ ἀγαθοὺς εὐεργετεῖ (β). Τὸ δὲ, *ἀπατῶν καρδίαν αὐτοῦ*, οἱονεὶ, κατάγχων, καὶ μὴ ἐξ οἰήσεως, ὡς ποιητὴς νόμου, ἀπατῶν τὴν συνείδησιν αὐτοῦ· τοῦτο γὰρ ἡ *καρδία* βούλεται ἐνταῦθα σημαίνειν, ὡς ἐν τῷ· *Καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην* (γ). *Θρησκεία καθαρά.*] Ἴσως ἐρεῖ τις· Εἰ τῆς κατὰ Χριστὸν διαθήκης διδάσκαλος ὁ Ἰάκωβος, πῶς νῦν οὐχὶ καταργεῖ τὰ τοῦ νόμου, ἀλλὰ μᾶλλον ἐξαίρει, τοὺς ἐν τῇ τούτου θρησκείᾳ ἀποδεχόμενος, καὶ μὴ ἐπιτιμῶν τούτοις, καὶ τῆς τοῦ νόμου ἀπανιστῶν παρατηρήσεως; Πρὸς ὃν ἐροῦμεν ἐκεῖνο· Ὡς εἰσαγωγικώτερον αὐτοῖς νῦν διαλέγεται, καὶ συγκαταβαίνει τῇ τούτων ἀσθενείᾳ· ἵνα μὴ ἐκ προθύρων ἀνατρέπων τὸν νόμον, ὀπίσω χωρεῖν ποιήσῃ, τῇ καινότητι τῶν διδαγμάτων ναυτιῶντας, καὶ πρὸς ἀπείθειαν ἀποκλίναντας. Οἰκονομικώτερον δὲ μεταχειρισάμενος τὸ πρᾶγμα, καὶ ὑπενδοὺς, ὅσον αὐτὸν οὐκ ἔβλαπτεν εἰς τὴν καινὴν διαθήκην, ταῖς νομικαῖς δεισιθείαις· (τί γὰρ σαββατισμὸς, ἢ ντηεία, ἢ ἀποχὴ βρωμάτων εἰς τὴν κατὰ Χριστὸν παραβλάψει πίστιν;) καὶ τούτοις τέως προσεκτικωτέρους αὐτοὺς τοῦ ἑαυτοῦ λόγου λαβὼν, οὕτως ἠρέμα καὶ κατὰ μικρὸν, τῶν μὲν ἀφίστασθαι παραινεῖ τῶν τοῦ νόμου, ὡς ἐγκόπων μὲν, ἀνωφελῶν δὲ, καὶ ὡς πρὸς δουλείαν, οὐ πρὸς ἐλευθερίαν μετακαλούντων τὴν ἐν Χριστῷ. Σοφῶς τοιγαροῦν ταῖς βραχείαις ὑπαλλαγαῖς χρησάμενος, ὅτε μὴ δυσανασχετοῦντας εἶχε τοῖς λεγομένοις, τότε τὰ προσήκοντα χριστιανοῖς παρατίθεται. *Ἀσπιλον ἑαυτὸν τηρεῖν ἀπὸ τοῦ κόσμου.*] *Κόσμον* ἐνταῦθα τὸν δημώδη καὶ συρ-

(α) Λουκ. ϛ', 36. (β) Ματθ. Ε', 45. (γ) Ψαλμ. Ν', 19.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρετὸν ὄχλον ἀκουστέον, τὸν κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης αὐτοῦ φθειρόμενον (α).

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῆς πρὸς ἕκαστον ἀγάπης ἀπροσωπολήπτου κατὰ νόμον.

ΚΕΦ. Β, 1 Ἀδελφοί μου, μὴ ἐν προσωπολημψίαις ἔχετε τὴν πίστιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ
2 τῆς δόξης. Ἐὰν γὰρ εἰσέλθῃ εἰς τὴν συναγωγὴν ὑμῶν ἀνὴρ χρυσοδακτύλιος ἐν ἐσθῆτι λαμπρᾷ, εἰσ-
3 έλθῃ δὲ καὶ πτωχὸς ἐν ῥυπαρᾷ ἐσθῆτι, καὶ ἐπιβλέψητε ἐπὶ τὸν φοροῦντα τὴν ἐσθῆτα τὴν λαμπρὰν, καὶ εἴπητε αὐτῷ· Σὺ κάθου ὧδε καλῶς· καὶ τῷ πτωχῷ εἴπητε· Σὺ στῆθι ἐκεῖ, ἢ, Κάθου ὧδε ὑπὸ
4 τὸ ὑποπόδιόν μου· καὶ οὐ διεκρίθητε ἐν ἑαυτοῖς, καὶ ἐγένεσθε κριταὶ διαλογισμῶν πονηρῶν;

Μὴ ἐν προσωπολημψίαις.] Ὁ γὰρ ἐν προσωπολημψίᾳ τι ποιῶν, πολλοῦ σπίλου, πολλῆς κηλίδος ἑαυτὸν ἀναπίμπλησι, τὸ ὁμογενὲς ἀτιμάζων, καὶ πρὸ ἐκείνου ἑαυτὸν, εἴγε ἡ πρὸς τὸ ὅμοιον ἐπίδειξις, καὶ πρὸς ἑαυτὸν παραπέμπεται τὸν πράττοντα. *Χρυσοδακτύλιος.*] Χρυσοῦς δακτυλίους φορῶν. Ἔοικε δὲ τὸ δακτυλιοφορεῖν μάλιστα παρ' Ἑβραίοις ἐξασκῆσθαι. *Καὶ οὐ διεκρίθητε ἐν ἑαυτοῖς.*] Ὁ, *Καὶ*, σύνδεσμος παρέλκει· ἀντὶ τοῦ· Τὸ διακριτικὸν ὑμῶν διεφθείρατε, μηδεμίαν συζήτησιν ποιήσαντες πότερον τιμητέον τὸν πένητα μὲν, σπουδαῖον δὲ, ἢ τὸν πλούσιον μὲν, ῥάθυμον δέ· ἀλλ' οὕτως ἀδιακρίτως καὶ ἐν προσωπολημψίᾳ τὸν μὲν ἐτιμήσατε διὰ τὸν πλοῦτον, τὸν δὲ ἠτιμάσατε διὰ τὴν πενίαν. *Καὶ ἐγένεσθε κριταὶ δια-*

(α) Ἐφεσ. δ', 22.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λογισμῶν πονηρῶν.] Τουτέστιν, ἄδικοι κριταί, τῇ πονηρίᾳ ἐκ προσωποληψίας προσθέμενοι. Ὁ, *Καί*, σύνδεσμος παρέλκει ἐνταῦθα, ὡς εἴρηται, συνήθως ἀρχαΐζούσῃ φράσει. Ἐπεί, ἀποδόσεως οὔσης ἐνταῦθα τοῦ ἀνωτέρω εἰρημένου, περιττὸς ὁ σύνδεσμος. Ἔστι γὰρ οὕτως· *Ἐὰν γὰρ εἰσέλθῃ εἰς τὴν συναγωγὴν ὑμῶν, ἀνὴρ χρυσοδακτύλιος ἐν ἐσθῆτι λαμπρᾷ, εἰσέλθῃ δὲ καὶ πτωχὸς ἐν ῥυπαρᾷ ἐσθῆτι, καὶ ἐξῆς· εἶτα, οὐ διεκρίθητε ἐν ἑαυτοῖς, καὶ ἐγένεσθε κριταὶ διαλογισμῶν πονηρῶν*, τουτέστι, τὸ διακριτικὸν ὑμῶν διαφθείραντες, γεγόνατε ἐν ἐκλογῇ τῶν πονηρῶν διαλογισμῶν, τὸν μὲν τιμήσαντες, τὸν δὲ ἀτιμάσαντες, καίτοι τῆς φύσεως τῆς αὐτῆς ἐνυπαρχούσης ἀμφοτέροις.

5 Ἀκούσατε, ἀδελφοί μου ἀγαπητοί· οὐχ ὁ θεὸς ἐξελέξατο τοὺς πτωχοὺς τοῦ κόσμου, πλουσίους
ἐν πίστει, καὶ κληρονόμους τῆς βασιλείας, ἧς ἐπηγ-
6 γείλατο τοῖς ἀγαπῶσιν αὐτόν; ὑμεῖς δὲ ἠτιμάσατε τὸν πτωχόν. Οὐχ οἱ πλούσιοι καταδυναστεύουσιν
ὑμῶν, καὶ αὐτοὶ ἕλκουσιν ὑμᾶς εἰς κριτήρια;
7 Οὐκ αὐτοὶ βλασφημοῦσι τὸ καλὸν ὄνομα, τὸ ἐπι-
8 κληθὲν ἐφ' ὑμᾶς; Εἰ μέντοι νόμον τελεῖτε βασιλικὸν, κατὰ τὴν Γραφήν· «Ἀγαπήσεις τὸν πλησίον σου
9 ὡς σεαυτόν (α),» καλῶς ποιεῖτε· εἰ δὲ προσωποληπτεῖτε, ἁμαρτίαν ἐργάζεσθε, ἐλεγχόμενοι ὑπὸ τοῦ νόμου ὡς παραβάται.

Ἐπειδὴ ἡ πενία δυσχερές ἐστι τοῖς πολλοῖς καὶ μόνον ἀκουσθῆναι, διὰ τοῦτο εἰπὼν, *τοὺς πτωχοὺς τοῦ κόσμου*, εὐθέως ἐπήγαγε, *πλουσίους*. Περὶ τί δὲ, πλουσίους; Περὶ τὴν πίστιν καὶ ἐν τῇ πίστει. Καὶ γὰρ οὕτως ἔχει· τὸ γὰρ περὶ τὸν κόσμον ἀπερίσπαστον τῶν πενήτων, ἐνεργοτέρους αὐτοὺς καὶ πρακτικωτέρους τῶν πλουτούντων, ἐπειδὰν προσέλθωσι τῇ πίστει, ποιεῖ. Διὸ καὶ ὁ Κύριος τοιούτους τοὺς μαθητὰς ἐπελέξατο,

(α) Λευϊτ. ΙΘ', 18.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὓς καὶ κληρονόμους τῆς βασιλείας ἀνέδειξε. *Βλασφημοῦσι τὸ καλὸν ὄνομα.*] *Τὸ καλὸν ὄνομα*, ὄνομα καινὸν, τὸ κατὰ τὸν προφήτην, τὸν φάσκοντα· *Τοῖς δὲ δουλεύουσί μου κληθήσεται ὄνομα καινὸν, ὃ εὐλογηθήσεται ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς* (α).

10 Ὅστις γὰρ ὅλον τὸν νόμον τηρήσει, πταίσει δὲ ἐν
11 ἑνὶ, γέγονε πάντων ἔνοχος. Ὁ γὰρ εἰπών· Μὴ μοιχεύσῃς· εἶπε καί· Μὴ φονεύσῃς (β)· εἰ δὲ οὐ μοιχεύσεις, φονεύσεις δὲ, γέγονας παραβάτης
12 νόμου. Οὕτω λαλεῖτε, καὶ οὕτω ποιεῖτε, ὡς διὰ
13 νόμου ἐλευθερίας μέλλοντες κρίνεσθαι. Ἡ γὰρ κρίσις ἀνίλεως τῷ μὴ ποιήσαντι ἔλεος· κατακαυχᾶται ἔλεος κρίσεως.

Πταίσει *δὲ ἐν ἑνί.*] Τοῦτο περὶ ἀγάπης εἴρηκε, δι' ἣν καὶ πάντα τὸν πρὸ τούτου κατέτεινε λόγον εἰς κατασκευήν. Τὸ δὲ, *Οὐ μοιχεύσεις, Οὐ φονεύσεις*, ὑποδείγματος εἴρηκε χάριν. Σκόπει δὲ, ὅτι καὶ τὰ ὑποδείγματα ἐκ τοῦ εἰς ἀγάπην συντελοῦντός εἰσι νόμου· ὁ γὰρ τέλεον ἀγαπῶν τὸν πλησίον, οὗτος οὐδὲ μοιχεύσει, οὐδὲ φονεύσει· ἐχθροῦ γὰρ ταῦτα οὕτω διατιθέντος πρὸς τὸν πλησίον. Ἐπεὶ, εἰ μὴ τοῦτο, οὐδεὶς ἂν ἀνθρώπων σωθείη, οὐδενὸς ἔχοντος τὸ διὰ πασῶν τῶν ἐντολῶν ἀνελλιπές. Ὁ γὰρ ἀγνείαν, φέρε, κατωρθωκὼς, θυμοῦ ἐσθ' ὅτε ἡττᾶται· καὶ ὁ ἐλεημοσύνῃ περιανθιζόμενος, βασκανίᾳ, εἰ τύχοι, ἡμαύρωται. Ὥστε οὐ περὶ παντὸς εἴρηται τοῦ κατὰ τὰς ἀρετὰς ἀνελλιποῦς, ἀλλὰ περὶ ἀγάπης, ὡς οὐ χρὴ, προσωπαληπτοῦντας, ἐλλιπῶς ταύτην ἀνύειν, ἀλλ' ὁλοτελῶς. Τοῦτο δὲ καὶ περὶ τῶν ἄλλων ἀρετῶν φαμέν. Ὅς γὰρ μὴ διὰ τέλους τῶν σωφρονικῶν, φέρε, ἢ τῶν δικαίων ἀντίσχηται, ἀλλ' ἐλλιπέστερον χρήσηται, οὗτος, χωλεύων περὶ τὴν μεταχείρισιν, τῷ παντὶ τῆς ἀρετῆς ἐλυμήνατο σώματι. *Ὅλον* οὖν *τὸν νόμον*, τὸν περὶ τῆς ἀγάπης ἀκουστέον, περὶ ἧς προηγουμένως αὐτῷ ὁ

(α) Ἰσ. ΞΕ', 15. 16. ΞΒ', 5. (β) Ἐξοδ. Κ', 13. 14.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

σκοπός. *Νόμον* δὲ *ἐλευθερίας*, τὸν ἀπροσωπόληπτόν φησιν, ὅς ἐστιν ὁ τοῦ Χριστοῦ· ὁ γὰρ προσωπολήπτης, οὐκ ἐλεύθερος, ἀλλὰ δοῦλος. Ὧ γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται (α). *Ἡ γὰρ κρίσις ἀνίλεως τῷ μὴ ποιήσαντι ἔλεος.*] Τῶν εἰς ἑαυτοὺς ἁμαρτημάτων ἀφιέντας ἡμᾶς τοῖς πλησίον, καὶ τοῖς τῶν ὑπαρχόντων ἡμῖν μεταδόσεως κοινωνοῦντας τοῖς ἐνδεέσιν, ὁ ἀπὸ τοῦ θεοῦ εἰς ἡμᾶς ἔλεος ἐν τῇ τῶν δεδιωμένων ἀναλήψεται διαγνώσει. Μέγα γὰρ τὸ κατόρθωμα, ὥσπερ ἀπεναντίας ἐαν τὸ κατάκριμα τοῖς μὴ πρὸς τὸ ὁμόφυλον εὐσυνειδότως διατεθεῖσιν. Ἐπί τε γὰρ τῶν εἰς ἑαυτοὺς ὑπὸ τῶν πλησίον πλημμεληθέντων ἀσυμπαθῶς διαγενομένων, τὸ τοῦ πονηροῦ δούλου κατάκριμα περιστοιχίσει (β), μετὰ καὶ τοῦ ἐν τῇ εὐχῇ ἀνταποδόματος. Καὶ γὰρ ἀφιέναι ἡμῖν ἐκεῖ ἡ αἴτησις πρὸς θεόν, καθὼς καὶ ἡμεῖς τοῖς εἰς ἡμᾶς πλημμελήσασιν ἀφίεμεν (γ). Καὶ τοῖς ἀνηλεῶς, ἤτοι ἀκοινωνήτως καὶ σκληρῶς πρὸς τοὺς χρήζοντας σωματικῆς παραμυθίας διακειμένοις, ἀνίλεως καὶ ἡ κρίσις ἀπαντήσει κατὰ τὸν παρόντα λόγον. *Κατακαυχᾶται ἔλεος κρίσεως.*] Οἱ γὰρ ἐλεήμονες ἐλεηθήσονται, κατὰ τὴν τοῦ Κυρίου ἀπόφανσιν (δ). Ἄλλως τε καὶ εἰ εἰδωλολάτραις ὁ ἐν πένησιν οἰκτιρμὸς ἐξαλείφειν δύναται ἁμαρτίας, ὡς ἐν τῷ Δανιὴλ ἠκούσαμεν (ε), τί οὐκ ἂν ἐργάσαιτο ἐπὶ πιστῶν ἀνθρώπων; Τοιοῦτο δέ τι μοι δοκεῖ οὗτος ὁ ἔλεος διαπράττεσθαι, ὅπερ ἐπὶ τῶν ἀθλητῶν τοῦτο δὴ τὸ ἀπὸ τῶν δένδρων ἔλαιον ἐπαλειφόμενον· διολισθαίνειν γὰρ αὐτοὺς δίδωσι τὰς τῶν ἀντιπάλων λαβάς. Οὕτω καὶ ἐν τῇ παγκοσμίῳ κρίσει, τὰς παρὰ τῶν κατηγόρων ἡμῶν δαιμόνων ἐπιφορὰς διαδιδράσκειν παρέξεται ὁ εἰς τοὺς πλησίον ἡμῶν ἔλεος.— ΑΛΛΩΣ. *Ἡ γὰρ κρίσις ἀνίλεως.*] Ἡ αἰτιολογία πρὸς τοὺς ἐξ ἀπηνείας ἄγαν τὸ ὑπεροπτικὸν εἰς τοὺς εὐτελεστέρους ἐν προσωπολημψίᾳ ἐπιδεικνυμένους. Μαλάσ-

(α) Β' Πετρ. Β', 19. (β) Ματθ. ΙΗ', 27—34. (γ) Ματθ. ϛ', 12.
(δ) Ματθ. Ε', 7. (ε) Δαν. Κεφ. Δ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σει οὖν αὐτῶν τὸ ἀπηνὲς καὶ σκληρὸν τῇ ἀποφάνσει ταύτῃ φοβῶν, τοιοῦτόν τι λέγων· Ὁ νόμος ἀγαπᾷν τὸν πλησίον παρεγγυᾷ ὡς ἑαυτόν· ὥσπερ δὲ πρὸς ἑαυτὸν οὐ προσωποληπτεῖ τις· (μανία γὰρ τοῦτο·) οὕτω μηδὲ σὺ προσωποληπτεῖ. Εἰ δὲ ἐξ ἀπονοίας καὶ σκληρότητος ἐπὶ προσωποληψίαν χωρεῖς, φοβοῦ, μήπως καὶ αὐτὸς τῶν ὁμοίων τεύξῃ παρὰ τοῦ δικαίου κριτοῦ, καὶ ἀποκλείσῃς σεαυτῷ τὸν ἀπ' ἐκείνου ἔλεον· ἡ γὰρ κρίσις ἀνίλεως. *Κατακαυχᾶται* δὲ, ἀντὶ τοῦ, νικᾷ, καταγωνίζεται, ἀπαμβλύνει.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ὅτι οὐκ ἐκ πίστεως μόνον, ἀλλὰ καὶ ἐξ ἔργων, καὶ οὐκ ἐκ θατέρου ἰδικῶς, ἀλλ' ἐξ ἀμφοῖν ἅμα δικαιοῦται ἄνθρωπος.

14 Τί τὸ ὄφελος, ἀδελφοί μου, ἐὰν πίστιν λέγῃ τις ἔχειν, ἔργα δὲ μὴ ἔχῃ; μὴ δύναται ἡ πίστις σῶσαι
15 αὐτόν; Ἐὰν δὲ ἀδελφὸς ἢ ἀδελφὴ γυμνοὶ ὑπάρχωσι,
16 καὶ λειπόμενοι ὦσι τῆς ἐφημέρου τροφῆς, εἴπῃ δέ τις αὐτοῖς ἐξ ὑμῶν· Ὑπάγετε ἐν εἰρήνῃ, θερμαίνεσθε καὶ χορτάζεσθε· μὴ δῶτε δὲ αὐτοῖς τὰ ἐπι-
17 τήδεια τοῦ σώματος, τί τὸ ὄφελος; Οὕτω καὶ ἡ πίστις, ἐὰν μὴ ἔργα ἔχῃ, νεκρά ἐστι καθ' ἑαυτήν.
18 Ἀλλ' ἐρεῖ τις· Σὺ πίστιν ἔχεις, κἀγὼ ἔργα ἔχω· δεῖξόν μοι τὴν πίστιν σου ἐκ τῶν ἔργων σου, κἀγὼ
19 δείξω σοι ἐκ τῶν ἔργων μου τὴν πίστιν μου. Σὺ πιστεύεις, ὅτι ὁ θεὸς εἷς ἐστι· καλῶς ποιεῖς· καὶ τὰ δαιμόνια πιστεύουσι, καὶ φρίσσουσι.

Σκόπει πνευματικὴν σύνεσιν! Οὐ γὰρ εἶπε μόνον, *Ἐὰν πίστιν ἔχῃς*, ἀλλὰ, *Τί τὸ ὄφελος*; ὥσπερεὶ ἔλεγε· Δεῖξόν μοι τὸ πρᾶγμα, ἀφ' οὗ σοι τὴν προσηγορίαν ταύτην λογίσομαι· τοῦτο γὰρ τὸ τῆς πίστεως ὄφελος. *Οὕτω καὶ ἡ πίστις, ἐὰν*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μὴ ἔργα ἔχῃ, νεκρά ἐστι καθ' ἑαυτήν.] Οὐκ ἀντιφάσκει ταῦτα τῷ μακαρίῳ Παύλῳ (α), κατὰ δύο σημαινομένων τοῦ τῆς πίστεως ὀνόματος φερομένου. Ἐπί τε γὰρ τῆς ἁπλῆς τοῦ φαινομένου συγκαταθέσεως, πίστιν εἰώθαμεν λέγειν· καθὸ καὶ τοὺς δαίμονας ἔγνωμεν πιστεύειν, ὅτι θεοῦ υἱός (β). Καὶ πάλιν τὴν ἐκ διαθέσεως ἐπακολούθησιν μετὰ βεβαίας συγκαταθέσεως τῷ τῆς πίστεως προσρήματι καλούντων ἡμῶν, Ἰάκωβος μὲν τὴν ἁπλὴν συγκατάθεσιν, νεκρὰν εἶναι φησὶ πίστιν, ὡς ἀμοιροῦσαν τῶν ἀναζωπυρούντων ἔργων· Παῦλος δὲ τὴν ἐκ διαθέσεως λέγει, ἥτις οὐκ ἐστέρηται ἔργων μάλιστα· οὐκ ἂν γὰρ αὕτη διακένῳ σεμνῶν ἔργων ἐγγένοιτο. Οὐδὲ γὰρ Ἀβραὰμ ἔτυχε ταύτης, μὴ πρότερον διαγωνισάμενος τὴν πατρικὴν ἀπώσασθαι ἀθεΐαν· ᾧτινι ἀγωνίσματι ἡ πίστις ἔπαθλον ἐβραβεύετο. Αλλ' ἔργων ταύτην προέκρινεν ὁ Παῦλος, τῶν κατὰ νόμον σαββατισμῶν, καὶ περιτομῆς, καὶ τῶν λοιπῶν ἁγνισμῶν. Δύο γὰρ καὶ ἐπὶ τῶν ἔργων ὁρᾶται τὰ σημαινόμενα. Ἔργα γάρ, καὶ τὰ τὴν πίστιν βεβαιοῦντα λέγεται· ὧν ἀμοιροῦσα ἡ πίστις, νεκρὰ καταλείπεται· ἔργα πάλιν καὶ τὰ τοῦ νόμου· ὧν χωρὶς καὶ Ἀβραὰμ καὶ πάντες οἱ κατὰ Χριστὸν δικαιοῦνται. Ἐπεί, ὅτι πίστις οὐκ ἂν ἀκαθάρτῳ προσγένοιτο, (λέγω δὲ τὴν τῷ ὄντι πίστιν,) τίς ἀντερεῖ; Οὔτε γὰρ βορβόρου πλήρει ἀγγείῳ μύρον ταμιευθείη, οὔτε ἀκαθάρτῳ ἀνθρώπῳ πίστις ἐγγένοιτο θεοῦ. Οὐκ ἄρα διάφωνοι ἑαυτοῖς οἱ θεῖοι ἀπόστολοι, ἀλλὰ περὶ τὸ διάφορον τοῦ σημαινομένου στρεφόμενοι, πρὸς τὴν χρείαν ἕκαστος τοῦ σημαινομένου, τὸ προτεθὲν αὐτῷ διεξάγει καὶ ἐκπεραίνεται.

20 Θέλεις δὲ γνῶναι, ὦ ἄνθρωπε κενέ, ὅτι ἡ πίστις
21 χωρὶς τῶν ἔργων νεκρά ἐστιν; Ἀβραὰμ, ὁ πατὴρ
ἡμῶν, οὐκ ἐξ ἔργων ἐδικαιώθη, ἀνενέγκας Ἰσαὰκ
22 τὸν υἱὸν αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον; Βλέπεις, ὅτι

(α) Ῥωμ. Κεφ. Δ'. (β) Ματθ. Δ', 8. Λουκ. Δ', 3. Ματθ. Η', 29.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡ πίστις συνήργει τοῖς ἔργοις αὐτοῦ, καὶ ἐκ τῶν
23 ἔργων ἡ πίστις ἐτελειώθη; καὶ ἐπληρώθη ἡ γραφὴ
ἡ λέγουσα· «Ἐπίστευσε δὲ Ἀβραὰμ τῷ θεῷ, καὶ
ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην (α)·» καὶ φίλος θεοῦ
24 ἐκλήθη. Ὁρᾶτε τοίνυν, ὅτι ἐξ ἔργων δικαιοῦται ἄν-
25 θρωπος, καὶ οὐκ ἐκ πίστεως μόνον; Ὁμοίως δὲ
καὶ Ῥαὰβ ἡ πόρνη οὐκ ἐξ ἔργων ἐδικαιώθη ὑποδε-
ξαμένη τοὺς ἀγγέλους, καὶ ἑτέρᾳ ὁδῷ ἐκβαλοῦ-
26 σα (β); Ὥσπερ γὰρ τὸ σῶμα χωρὶς πνεύματος
νεκρόν ἐστιν, οὕτω καὶ ἡ πίστις χωρὶς τῶν ἔργων
νεκρά ἐστι.

Θέλεις δὲ γνῶναι, ὦ ἄνθρωπε κενέ;] Κενὸν ἐκάλεσεν ἄνθρωπον, τὸν ψιλῇ τῇ πίστει αὐχοῦντα, μηδὲν τῆς διὰ τῶν ἔργων ὑποστάσεως κεκτημένον εἰς πλήρωσιν. Ἀβραὰμ, ὁ πατὴρ ἡμῶν.] Τὸν αὐτὸν Ἀβραὰμ ἀμφότεροι, ὅ,τε Παῦλος καὶ ὁ Ἰάκωβος οὗτος, εἰς ὑπόδειγμα τοῦ τῆς πίστεως λόγου λαμβάνουσιν (γ)· ὁ μὲν τὴν πίστιν τῶν ἔργων κρείττω δεικνὺς δι' ὑποδείγματος, τοῦ κατὰ τὸν Ἀβραάμ· ὁ δὲ πάλιν, τὰ ἔργα τῆς πίστεως διὰ τοῦ αὐτοῦ Ἀβραάμ. Καὶ εἴρηται μὲν ἀνωτέρω, ὡς περὶ τὸ διττὸν τοῦ σημαινομένου ἑκάτερος στρέφεται, τὸ συντελοῦν αὐτῷ πρὸς τὴν ἀπόδειξιν ἐπαγόμενος. Τινὲς μέντοι τῶν Πατέρων καὶ οὕτω περὶ τούτου ἔγνωσαν. Φασὶ γὰρ τὸν αὐτὸν Ἀβραὰμ τοῖς χρόνοις διαστελλόμενον, ἑκατέρας πίστεως εἶναι εἰκόνα καὶ τῆς πρὸ τοῦ βαπτίσματος, τῆς μὴ ἐπιζητούσης ἔργα, εἰ μὴ τὴν πίστιν μόνην καὶ τὴν ὁμολογίαν τῆς σωτηρίας, καὶ τὸ ῥῆμα, ᾧ δικαιούμεθα πιστεύοντες εἰς Χριστὸν, καὶ τῆς μετὰ τὸ βάπτισμα, τῆς συνεζευγμένης τοῖς ἔργοις. Οὕτως οὐκ ἐναντίον φαίνεται τὸ ἐν τοῖς ἀποστόλοις λαληθὲν Πνεῦμα· ἀλλὰ τῆς μὲν, δι' ὁμολογίας μόνης δικαιούσης τὸν προσιόντα, εἰ παραχρῆμα ἀπέλθοι τοῦ βίου· (τούτῳ γὰρ οὐ πάρεισιν ἔργα, ἀλλ' ἐφόδιον αὐτῷ ἱκανὸν ἡ διὰ τοῦ βαπτίσματος κάθαρσις·) τῆς δὲ, τὸν ἤδη βεβαπτισμένον

(α) Γενεσ. ΙΕ', 6. (β) Ἑβρ. ΙΔ', 31. (γ) Ῥωμ. Κεφ. Δ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀπαιτούσης καὶ ἀγαθῶν ἔργων ἐπίδειξιν. Τούτῳ δὲ καὶ ὁ Παῦλος συμφωνεῖ ἑτέρωθι λέγων οὕτω, καὶ διδάσκων τὴν μετὰ τὸ βάπτισμα πίστιν, τὴν διὰ τῶν ἔργων τελείωσιν ἀπαιτεῖν, ἐν οἷς φησίν· *Οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία, ἀλλὰ πίστις δι' ἀγάπης ἐνεργουμένη* (α)· ἡ δὲ ἀγάπη, πολλῆς φιλοσοφίας δεῖται εἰς τὸ πληρωθῆναι.—ΑΛΛΩΣ. Τῆς μὲν ἐκ μόνης πίστεως δικαιώσεως εἰκὼν ἦν Ἀβραάμ, ὅτε ἐπίστευσε, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην· τῆς δὲ ἐξ ἔργων, ὅτε τὸν υἱὸν ἀνήνεγκεν ἐπὶ τὸ θυσιαστήριον (β). Καὶ γὰρ οὐ μόνον τὸ ἔργον ἐποίει, ἀλλὰ καὶ τῆς πίστεως οὐκ ἀπέστη, ὅτι ἐν Ἰσαὰκ μέλλει τὸ σπέρμα αὐτοῦ πληθύνεσθαι ὡς τὰ ἄστρα, λογισάμενος, ὅτι καὶ ἐκ νεκρῶν ἐγεῖραι δυνατὸς ὁ θεός (γ). Ὅμως καὶ τὸν Δαυὶδ ὁ Παῦλος προκομίζει μάρτυρα (δ), σαφῶς διασκευάζων τὰ ἑαυτοῦ. Ἤδει γὰρ τῷ θείῳ πνεύματι Δαυὶδ τὴν μέλλουσαν ἐν Χριστῷ παρέσεσθαι κατὰ καιροὺς πίστιν· διό φησι· *Μακάριος ἀνὴρ, ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν* (ε).—*Ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστι.*] Τὴν μετὰ τὸ βάπτισμα πίστιν λέγει. Οὐδὲν γὰρ πίστις ὠφελεῖ, χηρεύουσα ἔργων, εἰ μὴ καὶ μείζονος ἡμᾶς ἁμαρτήματος ὑποδίκους καθίστησι, τὸ τάλαντον μὲν λαβόντας, μὴ ἐπιφερομένους δὲ τὴν ἐργασίαν (ζ). Ὅθεν καὶ ὁ Κύριος ὑπογραμμὸν ἡμῖν διδοὺς, ὡς μετὰ τὸ βάπτισμα καὶ ἔργων ἡμῖν δεῖ, βαπτισθεὶς ὑπὸ Ἰωάννου, τὴν ἔρημον ἔφθασε, καὶ τοὺς κατὰ τοῦ διαβόλου ἀνεδέχετο ἀγῶνας (η). Καὶ Παῦλος δὲ τοῖς ἤδη τῶν μυστηρίων ἀξιωθεῖσι παραινεῖ, λέγων· *Σπουδάσωμεν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν* (θ)· ὡς οὐκ ἀρκούσης τῆς πίστεως, ἀλλ' ὀφειλούσης προστεθῆναι καὶ τῆς καθαριότητος τοῦ βίου, καὶ πολλὴν περὶ τούτου γενέσθαι σπουδήν.

(α) Γαλ. Ε', 6. (β) Γεν. ΙΕ', 6. ΚΒ'. (γ) Ἑβρ. ΙΑ', 19.
(δ) Ῥωμ. Δ', 6. (ε) Ψαλμ. ΛΑ', 2. (ζ) Ματθ. ΚΕ', 24.
(η) Ματθ. Δ', 1—11. (θ) Ἑβρ. Δ', 11.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κεφ. III, 1 Μὴ πολλοὶ διδάσκαλοι γίνεσθε, ἀδελφοί μου, εἰδότες, ὅτι μεῖζον κρίμα ληψόμεθα.

Εἰπὼν ἀνωτέρω καὶ διδάξας τὴν πίστιν, μὴ διάκενον ἔργων σπουδαίων κεκτῆσθαι τοὺς πιστοὺς, μετέβη καὶ ἐφ' ἕτερον ἀδελφὸν τούτου παράγγελμα. Εἰσὶ γάρ τινες, οἱ διδάσκειν ἐπιχειροῦσιν ἃ μὴ κατώρθωσαν αὐτοί. Φησὶν οὖν, ὅτι μεῖζον τὸ κρίμα τῶν τοιούτων μετὰ τοῦ μηδὲν κερδαίνειν. Ὁ γὰρ τὰ μὴ προσόντα διδάσκων ὡς ὄντα αὐτῷ, κατάκριτός ἐστιν, ὡς διὰ τῆς αὐτοῦ γλώσσης ὀλισθαίνων. Καὶ βεβαιῶν τοῦτο ἐκ περιουσίας, φησίν· Εἰ γὰρ καὶ ἄλλως ἡ γλῶσσα πέφυκεν ὀλισθαίνειν ἐξ ἀπροσεξίας, ὧν καὶ τὸ κρίμα οὐκ ἀποδιδράσκει ὁ ταύτην κεκτημένος, ὡς Σολομὼν φησὶ, λέγων· *Δι' ἁμαρτίαν χειλέων ἐμπίπτει εἰς παγίδα ἁμαρτωλός* (α)· ἦπου ἂν ὁ ἐκ προνοίας ἁμαρτάνων, διδάσκων τῇ γλώσσῃ, ἃ μὴ τῇ πείρᾳ μεμάθηκεν, ἀποφύγοι τὴν ἀδιάδραστον δίκην;

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ὅτι ἡ προπετὴς καὶ ἄτακτος γλῶττα θανατοῖ τὸν κεκτημένον, ἧς κρατεῖν ἀνάγκη εἰς εὐφημίαν καὶ δόξαν τοῦ θεοῦ· ἐν ᾧ, περὶ ἀναστροφῆς ἀγαθῆς καὶ ἀμάχου πρὸς ἀλλήλους ἐκ φιλοδοξίας τῆς ἐπὶ σοφίᾳ ἀνθρωπίνῃ· καὶ περὶ θείας σοφίας· καὶ ὅτι ἐκ ῥᾳθυμίας καὶ φιληδονίας ἔρις, καὶ ἀκαταστασία, καὶ ἡ πρὸς θεὸν ἔχθρα γίνεται· καὶ περὶ μετανοίας πρὸς σωτηρίαν, καὶ περὶ τοῦ μὴ κρίνειν τὸν πλησίον.

2 Πολλὰ γὰρ πταίομεν ἅπαντες· εἴτις ἐν λόγῳ οὐ

(α) Παροιμ. ΙΒ', 13.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

πταίει, οὗτος τέλειος ἀνὴρ, δυνατὸς χαλιναγωγῆ-
3 σαι καὶ ὅλον τὸ σῶμα. Ἴδε, τῶν ἵππων τοὺς χα-
λινοὺς εἰς τὰ στόματα ἐμβάλλομεν πρὸς τὸ πεί-
θεσθαι αὐτοὺς ἡμῖν, καὶ ὅλον τὸ σῶμα αὐτῶν
4 μετάγομεν. Ἰδοὺ, καὶ τὰ πλοῖα, τηλικαῦτα ὄντα,
καὶ ὑπὸ σκληρῶν ἀνέμων ἐλαυνόμενα, μετάγεται
ὑπὸ ἐλαχίστου πηδαλίου, ὅπου ἂν ἡ ὁρμὴ τοῦ
εὐθύνοντος βούληται.

Πολλὰ γὰρ πταίομεν ἅπαντες.] Ἐξ ἀπροσεξίας ἀμελῶς διακείμενοι τῷ βίῳ. Εἴτις ἐν λόγῳ οὐ πταίει.] Τὸ ἀδιάφευκτον τοῦ μή τινα ἐκτὸς ἁμαρτίας διαβιοῦν ἀνθρώπων, ἀπὸ τοῦ τῆς γλώσσης εὐολίσθου πιστοῦται. Ἐκ τούτου δὲ καὶ τὸ μηδενὶ προσεῖναι τὸ τέλειον παρίστησι. Τίς γὰρ ὃς οὐχ ἥμαρτεν ἐν τῇ γλώσσῃ αὐτοῦ; Εἰ δὲ τοῦ εὐολίσθου περιγένηται τῆς γλώσσης ἑαυτοῦ τις, πῶς οὐχὶ καὶ ὅλον οὗτος ἱκανὸς τὸ σῶμα περιάγειν καλῶς; Ὁ γὰρ τοῦ πρὸς τὸ πταίειν εὐκόλου κρατήσας, σχολῇ γε ἂν εἰ τοῦ νωθεστέρου μὴ κυριεύοι. Ἴδε, τῶν ἵππων τοὺς χαλινοὺς εἰς τὰ στόματα ἐμβάλλομεν.] Ἡ σύνταξις οὕτως· Εἰς τὰ στόματα τῶν ἵππων ἐμβάλλομεν τοὺς χαλινούς. Εἰ γὰρ μὴ οὕτω συνταγείη, ἀδιανόητος ὁ λόγος. Κατασκευαστικὰ δὲ ταῦτα τοῦ περὶ γλώσσης ῥηθησομένου, καὶ ἐκ τοῦ μᾶλλον ἐπιχειροῦντος, ὅτι ὁ τοῦ πρὸς μεταγωγὴν εὐκόλου κυριεύων, καὶ τοῦ δυσμεταχειρίστου οὗτος κατακρατήσει. Ἀντιπίπτον δὲ ἐν ταὐτῷ λύει. Εἰκὸς γάρ τινα ἐπαγαγεῖν, ὅτι· Καὶ τίς κόπος μικρὸν οὕτω κυβερνῆσαι μέλος; ἢ τίς ἡ ἀπὸ τοῦ ἐλαχίστου γενησομένη βλάβη; Καὶ δείκνυσι καὶ ταῦτα ἔκ τε τοῦ χαλινοῦ, καὶ τοῦ πηδαλίου, καὶ τοῦ σπινθῆρος· ἃ μικρὰ μέν ἐστι, μεγάλα δὲ ἀποτελεῖ.

5 Οὕτω καὶ ἡ γλῶσσα μικρὸν μέλος ἐστὶ, καὶ με-
γαλαυχεῖ. Ἰδοὺ, ὀλίγον πῦρ ἡλίκην ὕλην ἀνάπτει.
6 Καὶ ἡ γλῶσσα πῦρ, ὁ κόσμος τῆς ἀδικίας· οὕτως
ἡ γλῶσσα καθίσταται ἐν τοῖς μέλεσιν ἡμῶν, ἡ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σπιλοῦσα ὅλον τὸ σῶμα, καὶ φλογίζουσα τὸν
χὸν τῆς γενέσεως, καὶ φλογιζομένη ὑπὸ τῆς γ
7 νης. Πᾶσα γὰρ φύσις θηρίων τε καὶ πετεινῶν,
πετῶν τε καὶ ἐναλίων, δαμάζεται καὶ δεδάμα
8 τῇ φύσει τῇ ἀνθρωπίνῃ· τὴν δὲ γλῶσσαν οὐ
δύναται ἀνθρώπων δαμάσαι· ἀκατάσχετον κα
9 μεστὴ ἰοῦ θανατηφόρου. Ἐν αὐτῇ εὐλογοῦμεν
θεὸν καὶ πατέρα, καὶ ἐν αὐτῇ καταρώμεθα
ἀνθρώπους, τοὺς καθ' ὁμοίωσιν θεοῦ γεγονότα

Οὕτω καὶ ἡ γλῶσσα.] Ἀντὶ τοῦ, τὸν αὐτὸν τρόπον κ
γλῶσσα ὀφείλει κινεῖσθαι καλῶς· ἢ κἂν *μικρὸν μέλος* ἐ
ἀλλὰ *μεγαλαυχεῖ*, τουτέστι, μεγάλα ἐργάζεται, καλὰ δ
δὴ καὶ κακά. Οὐκ ἐξήπλωται δὲ οὕτως· ὅτι τοῦ συντε
μένου λόγου μαθητὴς ὁ ταῦτα γράφων. *Ὁ κόσμος τῆς*
κίας.] *Κόσμον* τινὲς ἐνταῦθα τὸ πλῆθος βούλονται π
νειν, ὥσπερ καὶ ἐν τῷ· *Ὁ κόσμος αὐτὸν οὐκ ἔγνω* (α)
τὶ τοῦ, τὸ δημῶδες πλῆθος. *Κόσμος* οὖν καὶ ἡ γλ
τουτέστι, πλῆθος ἀδικίας, καὶ ὅσου πλήθους, εἴρηται,
ἔφη, *ἡλίκην ὕλην*. *Πᾶσα γὰρ φύσις.*] Τὰ τῆς ἀντιλ
ταύτης πρὸς τὰ ἀνωτέρω εἰρημένα ἀκουστέον. Εἰπὼν γὰ
δείξας διὰ τοῦ χαλινοῦ, διὰ τοῦ πηδαλίου, ἃ μικρ
ἐστι, μεγάλα δὲ κατορθοῖ, καλῶς κινούμενα· καὶ ἐπεν
ὅτι, *Οὕτω καὶ ἡ γλῶσσα*, ὀφείλει δηλαδὴ μετάγεσθα
ὀρθῷ λόγῳ· δείκνυσι νῦν οὐκ ἀδύνατα προστάσσειν δι
ὑποκειμένων ὑποδειγμάτων, ὥσπερ εἰ ἔλεγεν· Ἀλλ' ἐρε
ὅτι, κἂν μικρὸν μέλος ἡ γλῶσσα, ἀλλ' οὖν μεγάλα ἐρ
μένη καλὰ καὶ κακά, οὐκ εὐπειθὴς, οὐδ' εὐάγωγος ἡμῖ
πρὸς ἃ βουλόμεθα. Οὐδὲν τοῦτο πρὸς ἀπολογίαν. Εἰ γὰρ
κεια τῇ ἑαυτοῦ φύσει δαμάζει ἄνθρωπος θηρία, χαλεπ
ἰδεῖν, χαλεπώτερα δὲ μεταχειρίσασθαι, οὐ πολλῷ μ
τὸ ἑαυτοῦ μέλος εὐείκτως μεταχειρίσαιτο; Διὸ καὶ τὸ

(α) Ἰωαν. Α', 10.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βόλου

δὲ γλῶσσαν οὐδεὶς ἀνθρώπων δαμάσαι δύναται, μὴ κατὰ ἀπόφανσιν ἀναγνωστέον, ἀλλὰ κατ' ἐπαπόρησιν· ἵνα ᾖ οὕτως· Εἰ τὰ ἀτίθασσα θηρία ἄνθρωπος τιθασσεύει καὶ χειροήθη ποιεῖ, ἆρα τὴν ἑαυτοῦ γλῶσσαν οὐ δαμάσει; Οὕτως οὖν ἀναγνωστέον· εἰ γὰρ κατὰ ἀπόφανσιν, οὐκ ἂν δόξῃ προϊὼν καλῶς κεχρῆσθαι τῷ νουθετήματι, λέγω δὲ τῷ· *Οὐ χρὴ, ἀδελφοί μου, ταῦτα οὕτω γίνεσθαι.* Εἰ γὰρ ἀδύνατον τὴν γλῶτταν μεταῤῥυθμίσαι, ὁ ἀδυνάτοις ἐπιχειρεῖν παραινῶν, οὐκ ἀσφαλῆ τὴν παραίνεσιν ποιεῖ, φήσειεν ἄν τις. Τὸ δὲ, *Ἀκατάσχετον κακὸν, μεστὴ ἰοῦ θανατηφόρου*, κατὰ ἀπόφανσιν προσενεκτέον· αὐξητικὰ γάρ ἐστι ταῦτα τοῦ δυσμεταχειρίστου τῆς γλώσσης. Ἀλλὰ καὶ τὸ, *Ἐκ τοῦ αὐτοῦ στόματος ἐξέρχεται εὐλογία καὶ κατάρα*, κατ' ἐπαπόρησιν ἀναγνωστέον· ἐντρέπτοντος γὰρ ὁ λόγος τοὺς ἀκροατάς ἐστιν. Εἰ γὰρ εὐλογεῖν πάντας κελευόμεθα· λοίδοροι γὰρ βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν (α)· ἆρα οὐκ αἰσχύνῃ τῷ αὐτῷ ὀργάνῳ χρῆσθαι ὑπουργῷ κακίας καὶ καλοκἀγαθίας; Οὐδεὶς τῶν σωφρονούντων τῷ αὐτῷ ὀργάνῳ βόρβορον διαταράξειε καὶ μύρον. Προσεύχῃ; Μὴ καταρῷ τῷ ἐχθρῷ· εὐχὴ γὰρ καὶ κατάρα πολὺ τὸ μέσον ἔχουσιν. Εἰ μὴ ἀφῇς τῷ λελυπηκότι, οὐδὲ ἀφεθήσεταί σοι· ἀλλὰ καταρώμενος σεαυτὸν ἀλώσῃ, ἡνίκα εὔχῃ ἀφεθῆναί σοι τὰ ὀφειλήματα, καθὼς ἂν καὶ αὐτὸς ἀφίῃς τοῖς σεαυτοῦ ὀφειλέταις (β). Ἀλλὰ καλὸν, τοῦ εὐπαρακολουθήτου χάριν, καὶ ὅλον τὸ χωρίον παραθέσθαι πρὸς τὴν οἰκείαν τάξιν τῆς φράσεως, τινὰ τῶν ἐλλιπόντων προστιθέντας· ἔσται δὲ οὕτως· *Ἴδε, τῶν ἵππων τοὺς χαλινοὺς εἰς τὰ στόματα ἐμβάλλομεν πρὸς τὸ πείθεσθαι αὐτοὺς ἡμῖν, καὶ ὅλον τὸ σῶμα αὐτῶν μετάγομεν. Ἰδοὺ, καὶ τὰ πλοῖα, τηλικαῦτα ὄντα, καὶ ὑπὸ σκληρῶν ἀνέμων ἐλαυνόμενα, μετάγεται ὑπὸ ἐλαχίστου πηδαλίου, ὅπου ἂν ἡ ὁρμὴ τοῦ εὐθύνοντος βούληται. Οὕτως*

(α) Α' Κορ. ϛ', 10. (β) Ματθ. ϛ', 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

οὖν καὶ ἡ γλῶσσα μεταγέσθω τῷ ὀρθῷ λ
πὸν τοῦτο· πᾶσα γὰρ φύσις θηρίων τε κ
τῶν τε καὶ ἑρπετῶν, δαμάζεται καὶ
σει τῇ ἀνθρωπίνῃ. Εἰ δὲ ταῦτα οὕ
οὐδεὶς ἀνθρώπων δύναται δαμάσαι; Οὔ
Ἔτι καὶ ταῦτα περὶ τοῦ μὴ δεῖν, ὡς
σαν κινεῖν, ἀλλ' ἐπὶ τὰ κρείττω μετα
θράσας τῷ χαλινῷ, καὶ πλοίου ὁρμὴν τῷ
τὴν γλῶσσαν εἰς τὸ εὖ ἔχ ον τῷ ὀρθῷ λό
μεν. Τὸ γὰρ, *Οὕτω καὶ ἡ γλῶσσα*, τοῦτο
ὀφείλει καὶ ἡ γλῶσσα μετάγεσθαι τῷ ὀ
τοῦτο ποιεῖν ὃ ποιεῖ· μικρὰ γάρ τις οὖσα
καὶ μεγάλην ἡμῖν ἀνάπτει πυράν· ἐπεὶ
τίνα ἃ ποιεῖ; Κοσμεῖ τὴν ἀδικίαν διὰ τ
γλώττου δεινότητος· σπιλοῖ τὸ σῶμα, τ
γωγίαις τὰ γύναια· φόνους δι' ἀπάτης ἐρ
τὰ ἀλλότρια καρποῦται· καὶ ἐπὶ πᾶσι,
τῆς γεέννης, τουτέστιν, ἐκκαίει καὶ ἐρε
γέενναν, ὡσπερεὶ κατατρέχειν ἡμῶν ποιοῦ
αὐτή, φησι, φλογίζεται ὑπὸ τῆς γεέννης,
τὴν γλῶσσαν ἀποτηγανιζομένου πλουσίου
γὰρ, οὐκ ἄλλο κολάζεται, διὰ τὸ πρὸς ἀ
ρίαν εὐτρεπές. Εἰ μὲν οὖν, *τῆς γεέννης*, ἔ
τιγράφων ἔχει, οὕτω τὸ ῥητὸν ἀναπτυκτέο
τῆς γενέσεως, ἔχει, τοιαύτης τυγχάνει
γενέσεως, τὴν ζωὴν ἡμῶν φησι. Φλογίζο
τῆς γενέσεως, σπιλοῖ τὴν ζωήν. Καὶ πῶ
νη, ἀφ' οὗ ὁ βίος ἡμῶν ἐκτραχύνεται, ἤτ
ἡμῶν. Τοῦτον γὰρ καὶ ὁ μελῳδὸς *στέφαν*
φανον, εἰπὼν, *τοῦ ἑαυτοῦ* (6). *Στέφα*

(*) Δευτ. ΙΓ', 24. (6) Ψαλμ. ΞΔ', 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διεννηνόχασι κατὰ τὸ κυκλικὸν καὶ τροχοειδές. *Τροχὸς* δὲ ὁ βίος, ὡς εἰς ἑαυτὸν ἀνελιττόμενος. Πῶς δὲ σπιλοῖ τὸν βίον ἡμῶν; Οὕτω κινουμένη, ὡς ἀνωτέρω εἰρήκαμεν· ἀφ' ὧν καὶ ἐρρυπωμένος καὶ πολυστένακτος ὁ βίος ἀποτελεῖται. Οὕτως οὖν ἡ γλῶσσα μεταγέσθω τῷ ὀρθῷ λόγῳ. Κἂν γὰρ *κόσμος* ἐστὶ τῆς ἀδικίας, οἱονεὶ πρὸς τὸν συρφετώδη ὄχλον καὶ δημώδη ἐκφερομένη καὶ βλέπουσα· (κόσμον γὰρ ἐνταῦθα τὸ πλῆθος ἀκουστέον·) ἡ *κόσμος* ἐστὶν, ἤτοι κοσμοῦσα τὴν ἀνθρωπίνην φύσιν· ταύτῃ γὰρ ἀλλήλοις κοινωνοῦμεν τῶν ἑαυτῶν νοημάτων· (ἐπεὶ καὶ οὕτω τινὲς βούλονται τὸν *κόσμον* λαμβάνειν πρὸς σημασίαν·) ἀλλ' οὖν πρὸς τὸν δημώδη ὄχλον φερομένη, ἀδικεῖ, καὶ σπιλοῖ ὅλον τὸ σῶμα, καὶ φλογίζει τὸν τροχὸν τῆς γενέσεως, καὶ φλογίζεται ὑπὸ τῆς γεέννης. Ὅμως οὐ χαλεπὸν μεταχειρίσασθαι ταύτην πρὸς τὸ εὐλόγως κινεῖσθαι, καὶ ὡς ἂν ὁ μεταχειριζόμενος βουληθείη. Εἰ γὰρ *πᾶσα φύσις θηρίων τε καὶ πετεινῶν, ἑρπετῶν τε καὶ ἐναλίων, δαμάζεται καὶ δεδάμασται τῇ φύσει τῇ ἀνθρωπίνῃ*, ἆρα τὴν γλῶσσαν, ὅτι *ἀκατάσχετον κακὸν*, ὅτι *μεστὴ ἰοῦ θανατηφόρου*, οὐδεὶς ἀνθρώπων δύναται δαμάσαι; Οὐκ ἂν εἴποιμι. Εἰ γὰρ ἀδάμαστος, καὶ οὔποτε πρὸς τὸ κρεῖσσον ἀπονεύουσα, πῶς ἐν αὐτῇ *εὐλογοῦμεν τὸν θεὸν καὶ πατέρα; καὶ ἐν αὐτῇ καταρώμεθα τοὺς ἀνθρώπους*; Ἰδοὺ, πρὸς τὸ βούλημα μετάγεται τοῦ χρωμένου. Ἀλλ' *οὐ χρὴ, ἀδελφοί μου, ταῦτα οὕτω γίνεσθαι*. Εἰ γὰρ δι' αὐτῆς εὐλογοῦμεν τὸν θεὸν, ἆρα τοὺς καθ' ὁμοίωσιν θεοῦ γεγονότας ἀνθρώπους οὐκ αἰσχύνη καταρᾶσθαι; Ἢ δίκαιον, ἵνα *ἐκ τοῦ αὐτοῦ στόματος ἐξέρχηται εὐλογία καὶ κατάρα; Οὐ χρὴ, ἀδελφοί μου, ταῦτα οὕτω γίνεσθαι*!

10 Ἐκ τοῦ αὐτοῦ στόματος ἐξέρχεται εὐλογία καὶ
κατάρα. Οὐ χρὴ, ἀδελφοί μου, ταῦτα οὕτω γίνε-
11 σθαι. Μήτι ἡ πηγὴ ἐκ τῆς αὐτῆς ὀπῆς βρύει τὸ
12 γλυκὺ καὶ τὸ πικρόν; Μὴ δύναται, ἀδελφοί μου,
συκῆ ἐλαίας ποιῆσαι, ἢ ἄμπελος σῦκα; Οὕτως

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐδεμία πηγὴ ἁλικὸν καὶ γλυκὺ ποιῆσαι ὕδωρ
13 Τίς σοφὸς καὶ ἐπιστήμων ἐν ὑμῖν; δειξάτω ἐκ τῆ
καλῆς ἀναστροφῆς τὰ ἔργα αὐτοῦ ἐν πραύτητ
14 σοφίας. Εἰ δὲ ζῆλον πικρὸν ἔχετε καὶ ἐριθεία
ἐν τῇ καρδίᾳ ὑμῶν, μὴ κατακαυχᾶσθε καὶ ψεύδε
15 σθε κατὰ τῆς ἀληθείας. Οὐκ ἔστιν αὕτη ἡ σοφί
ἄνωθεν κατερχομένη, ἀλλ' ἐπίγειος, ψυχικὴ, δαι
16 μονιώδης. Ὅπου γὰρ ζῆλος καὶ ἐριθεία, ἐκ
17 ἀκαταστασία καὶ πᾶν φαῦλον πρᾶγμα. Ἡ δὲ ἄνω
θεν σοφία, πρῶτον μὲν ἁγνή ἐστιν, ἔπειτα εἰρηνι
κὴ, ἐπιεικὴς, εὐπειθὴς, μεστὴ ἐλέους καὶ καρπῶ
18 ἀγαθῶν, ἀδιάκριτος καὶ ἀνυπόκριτος. Καρπὸς δ
τῆς δικαιοσύνης ἐν εἰρήνῃ σπείρεται τοῖς ποιοῦσ
εἰρήνην.

Ἐκ τοῦ αὐτοῦ στόματος.] Τοῦ κατηξιωμένου δηλαδὴ τοιαύτ
μυσταγωγίας. Τοιοῦτον οὖν στόμα μηδὲν πικρὸν ἐκβαλλέσθ
μηδὲν ἀηδές. *Τίς σοφὸς καὶ ἐπιστήμων ἐν ὑμῖν;*] Φίλαρχ
ὄντες οἱ ἄνθρωποι, καὶ τῇ σοφίᾳ τοῦ κόσμου τούτου αὐχοῦντε
κατ' ἔριν καὶ ζῆλον τῶν ὀρθῶν διδασκάλων ἐκήρυττον, ὀχλ
γωγοῦντες ἁπλῶς, καὶ φθόνον πρὸς τούτους ἔχοντες, καὶ π
ραμιγνύντες τοῖς θείοις τὰ ἀνθρώπινα, ἵνα τῇ καινότητι τ
λεγομένων ἐπισπῶνται τοὺς ἀκούοντας· ὅθεν καὶ αἱρέσ
ἐξῆλθον. Πληρώσας οὖν τὸν περὶ προπετείας λόγον καὶ ἀκρ
σίας γλώσσης, μέτεισι λοιπὸν καὶ ἐπὶ τὸν ἐξ ὁμοίας ἐμπλ
ξίας ἐγγινόμενον ἀνθρώποις φθόνον· καὶ φησι, ταύτας τὰς
δασκαλίας οὐ καθεστηκότων εἶναι, ἅτε μηδὲ ἐκ σοφίας οὖσ
θείας, ἀλλ' ἐκ δαιμονιώδους. Ταῦτα δὲ εἶπε, προεπαινέσ
τὸν ἀγαθὸν διδάσκαλον, ἐκ πραότητος λέγων αὐτοῦ τὴν σ
φίαν δι' ἔργων χρηστῶν. Ἐπειδὴ δὲ τὸ τοῦ ζήλου ὄνομα
μεσότητι ὁρᾶται χρηστῶν τε καὶ φαύλων· (ἔστι γὰρ ζῆ
κίνησις ψυχῆς ἐνθουσιώδης ἐπί τι μετά τινος ἀφορμοιώσεως
πρὸς ὃ ἡ σπουδή ἐστι·) διὰ τοῦτο τὸ *πικρὸν* ἐπήνεγκε, δ
κνὺς τὸ πρός τί ὁ ζῆλος. *Ἐριθεία* δέ ἐστιν ἐπίψογος· φι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νεικία. Λέγεται δὲ καὶ καταλαλιὰ σὺν κακολογίᾳ. *Πρῶτον μὲν ἁγνή ἐστιν.*] *Ἁγνὴ*, καθαρὰ καὶ ἀρρύπαρος, μηδενὸς τῶν σαρκικῶν ἀντεχομένη. *Ἀδιάκριτος.*] Μὴ διακρίνουσα παρατηρήσεις βρωμάτων, καὶ διαφόρων βαπτισμῶν. Ἀκριβῶς δὲ περὶ τούτων ἐν τῇ πρὸς Κολοσσαεῖς διαλέγεται ὁ Παῦλος.

Κεφ. IV, 1 Πόθεν πόλεμοι καὶ μάχαι ἐν ὑμῖν; οὐκ ἐντεῦθεν, ἐκ τῶν ἡδονῶν ὑμῶν, τῶν στρατευομέ-
2 νων ἐν τοῖς μέλεσιν ὑμῶν; Ἐπιθυμεῖτε, καὶ οὐκ ἔχετε· φονεύετε καὶ ζηλοῦτε, καὶ οὐ δύνασθαι ἐπι-
3 τυχεῖν· μάχεσθε καὶ πολεμεῖτε, καὶ οὐκ ἔχετε, διὰ τὸ μὴ αἰτεῖσθαι ὑμᾶς· αἰτεῖτε, καὶ οὐ λαμβάνετε,
4 διότι κακῶς αἰτεῖσθε, ἵνα ἐν ταῖς ἡδοναῖς ὑμῶν δαπανήσητε. Μοιχοὶ καὶ μοιχαλίδες, οὐκ οἴδατε, ὅτι ἡ φιλία τοῦ κόσμου, ἔχθρα τοῦ θεοῦ ἐστιν; Ὃς ἂν οὖν βουληθῇ φίλος εἶναι τοῦ κόσμου, ἐχθρὸς τοῦ θεοῦ καθίσταται.

Δείκνυσιν, ὡς κἂν ὑποπλάττωνται λόγον διδασκαλικὸν, ὅμως ὅλοι σαρκικοί εἰσι, καὶ τὰ χαλεπώτατα πράττουσιν, ἡδονὰς ἑαυτοῖς πορίζόμενοι· οἱ μὲν, ἀδροτέρας τραπέζης, (ὃ καὶ Παῦλος αὐτῶν καταγινώσκων, φησίν· *Οἱ γὰρ τοιοῦτοι τῷ Κυρίῳ οὐ δουλεύουσιν, ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ* (α)·) οἱ δὲ, κτήσεως λαμπρῶν ἀγρῶν ἢ οἰκιῶν ὀριγνώμενοι· ἄλλοι, οἰκετίαν περιβαλέσθαι ἢ συνοικίας· ἄλλος δὲ ἄλλό τι, περὶ ἃ ὁ πονηρὸς αὐτοῖς ὑποτίθησιν, ἀποσυλᾷν αὐτοὺς μηχανώμενος τῆς αὐτῶν σωτηρίας. *Ἐπιθυμεῖτε, καὶ οὐκ ἔχετε.*] Κατὰ θέσιν καὶ ἄρσιν πρόεισι, τῆς θέσεως ἀναιρουμένης διὰ τὸ ἄτοπον· τὸ δὲ ἄτοπον διὰ τὸ ἡδονῆς ὑπεκκαύματα μέλλειν ἔσεσθαι τὰ ἐπὶ τῇ θέσει ἐνθεωρούμενα. Ἥ τε γὰρ ἐπιθυμία ἐν ἡδονῶν ἐπιτελέσει ἀποτελευτᾷ· ὅ, τε φόνος καὶ ὁ ζῆλος, καὶ δὴ καὶ ἡ μάχη τε καὶ ὁ πόλεμος οὐκ ἀγαθά· διόπερ οὐδὲ τυγχάνουσι τούτων, ὧν ἕνεκεν ταῦτα ἐπιτηδεύουσιν. Ἐπιστατέον δὲ, ὡς *φόνον* ἐνταῦθα

(α) Ῥωμ. Ις', 18.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ *πόλεμον*, οὐ τὸν σαρκικόν φησι· τοῦτο γὰρ βαρὺ καὶ κατὰ λῃστῶν ἐννοεῖν, μὴ ὅτι γε κατὰ ποσῶς πιστῶν καὶ τῷ Κυρίῳ προσερχομένων. Ἀλλ', ὡς γέ μοι δοκεῖ, *φονεύειν* φησὶ τοὺς τὴν ἑαυτῶν ψυχὴν ἀποκτιννύντας ταῖς τολμηραῖς ταύταις ἐπιχειρήσεσι, δι' ἃς καὶ ὁ πρὸς τὴν εὐσέβειαν αὐτοῖς πόλεμος. Καὶ ὥσπερ προῒὼν *μοιχοὺς* καὶ *μοιχαλίδας* ἐρεῖ, οὐ πάντως τοιούτους αὐτοὺς ὄντας, ἀλλ' ὡς εἰς τὰ θεῖα καὶ καλῶς ἔχοντα προστάγματα τῇ πρὸς ἕτερα νόθα ἀποκλίσει πορνεύοντας· (οὐκ ἂν γάρ τις πόρνου ἀνάσχοιτο διδασκάλου, κἂν χοίρων ᾖ βορβορωδέστερος·) οὕτω καὶ φόνους καὶ πολέμους, οὐ τοὺς σωματικούς, ἀλλὰ τοὺς ψυχικοὺς λέγει. *Αἰτεῖτε, καὶ οὐ λαμβάνετε.*] Ὡς ὁ Φαρισαῖος, ὁ ἐν τῷ κατὰ Λουκᾶν εὐαγγελίῳ (α)· ὅσῳ γὰρ πλείονα κατέλεγε τῶν αὐτοῦ κατορθωμάτων, τοσούτῳ πλέον τὴν θείαν ἀπέβυεν ἀκοήν, καὶ ὁ τῶν ῥημάτων ὄγκος κενὸς περὶ τὰ χείλη ἦν, καὶ εἰς ἀφρὸν κατέῤῥει, καὶ διελύετο, καθάπερ παφλάζοντος κύματος. Ἀλλ' ἐρεῖ τις· Εἰ ἡ τοῦ Κυρίου Ἰησοῦ ἐπαγγελία ἀληθὴς, τοῦ ἀψευδοῦς διδασκάλου, τό· *Πᾶς ὁ αἰτῶν λαμβάνει* (β)· πῶς νῦν ταῦτά φησιν ὁ παρὼν ἀπόστολος; Ἀλλὰ φαμέν, ὡς, ὁ ὁδῷ τῇ ἀκολούθῳ ἐπὶ τὸ αἰτεῖν χωρῶν, ἔχει καὶ τὴν ἐπαγγελίαν ἀκεραίαν, μηδενὸς ἀσχολοῦντος τῶν αἰτουμένων· εἰ δέ τις, ἔξω χωρήσας τοῦ σκοποῦ τῆς παραδοθείσης αἰτήσεως, δόξει αἰτεῖν, οὐχὶ αἰτῶν ὃν δεῖ τρόπον, οὗτος οὐδὲ αἰτεῖ· διὸ καὶ οὐδὲ λήψεται. Ὡς γὰρ διδασκάλου, φέρε, γραμματικοῦ, ἐπαγγελλομένου πάντα τὸν προσιόντα αὐτῷ διδάξειν τὴν τῶν γραμματικῶν ἐπιστήμην, αὐτὸς δὲ ἐκμελῶς προσέλθῃ, καὶ μὴ συντείνας ἑαυτὸν ὁ μαθητιῶν πρὸς τὴν τῶν ἐπηγγελμένων ἀνάληψιν, εἶτα ὅμοιος ἀποφανθείη τῇ ἐκμελείᾳ, ἆρά γε δικαίως ἄν τις ψεύδους γράψαιτο τὸν διδάσκαλον; Οὐ σῶφρον οὗτος ποιῶν. Οὐ γὰρ προσῆλθεν ὁ μέλλων μανθάνειν, ὡς ὁ διδάσκαλος προετρέψατο. Καὶ πῶς δὲ, ἢ τί

(α) Λουκ. ιη', 11. 12. (β) Ματθ. ζ', 8.

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

χρὴ αἰτεῖν; εἴποι τις ἄν. Αὐτοῦ τοῦ τὴν ἐπαγγελίαν ποιησαμένου ἐπάκουσον· *Αἰτεῖτε πρῶτον τὴν βασιλείαν τοῦ θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτοῦ* (6). Δῆλον οὖν, ὡς ὅγε οὕτως αἰτῶν, καὶ περὶ τοιούτων προηγουμένως, οὐδὲ τῶν ἄλλων ἀστοχήσει· ὧν ὁ λαμβάνων οὐκ ἔξω πεσεῖται τῆς ἑαυτοῦ σωτηρίας. Ὁ δὲ ἐπιβλαβῆ καὶ ἐπιζήμια αἰτῶν, οὐχ ἕξει παρέχοντα τοῦτον, παρ' οὗ πᾶσα δόσις ἀγαθή. Ἀλλὰ καὶ γνῶσιν θείαν αἰτῶν, καὶ μὴ λαμβάνων, ἤ τι πνευματικὸν χάρισμα διὰ φιληδονίαν αἰτῶν, οὐ λήψεται· κακῶς γὰρ αἰτεῖ καὶ κακὸν ἐπ' ἀπωλείᾳ ἑαυτοῦ· οὐ δή που δὲ κακῶν πάροχος ὁ θεός. *Μοιχοὶ καὶ μοιχαλίδες, οὐκ οἴδατε, ὅτι ἡ φιλία τοῦ κόσμου ἔχθρα τοῦ θεοῦ ἐστίν;*] Ἐπειδὴ ἀνωτέρω μικρὸν διήλεγξέ τινας ψευδοσόφους, τὴν θείαν καταπορνεύοντας Γραφὴν, καὶ ἐνδιαστρόφως αὐτῇ χρωμένους πρὸς τὸ ἑαυτῶν βούλημα, ἵνα ἔχωσιν ἐκ τούτου ἐφόδιον τῆς ἑαυτῶν ἐνηδόνου ζωῆς· τοῦτο δὲ οὐκ ἄλλοθέν ποθεν ἢ ἐξ ἀλαζονείας συνίσταται καὶ ὑπερηφανίας· διὰ τοῦτο νῦν καὶ ἐμβριθέστερον πρόεισι, καὶ ἀλλοτριώτερον τῆς ἑαυτοῦ πραότητος κέχρηται τοῖς ὀνειδιστικοῖς λόγοις, *μοιχοὺς* καὶ *μοιχαλίδας* ἀποκαλῶν τοὺς τοιούτους, καὶ ἐλεγκτικῶς καταισχύνων, τοιούτοις σχεδὸν κεχρημένος ἐλέγχοις· Εἰπέ μοι, μάταιε! Σοφὸν ἑαυτὸν ἀποφαίνειν βούλει; Καὶ πόθεν ὑμῖν τὸ μετ' ἔριδος καὶ διηνεκοῦς πολέμου ζῆν; καὶ τὸ ἀεὶ προσπεφυκέναι τοῖς παροῦσι; καὶ τὸ ἡδὺ τοῦ παρόντος βίου μεταδιώκειν ἀμεταστρεπτί; Οὐκ ἔστι τοῦτο σοφῶν, ἀλλὰ χυδαίων ἀνδρῶν, καὶ πρὸς τὴν φιλίαν τοῦ κόσμου ἀποκλινάντων· ὃ καὶ μοιχοὺς ὑμᾶς δείκνυσι, τοῦ ἐναποθέτου καὶ θείου καὶ σώφρονος κάλλους, τὸ δημῶδες προτιμῶντας καὶ βέβηλον καὶ αἰσχρὸν, καὶ τῇ πρὸς τὸν παρόντα προσπαθείᾳ τὴν πρὸς θεὸν ἔχθραν ἐπαναιρουμένους. Ἢ οὐκ οἴδατε, ὅτι ἡ τοῦ κόσμου φιλία ἀλλοτριοῖ τῆς

(6) Ματθ. ϛ', 33.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θείας φιλίας, καὶ ἐχθροὺς ἀποφαίνει θεοῦ; *Κόσμου* γὰρ ἐνταῦθα, πᾶσαν τὴν ὑλικὴν ζωὴν ἀποκαλεῖ, ὡς μητέρα τῆς φθορᾶς· ἧς ὁ μετασχεῖν σπεύδων, ἐχθρὸς γίνεται τοῦ θεοῦ· διὰ γὰρ τὴν περὶ τὰ ἀνωφελῆ σπουδὴν, ὀλιγώρως ἔχει τῶν θείων καὶ ὑπεροπτικῶς· ὃ πρὸς μόνους τοὺς μισουμένους καὶ ἐχθροὺς ἡμῶν πάσχομεν. Δύο τοιγαροῦν ὄντων τῶν περὶ ἃ σπεύδουσιν ἄνθρωποι, *θεοῦ*, καὶ, *κόσμου*, καὶ καθ' ἑκάτερον τούτων τῶν δύο στρεφομένων, *φιλίας* δηλαδὴ καὶ *μίσους*, περὶ ὁπότερον τούτων σπουδάζοντες καταληφθείημεν, πάντως τοῦ ἑτέρου ἀφειδοῦντες ὑρώμεθα. Ποιεῖ δὲ, ἡ μὲν σπουδὴ, φιλίαν, ἡ δὲ ὀλιγωρία, μῖσος. Ὃς οὖν τῶν θείων ἀντίσχηται, φίλος θεοῦ καὶ ἔστι καὶ λέγεται· ὅστις δὲ θεοῦ μὲν κατολιγωρεῖ, τῶν δὲ τοῦ κόσμου ἀπρὶξ ἐξεχόμενος φωρᾶται, οὗτος ἐν τοῖς μάλιστα ἐχθροῖς καταλογισθείη θεοῦ. Ἐπεὶ δὲ ταῦτα πάντα ἐξ ἀλαζονείας καὶ ὑπερηφανίας τῶν ψευδασόφων ἐδείχθη διδασκάλων φυόμενα, δευτέρῳ πάλιν ἐλέγχῳ κέχρηται, ἀνανῆψαι αὐτοὺς βουλόμενος τῆς μέθης τῶν τοιούτων, καὶ τοῦ κάρου ἀπαλλάξαι· καί φησιν·

5 Ἢ δοκεῖτε, ὅτι κενῶς ἡ γραφὴ λέγει· Πρὸς φθόνον
6 ἐπιποθεῖ τὸ πνεῦμα, ὃ κατῴκησεν ἐν ἡμῖν; Μείζονα δὲ δίδωσι χάριν· διὸ λέγει· « Ὁ θεὸς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν (α). »

Τοιοῦτό τι διὰ τούτων δηλοῖ, ἐλλειπτικῶς χρώμενος τῷ λόγῳ καὶ πάλιν διὰ τὴν τοῦ συντετμημένου λόγου χρῆσιν. Φησὶν οὖν· Ἐγὼ μὲν ὑμᾶς τοῖς οἰκείοις ἐπέσχησα λόγοις περὶ τὸ εὐθὺ καὶ ἀκατάγνωστον τῆς χρήσεως τῆς σοφίας ὑμῶν, ὡς ἂν μὴ, ἐξ ὑπερηφανίας παραχρώμενοι ταύτῃ, νοθεύητε καὶ δολοῖτε τὸν τῆς διδασκαλίας λόγον. Εἰ δὲ καὶ ἀπὸ τῆς Γραφῆς τοῦτο ζητεῖτε, ἀκούσατε· *Κύριος ὑπερηφάνοις ἀντιτάσσεται* (β). Ὥστε οὐκ ἀσκόπως ἔφην, τὴν ἐξ ὑπερηφανίας καταφρόνησιν μὲν τῶν το

(α) Παροιμ. Γ', 34. (β) Παροιμ. Γ', 34.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κυρίου δογμάτων, κατάσπευσιν δὲ πρὸς τὸν κόσμον, ἐχθραν ἐμποιεῖν εἰς θεόν. Εἰ γὰρ τοῖς ὑπερηφάνοις ἀντιτάσσεται, ἐχθροῖς δὲ εἰώθαμεν ἀντιτάσσεσθαι, πάντως που καὶ οἱ ὑπερήφανοι ἐν τοῖς ἐχθροῖς καταλογισθεῖεν. Οὐ γὰρ *κενῶς*, ἤτοι, ματαίως, ἡ *πρὸς φθόνον* ἡ Γραφὴ τὰ ἀμήχανα ἡμῖν καὶ ὑπερτείνοντα τὴν ἡμετέραν δύναμιν παραγγέλματα διαγορεύει, ἀλλ' *ἐπιποθοῦσα*, ἤτοι ἐπιζητοῦσα τὴν διὰ τῆς παρακλήσεως αὐτῆς ἐγκατοικιζομένην ἡμῖν χάριν· εὑρίσκουσα δὲ ταύτην ἐνεργὸν ἐν ἡμῖν διὰ τῆς ταπεινώσεως τῆς πνευματικῆς, *μείζονα δίδωσι χάριν*. Ὥστε, εἰ πειθήνιοι ἐστὲ τῇ Γραφῇ, ταπεινώθητε ἐνώπιον τοῦ θεοῦ, καὶ εὑρήσετε τὴν διὰ τῆς αὐτοῦ ὑψώσεως χάριν. *Ὑπερηφανία* δέ ἐστιν, ἡ εἰς τέλος ἐπημμένη κακία, διαφέρουσα τῆς *οἰήσεως*· ὅτι ἡ μὲν ἐπὶ ὑπηργμένοις αὐτῇ κατεπαίρεται· ἡ οἴησις δὲ, ἐπὶ μηδαμῶς ὑπάρχουσι. Κατὰ διάμετρον δὲ ἡ *ἀτυφία*, ἤτοι ταπείνωσις, ἀντικειμένη τῇ ὑπερηφανίᾳ, μέγα ἀγαθόν ἐστι. Καὶ ἐπειδὴ ἀμφότερα προαιρετικῶς ἡμῖν ἐγγίνεται, πᾶς ὁ κατὰ ἀλαζονείαν ὑψῶν ἑαυτὸν, πρὸς τῷ ὑπὸ Κυρίου κατακεκρίσθαι, ἔτι καὶ ταπεινοῦται ὑπ' αὐτοῦ, ὑψουμένου ἐν καιρῷ τοῦ κατὰ ἀτυφίαν ταπεινώσαντος ἑαυτὸν, ἅτε τῶν ἐπ' αὐτῇ ἄθλων ξεναγούντων τὸν κεχρημένον πρὸς ὕψος πνευματικόν. Ἢ, *Ἢ δοκεῖτε, ὅτι κενῶς ἡ Γραφὴ λέγει, ἡ πρὸς φθόνον*; Οὐδὲν τούτων· ἀλλ' *ἐπιποθεῖ*, ἤτοι ἐπιζητεῖ τὴν διὰ τῆς παρακλήσεως αὐτῆς ἐγκατοικισθεῖσαν ὑμῖν χάριν. Ἔστι δὲ ὅμοιον κατὰ ἀποσιώπησιν τῆς ἀναιρέσεως τῷ ἐπὶ τοῦ Ἰώβ· *Οἴει με ἄλλως σοι κεχρηματικέναι, ἢ ἵνα ἀναφανῇς δίκαιος* (α); Καὶ γὰρ ἐνταῦθα ἡ ἀναίρεσις, Οὐ, διὰ τοῦτο ἀπεσιωπήθη. *Ἐπιποθεῖ τὸ πνεῦμα.*] *Πνεῦμα*, τὴν ἀγαθὴν φησι προαίρεσιν, ὡς καὶ ὁ Δαυὶδ φησι· *Πνεύματι ἡγεμονικῷ*, τουτέστι, προαιρέσει δεσποτικῇ τῶν παθῶν· καὶ· *Πνεῦμα εὐθὲς* (β), προαίρεσιν εὐθεῖαν.

(α) Ἰὼβ Μ', 3. (β) Ψαλμ. Ν', 14.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

7 Ὑποτάγητε οὖν τῷ θεῷ· ἀντίστητε τῷ διαβόλῳ,
8 καὶ φεύξεται ἀφ' ὑμῶν. Ἐγγίσατε τῷ θεῷ, καὶ ἐγγιεῖ ὑμῖν. Καθαρίσατε χεῖρας, ἁμαρτωλοί, καὶ
9 ἁγνίσατε καρδίας, δίψυχοι. Ταλαιπωρήσατε καὶ πενθήσατε καὶ κλαύσατε. Ὁ γέλως ὑμῶν εἰς πένθος μεταστραφήτω, καὶ ἡ χαρὰ εἰς κατήφειαν.
10 Ταπεινώθητε ἐνώπιον τοῦ Κυρίου, καὶ ὑψώσει ὑμᾶς.
11 Μὴ καταλαλεῖτε ἀλλήλων, ἀδελφοί· ὁ καταλαλῶν ἀδελφοῦ, καὶ κρίνων τὸν ἀδελφὸν αὐτοῦ, καταλαλεῖ νόμου, καὶ κρίνει νόμον· εἰ δὲ νόμον κρίνεις,
12 οὐκ εἶ ποιητὴς νόμου, ἀλλὰ κριτής. Εἷς ἐστὶν ὁ νομοθέτης, ὁ δυνάμενος σῶσαι καὶ ἀπολέσαι· σὺ δὲ τίς εἶ, ὃς κρίνεις τὸν ἕτερον;

Αγνίσατε καρδίας, δίψυχοι.] *Διψύχους* (1) τοὺς μὴ καθ' ἕνα τρόπον ζῆν αἱρουμένους λέγει, ἀλλ' ἀγομένους καὶ περιφερομένους ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων. Οὐ γάρ εἰσι μονότροποι ἐν οἴκῳ ὑπὸ Κυρίου κατοικιζόμενοι (α). Ὅτι δὲ *ψυχὴ* καὶ ἡ ζωὴ λέγεται, ἱκανῶς τὸ ἐν Ἰὼβ ἡμᾶς διδάξει· *Δέρμα ὑπὲρ δέρματος, καὶ πάντα, ὅσα ἔχει ἄνθρωπος, δώσει ὑπὲρ τῆς ψυχῆς αὐτοῦ* (β). *Μὴ καταλαλεῖτε ἀλλήλων.*] Οἶδε τὴν ὑπερηφανίαν ἐξ ὑπεροψίας καὶ καταλαλιᾶς κατὰ τῶν ἐπιεικῶν κινεῖν τοὺς ταύτῃ χρωμένους ἐπειγομένην εἰς παντελῆ τούτων ἐξουδένωσιν. Τούτου οὖν ἀπάγων αὐτοὺς, διὰ τῶν προκειμένων σωφρονίζειν βούλεται λόγων. *Καταλαλεῖ νόμου, καὶ κρίνει νόμον.*] Ἀντὶ τοῦ, κατακρίνει, καταφρονεῖ· ὁ γὰρ κατακρίνων, ἀπὸ καταφρονήσεως τοῦτο ποιεῖ. Ποῖον δὲ νόμον; Πρῶτον μὲν τὸν διαγορεύοντα· *Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε* (γ). Ἔπειτα καὶ τὸν ἐν ψαλμοῖς· *Τὸν καταλαλοῦντα λάθρα τοῦ πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον* (δ). Καὶ ὅτι ἀπὸ καταφρονήσεως τοῦτο γίνεται, ἐπάγει· *Εἰ δὲ νόμον κρίνεις, οὐκ εἶ ποιητὴς νόμου.* Οὗ γάρ τις καταφρονεῖ, πῶς ἀνέξεται ὑπ'

(1) Ἰακ. Α, 8. (α) Ψαλμ. ΞΖ', 7. (β) Ἰὼβ Β', 4.
(γ) Ματθ. Ζ', 1. (δ) Ψαλμ. Ρ', 5.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτὸν ἔτι ζῆν; Μὴ οὖν, φησὶν, ἐξουδενῶν, καὶ ὥσπερ ἀντινομοθετῶν, διάκεισο· οὐ γὰρ ἐφεῖταί σοι· ἑνὸς μόνου νομοθέτου ὑπάρχοντος, θεοῦ, τοῦ δυναμένου τοὺς παραβάτας τοῦ νόμου αὐτοῦ σῶσαι καὶ ἀπολέσαι· τοῦτο γὰρ νόμου καὶ νομοθέτου, καὶ τοὺς παραβάτας αὐτοῦ ὑποδίκους τιμωρίας ποιῆσαι· ἀλλ' οὐχὶ σὺ, ὃς πρὸς οἷς οὐδὲν πλέον τοῦ φλυαρεῖν ἔχεις, ἔτι καὶ ἑαυτῷ περιπίπτεις, κατὰ σαυτοῦ τὴν ψῆφον ἄγων. Τὰ γὰρ αὐτὰ ποιῶν τῷ καταλαλουμένῳ ὑπὸ σοῦ, ἐν ὅσῳ τοῦτον κατακρίνεις, σεαυτὸν πρότερον πολὺ κατακρίνεις. *Σὺ δέ τίς εἶ, ὃς κρίνεις τὸν ἕτερον;*] Ἐξουδενωτικῶς, ἀντὶ τοῦ, Τοιοῦτος ὢν, πῶς τολμᾷς κρίνειν τὸν ὁμοιοπαθῆ;

ΚΕΦΑΛΑΙΟΝ Ϛ'.

Ὅτι οὐκ ἐν ἀνθρώπῳ, ἀλλ' ἐν θεῷ τὰ διαβήματα ἀνδρὸς κατευθύνεται· ἐν ᾧ, περὶ πλεονεξίας πλουσίων, καὶ τῆς ἐν κόσμῳ τρυφῆς αὐτῶν, καὶ περὶ δικαιοκρισίας τοῦ θεοῦ.

13 Ἄγε νῦν, οἱ λέγοντες· Σήμερον καὶ αὔριον πορευσώμεθα εἰς τήνδε τὴν πόλιν, καὶ ποιήσωμεν ἐκεῖ ἐνιαυτὸν ἕνα, καὶ ἐμπορευσώμεθα, καὶ κερδήσωμεν·
14 οἵτινες οὐκ ἐπίστασθε τὸ τῆς αὔριον· (ποία γὰρ ἡ ζωὴ ὑμῶν; ἀτμὶς γὰρ ἔσται (1), ἡ πρὸς ὀλίγον
15 φαινομένη, ἔπειτα δὲ ἀφανιζομένη·) ἀντὶ τοῦ λέγειν ὑμᾶς· Ἐὰν ὁ Κύριος θελήσῃ, καὶ ζήσωμεν,
16 καὶ ποιήσωμεν τοῦτο ἢ ἐκεῖνο· νῦν δὲ καυχᾶσθε ἐν ταῖς ἀλαζονείαις ὑμῶν. Πᾶσα καύχησις τοιαύ-

(1) Παρ' ἄλλοις, ἐστίν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

17 τη, πονηρά ἐστιν. Εἰδότι οὖν καλὸν ποιεῖν, καὶ μὴ ποιοῦντι, ἁμαρτία αὐτῷ ἐστιν.

Ἄγε νῦν, οἱ λέγοντες· Σήμερον.] Οὐ τὴν ἐξουσίαν ἀναιρεῖ, ἀλλὰ δείκνυσιν, ὅτι οὐ τὸ πᾶν αὐτοῦ ἐστὶν, ἀλλὰ δεῖται καὶ τῆς ἄνωθεν χάριτος. Ἔξεστι μὲν γὰρ καὶ ἀθλεῖν, καὶ τρέχειν, καὶ ἐμπορεύεσθαι, καὶ πάντα τὰ πρὸς τὸ ζῆν ἐνεργεῖν, ἀλλὰ μὴ τοῖς οἰκείοις πόνοις τοῦτο λογίζεσθαι, ἀλλὰ τῇ τοῦ θεοῦ φιλανθρωπίᾳ. Φησὶ γὰρ Ἱερεμίας· *Κύριε, οὐκ ἐν τῷ ἀνθρώπῳ ἡ ὁδὸς αὐτοῦ* (α)· καὶ ὁ Παροιμιαστής· *Μὴ καυχῶ τὰ εἰς αὔριον· οὐ γὰρ οἶδας, τί τέξεται ἡ ἐπιοῦσα* (β). *Ποία γὰρ ἡ ζωὴ ὑμῶν;*] Τὸ μάταιον καὶ οὐτιδανὸν τῆς ἡμετέρας ὑποφαίνων ζωῆς, καὶ καταισχύνων ἡμᾶς ὡς περὶ τοῦτο τὸ πᾶν ἡμῶν κατατρίβοντας τῆς ζωῆς, ταῦτά φησιν· Ὅτι ἐν προσκαίροις κακοῖς, καὶ ἅμα τῷ ὑποστῆναι ἀφανιζομένοις, ὁ κόπος ἡμῶν ἅπας ἐκτελεῖται. Τοῦτο καὶ Δαυὶδ διακωμῳδῶν φησί· *Μέντοί γε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος· πλὴν μάτην ταράσσεται* (γ)· τουτέστι, περὶ τὸ μὴ ὄν, ἀλλ' ὅσον ἐν φάσματι ὑποστῆναι· τοιοῦτο γὰρ ἡ εἰκών· ἢ περὶ τὸ μὴ αὐθυπόστατον, ἀλλ' ὅσον ἐν ἀφομοιώσει καὶ εἰκασμῷ τῆς ὄντως προβαινούσης ζωῆς. *Ἀτμὶς γὰρ ἔσται.*] Ἀτμίς ἐστι σύστασις ἀερώδης ἀπὸ ἐμπύρου θάλψεως, ἐξ ὑγρότητος ἀναθυμιωμένη, ἐλαχίστην τὴν ὑπόστασιν ἔχουσα· διὰ γὰρ τὴν ἄγαν λεπτότητα ταχέως τῷ περιέχοντι ἐναφανίζεται, χωροῦσα πρὸς τοῦτο καὶ διαλυομένη, καθάπερ πρὸς ὕδωρ μικρὰ νοτίς. Τοιούτῳ παρείκασε τὴν ἡμετέραν ζωήν· καὶ μάλα εὐστόχως. Μεσολαβήσας δὲ τῷ τοιούτῳ ὑποδείγματι τὸν λόγον, πάλιν ἐξ ὑποστροφῆς ἀποδίδωσι τὸ ἀκόλουθον αὐτῷ. Ἔστι γὰρ ὅλον τὸ χωρίον οὕτως· *Ἄγε νῦν, οἱ λέγοντες· Σήμερον καὶ αὔριον πορευσώμεθα εἰς τήνδε τὴν πόλιν, καὶ ποιήσωμεν ἐκεῖ ἐνιαυτὸν ἕνα, καὶ ἐμπορευσώμεθα, καὶ κερδήσωμεν, ἀντὶ*

(α) Ἱερ. Ἰ, 23. (β) Παροιμ. ΚΖ', 1. (γ) Ψαλμ. ΛΧΙ. 7.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ λέγειν ὑμᾶς· Ἐὰν ὁ Κύριος θελήσῃ, καὶ ζήσωμεν, καὶ ποιήσωμεν τοῦτο ἢ ἐκεῖνο. Νῦν δὲ καυχᾶσθε ἐν ταῖς ἀλαζονείαις ὑμῶν. Οὕτως ὄντος τοῦ ἀκολούθου, οὐ τοῦτο ποιεῖ, ἀλλὰ διακόψας τῷ παραδείγματι τὴν συνέχειαν τοῦ λόγου, μετὰ ταῦτα ἐπήνεγκε τὸ ἐλλεῖπον, φθάσας διὰ τῆς τοῦ πράγματος εἰκόνος τὸ μάταιον ὑποδεῖξαι τοῦ ἐξ ἀλαζονείας περὶ τόνδε τὸν κόσμον ἡμῶν περισπασμοῦ. Ἔστι γὰρ οὕτω· Καυχᾶσθε ἐν ταῖς ἀλαζονείαις ὑμῶν. Τίνες; Οἵτινες οὐκ ἐπίστασθε τὸ τῆς αὔριον· ποία γὰρ ἡ ζωὴ ὑμῶν; καὶ ἑξῆς. Διὰ δὲ τοῦ, Ποία ἡ ζωὴ ὑμῶν, ἐξουδενώσας τὴν ζωὴν, καὶ προοδοποιήσας διὰ τούτου τῷ εἰς εὐτέλειαν παραδείγματι, οὕτως ἐπάγει καὶ τὸ ὑπόδειγμα, καιριώτατον τοῦτο ποιῶν. Νῦν δὲ καυχᾶσθε ἐν ταῖς ἀλαζονείαις ὑμῶν.] Ἀλαζονεία, μὴ ὑφεστώτων πραγμάτων ἐστὶ σπουδή· διὸ καὶ ἀλαζὼν λέγεται, ὁ μετ' ἄλης, ἤτοι πλάνης, ζῶν· τουτέστι, μετὰ ἀστάτου καὶ μὴ ἔχοντος ὑπόστασιν πράγματος. Πᾶσα καύχησις τοιαύτη, πονηρά ἐστιν.] Ἐπαναλαμβάνει τὴν διάκενον καύχησιν, ἥτις ἐξ ὑπερηφανίας φιλεῖ τίκτεσθαι· καὶ οἱονεὶ συμπεραίνων τὸν ἑαυτοῦ λόγον, ἐπιφέρει, ὅτι πονηρά ἐστιν· εἰ δὲ πονηρὰ, πάντως ὅτι καὶ ἀπὸ τοῦ πονηροῦ ἐστι. Οὐ δεῖ δὲ τοὺς τῷ Κυρίῳ διὰ τοῦ ἁγίου βαπτίσματος ἀνατεθέντας, τοῦ πονηροῦ παραδέχεσθαι ἐπισποράς. Ἐπιφέρει δὲ καὶ τὸ, Εἰδότι οὖν καλὸν ποιεῖν, καὶ μὴ ποιοῦντι, ἁμαρτία αὐτῷ ἐστι· καὶ τοὺς ψευδοδιδασκάλους παιδεύει πάλιν, μὴ ταῦτα παιδεύειν τολμᾷν, ἃ μὴ πρότερον κατώρθωσαν. Μακάριος γάρ, φησιν, οὐχ ὃς διδάξει, ἀλλ' ὃς ἂν ποιήσῃ καὶ διδάξῃ (α)· προηγεῖσθαι γὰρ δεῖ τὰ ἔργα τοῦ λόγου· καθότι καὶ ἐπιδεικνυομένην πίστιν ἀπαγγέλλει δίκαιος (β). Ὁ γὰρ λύων, φησὶν ὁ Κύριος, μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων, καὶ διδάσκων οὕτω τοὺς ἀνθρώπους, τουτέστι, διακένως, ἐφ' οἷς αὐτὸς

(α) Ματθ. Ε', 19. (β) Παροιμ. ΙΒ', 17.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐκ ἐκοπίασεν, *ἐλάχιστος κληθήσεται*· μέγας δὲ, ὃς μετὰ τοῦ πρᾶξαι, διδάσκει· ἐπεὶ καὶ αὐτὸς ὁ θεάνθρωπος, ὧν ἤρξατο ποιεῖν, τούτων καὶ διδασκαλίαν ἐποιεῖτο (α). Τοιοῦτό μοι δοκεῖ καὶ τὸ, *Ὁ καυχώμενος ἐν κυρίῳ καυχάσθω* (β), ἀντὶ τοῦ, Κατὰ Κύριον, ἐκείνῳ χρώμενος διδασκάλῳ καὶ ὑποδείγματι πολὺ πρότερον, καὶ οὕτω ποιῶν, καὶ οὕτω διδάσκων. Ἐπεὶ καὶ ὅταν φησὶν ὁ Δαυΐδ· *Ἐν τῷ Κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου* (γ), οὐκ ἄλλο φησὶν, ἢ ὅτι κατὰ τὰς ἐντολὰς πορευόμενος τοῦ Κυρίου ἐπαινεθείην.

ΚΕΦ. V, 1. Ἄγε νῦν, οἱ πλούσιοι, κλαύσατε ὀλολύζοντες ἐπὶ ταῖς ταλαιπωρίαις ὑμῶν ταῖς ἐπερχομέ-
2 ναις. Ὁ πλοῦτος ὑμῶν σέσηπε, καὶ τὰ ἱμάτια ὑμῶν
3 σητόβρωτα γέγονεν· ὁ χρυσὸς ὑμῶν καὶ ὁ ἄργυρος κατίωται, καὶ ὁ ἰὸς αὐτῶν εἰς μαρτύριον ὑμῖν ἔσται, καὶ φάγεται τὰς σάρκας ὑμῶν ὡς πῦρ (1)· ἐθησαυ-
4 ρίσατε ἐν ἐσχάταις ἡμέραις. Ἰδοὺ, ὁ μισθὸς τῶν ἐργατῶν, τῶν ἀμησάντων τὰς χώρας ὑμῶν, ὁ ἀπεστερημένος ἀφ' ὑμῶν, κράζει· καὶ αἱ βοαὶ τῶν θερισάντων εἰς τὰ ὦτα κυρίου Σαβαὼθ εἰσεληλύθασιν.
5 Ἐτρυφήσατε ἐπὶ τῆς γῆς, καὶ ἐσπαταλήσατε· ἐθρέψατε τὰς καρδίας ὑμῶν ὡς ἐν ἡμέρᾳ σφαγῆς.
6 Κατεδικάσατε, ἐφονεύσατε τὸν δίκαιον· οὐκ ἀντιτάσσεται ὑμῖν.

Ἄγε νῦν, οἱ πλούσιοι, κλαύσατε.] Τὸ φειδωλὸν καὶ γλίσχρον τῶν πλουσίων, θρῆνον αὐτῶν ποιεῖται, *ὀλολύζειν* αὐτοὺς παρακελευόμενος, τουτέστι, θρηνεῖν, ὡς εἰς ἀνύπαρκτον καὶ φθορὰν ταμιευομένους τὸν πλοῦτον αὐτῶν, καὶ μὴ τοῖς δεομένοις δαπανῶντας αὐτόν· μόνη γὰρ ἡ πρὸς τούτους τοῦ πλούτου δαπάνη οὐκ ἀπόλλυται, ἀλλ' ἀκέραιος τῷ δαπανῶντι φυλάττεται. Διὰ τοῦτο καὶ ὁ Ἐκκλησιαστὴς φησι· *Ἀπόστει-*

(α) Πραξ. Α', 1. (β) Β' Κορ. Ι, 18. (γ) Ψαλμ. ΜΓ', 3.

(1) Παρ' ἄλλοις τὸ, ὡς πῦρ, συνάπτεται τῷ ἑπομένῳ οὕτως· ὡς πῦρ ἐθησαυρίσατε· καὶ οὕτως ἐρμηνεύεται.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λον τὸν ἄρτον σου ἐπὶ πρόσωπον ὕδατος (α)· τουτέστιν, ἐπὶ δοκούσῃ μὲν διαλύσει καὶ φθορᾷ· (τοῦτο γὰρ τῷ καθ' ὕδατος ριπτουμένῳ ἄρτῳ πέφυκεν ἑπακολουθεῖν·) οὐ μέντοι καὶ ἀπολλυμένῳ, ἀλλὰ τῇ διαλύσει ἀναψυχὴν ἡμῖν προξενοῦντι, ὁπηνίκα μέλλοιμεν, τὴν γλῶσσαν ἐν τῇ φλογὶ ἀποπηγανιζόμενοι, ῥανίδος ὕδατος προσδεῖσθαι. *Ὁ πλοῦτος ὑμῶν.*] Προσυπακουστέον τὸ, ὅτι, ἵν' ᾖ οὕτως· *Ὁ πλοῦτος ὑμῶν, ὅτι ὡς πῦρ ἐθησαυρίσατε, καταφάγεται τὰς σάρκας ὑμῶν. Ὁ πλοῦτος ὑμῶν σέσηπε, καὶ τὰ ἱμάτια ὑμῶν σητόβρωτα γέγονεν.*] Ἡ σῆψις, φησὶ, τοῦ πλούτου, καὶ τὸ θριπήδεστον, ἤτοι σιτόβρωτον, τῶν ἱματίων, καὶ ὁ ἰὸς τοῦ χρυσοῦ καὶ τοῦ ἀργύρου καταμαρτυροῦσιν ὑμῶν, ἐλέγχοντα τὸ ἀμεταδοτον ὑμῶν. Διὸ καὶ *ἐν ἐσχάταις ἡμέραις·* (λέγει δὲ τὴν τοῦ Κυρίου παρουσίαν·) εὑρήσετε τὸν πλοῦτον ὑμῶν ὡς πῦρ ταμιευθέντα ὑμῖν εἰς ὄλεθρον· ὅπερ καὶ ὁ ἐν εὐαγγελίῳ πλούσιος πέπονθεν (β). *Ἐτρυφήσατε,* καὶ ἐξῆς.] Καταδρομὴ τῶν Ἰουδαϊκῶν ἀρχόντων, καταβοσκομένων τοὺς πένητας, καὶ πιαινομένων ταῖς παρὰ πάντων τιμαῖς· ἀλλ' εἰς σφαγὴν ταῖς Ῥωμαϊκαῖς χερσὶν εὐτρεπιζομένων· καὶ μάλιστα ὅτι τὸν μόνον δίκαιον κατεδίκασαν Κύριον, καὶ ἐφόνευσαν, οὐκ ἐρίζοντα οὐδὲ κραυγάζοντα (γ). Ἀναντιῤῥήτως τὸ, *ἐφονεύσατε τὸν δίκαιον,* ἐπὶ τὸν Χριστὸν ἀναφέρεται· τῇ μέντοι ἐπιφορᾷ τῇ, *οὐκ ἀντιτάσσεται ὑμῖν,* ἐκοίνωσε τὸν λόγον καὶ πρὸς τοὺς ἄλλους, τοὺς τὰ ὅμοια παρὰ τῶν Ἰουδαίων παθόντας. Ἴσως δὲ προφητικῶς καὶ τὸ περὶ ἑαυτὸν ὑπεμφαίνει πάθος.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ μακροθυμίας καὶ ὑπομονῆς παθημά-

(α) Ἐκκλησ. Κεφ. ΙΑ', 1.
(β) Λουκ. ΙΒ', 16—21. (γ) Ματθ. ΙΒ', 19.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

των, καὶ περὶ ἀληθείας· ἐν ᾧ, παραινέσεις ἰδικαὶ ἑκάστῳ προσήκουσαι μετὰ πίστεως· καὶ ὅτι διακονητέον τῇ τοῦ πλησίον σωτηρίᾳ.

7 Μακροθυμήσατε οὖν, ἀδελφοί, ἕως τῆς παρουσίας τοῦ Κυρίου. Ἰδοὺ, ὁ γεωργὸς ἐκδέχεται τὸν τίμιον καρπὸν τῆς γῆς, μακροθυμῶν ἐπ' αὐτῷ, ἕως
8 ἂν λάβῃ ὑετὸν πρώϊμον καὶ ὄψιμον. Μακροθυμήσατε καὶ ὑμεῖς, στηρίξατε τὰς καρδίας ὑμῶν, ὅτι ἡ
9 παρουσία τοῦ Κυρίου ἤγγικε. Μὴ στενάζετε κατ' ἀλλήλων, ἀδελφοὶ, ἵνα μὴ κριθῆτε. Ἰδοὺ, ὁ κριτὴς
10 πρὸ τῶν θυρῶν ἕστηκεν. Ὑπόδειγμα λάβετε, ἀδελφοί μου, τῆς κακοπαθείας καὶ τῆς μακροθυμίας, τοὺς προφήτας, οἳ ἐλάλησαν τῷ ὀνόματι Κυρίου.
11 Ἰδοὺ, μακαρίζομεν τοὺς ὑπομένοντας· τὴν ὑπομονὴν Ἰὼβ ἠκούσατε, καὶ τὸ τέλος Κυρίου εἴδετε, ὅτι πολύσπλαγχνός ἐστιν ὁ Κύριος καὶ οἰκτίρμων.

Διαβαλὼν τὴν τῶν Ἰουδαϊκῶν ἀρχόντων σπατάλην, καὶ τὸ πρὸς τοὺς πένητας αὐτῶν σκληρὸν καὶ ἀπάνθρωπον, μεταβαίνει καὶ ἐπὶ τοὺς πιστοὺς, καί φησι· Μὴ ταῦτα ὁρῶντες, ἀδελφοὶ, σκανδαλίζεσθε, μηδὲ ἀθυμεῖτε, ὡς ἢ μὴ ἐκδικήσεως ἀποκειμένης, ἢ ἀποκειμένης μὲν, βραδυνούσης δέ· ἔστι γὰρ ἐκδίκησις καὶ κατὰ πόδας. Λέγει δὲ τὴν Ῥωμαϊκὴν ἔφοδον, καὶ τὴν ὑπὸ τούτων αἰχμαλωσίαν τῶν Ἰουδαίων, ἣν καὶ *παρουσίαν* καλεῖ *τοῦ Κυρίου*· ὡς ὁ Ἰωάννης, ὁ ἐπὶ τὸ στῆθος ἀναπεσὼν τοῦ Κυρίου, δι' ὧν φησὶ περὶ τῆς αὐτοῦ ἀποβιώσεως, τὸν αὐτὸν εἰσάγων Κύριον λέγοντα· *Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι* (α). Καὶ γὰρ παρετάθη καὶ τούτῳ ὁ τῆς ζωῆς ταύτης χρόνος, ἕως τῆς ἁλώσεως Ἱερουσαλὴμ, καὶ μικρὸν ἐπέκεινα. Καὶ ὅτι ἡ τοῦ Κυρίου παρουσία καὶ ἐνταῦθα καὶ

(α) Ἰωαν. ΚΑ', 22.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπὶ τοῦ Ἰωάννου ἡ τῆς Ἱερουσαλὴμ πανωλεθρία ἐστὶ, δῆλον καὶ ἀπὸ τοῦ προφήτου λέγοντος· *Ἰδοὺ, Κύριος ἔρχεται, καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ* (α); ὡς τῆς τοῦ Κυρίου παρουσίας τιμωρίαν φερούσης κατὰ τῶν ἀσεβῶν. Ἀλλὰ καὶ ὁ Χρυσόστομος Ἰωάννης ἔν τινι τῶν ἐξηγητικῶν αὐτοῦ, τοῦτο αὐτὸ τὸ, *ἕως ἔρχομαι*, ἀναπτύσσων, τοῦτο δηλοῦν βούλεται τὸ ῥητὸν, τὴν πανωλεθρίαν τῆς Ἱερουσαλήμ· καὶ πιστοῦται τοῦτο ἀπὸ τῆς εὐχῆς τῶν τριῶν παίδων, φασκόντων· *Οὕτω γενέσθω ἡ θυσία ἡμῶν ἐνώπιόν σου σήμερον, καὶ ἐκτελέσαι ὄπισθέν σου* (β). Φησὶ γάρ· Τί τὸ, *ὄπισθέν σου*; Μετὰ τὸ παρελθεῖν τὸν θυμόν σου. Καὶ πότε παρεγένετο; Ὅτε Ναβουχοδονόσορ ἐδήου τὰ Ἱεροσόλυμα. Καὶ περὶ μὲν τῆς παρουσίας ταῦτα. Φασὶ δέ τινες τῶν Πατέρων καὶ τοῦτο, ὡς *μακροθυμίαν* μὲν ἐνταῦθα, τὴν πρὸς ἀλλήλους φησίν· *ὑπομονὴν* δὲ, τὴν πρὸς τοὺς ἔξω. Μακροθυμεῖ γάρ τις πρὸς ἐκείνους, οὓς δυνατὸν καὶ ἀμύνασθαι· ὑπομένει δὲ, οὓς οὐ δύναται ἀμύνασθαι. Διὰ τοῦτο ἐπὶ μὲν θεοῦ οὐδέποτε *ὑπομονὴ* λέγεται, ἀλλὰ *μακροθυμία*· ἐπ' ἀνθρώπων δὲ, ὑπομονή. *Ἕως ἂν λάβῃ ὑετὸν πρώϊμον καὶ ὄψιμον.*] *Πρώϊμος ὑετὸς*, ἡ ἐν νεότητι μετὰ δακρύων μετάνοια· *ὄψιμος*, ἡ ἐν τῷ γήρᾳ. Πάντα δὲ τῆς τοῦ θεοῦ ἥρτηται φιλανθρωπίας· διὸ λέγει· *Ἕως ἂν λάβῃ.*

12 Πρὸ πάντων δὲ, ἀδελφοί μου, μὴ ὀμνύετε μήτε τὸν οὐρανὸν, μήτε τὴν γῆν, μήτε ἄλλον τινὰ ὅρκον· ἤτω δὲ ὑμῶν τὸ ναὶ, ναὶ, καὶ τὸ οὔ, οὔ· ἵνα μὴ εἰς ὑπόκρισιν πέσητε.

Πρὸ πάντων δὲ, μὴ ὀμνύετε.] Ἔστω, φησὶν, ἡ τοῦ βίου ὑμῶν μαρτυρία, βεβαιωτέρα ὅρκου. Εἰδέ τις ἀναιδὴς, μὴ δυσωπούμενος ὑμῶν τῷ βίῳ, τολμᾷ ὑμῖν ἐπαγαγεῖν ὅρκον, ἔστω ὑμῖν τὸ ναὶ, ναὶ, καὶ τὸ οὔ, οὔ, ἀντὶ ὅρκου. Ἀλλ' ἐρεῖ τις· Εἰ διάζεταί τις ὀμνῦναι, τί ποιητέον; Ἐροῦμεν, ὅτι ὁ φόβος

(α) Μαλαχ. Γ', 2. (β) Δαν. Γ', 40.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ θεοῦ ἰσχυρότερος ἔσται τῆς τοῦ διαζομένου ἀνάγκης. Ἐπαπορήσειε δ' ἄν τις· Πῶς, τοῦ παλαιοῦ νόμου τὸν κατὰ τοῦ ὀνόματος τοῦ Κυρίου ὀμνύοντα ἐπαίνου ἀξιοῦντος, ἡ χάρις μὴ τοῦτο ποιεῖν διαστέλλεται; Ἐροῦμεν οὖν, ὡς ὁ παλαιὸς νόμος, ἀπάγων Ἰουδαίους, μὴ κατὰ τῶν εἰδώλων ὀμνύειν, προσέταττε, κατὰ θεοῦ ὀμνύειν· ὥσπερ καὶ θύειν ἐκέλευε τῷ θεῷ, ἀποσπῶν αὐτοὺς τῆς πρὸς τοὺς δαίμονας θυσίας· ὅτε δὲ ἱκανῶς αὐτοὺς θεοσεβεῖν ἐδιδάξατο, τότε καὶ τὰς θυσίας ὡς ἀνωφελεῖς ἀπώσατο· θυσίαν οὐ τὴν διὰ τῶν ζώων, ἀλλὰ τὴν συντετριμμένην ψυχὴν ἐπιζητῶν εἰς θυσίαν. Τίς δὲ αὕτη; Ἡ διὰ ταπεινώσεως τῷ τῆς ἀγάπης ὁλοκαυτουμένη πυρί· οἷα καὶ ἡ Παύλου· ὃς διὰ τὸ τινὰς σκανδαλίζεσθαι τῶν πιστῶν, ὑπερβαλλόντως ἦν πυρούμενος (α). *Ἤτω δὲ ὑμῶν τὸ ναί, ναί.*] Ἀντὶ τοῦ, Ἡ κατάθεσις ὑμῶν βεβαία καὶ ἐπὶ βεβαίου, καὶ ἡ ἀπαγόρευσις ἐπὶ μὴ οἷυις γενέσθαι. *Ἵνα μὴ εἰς ὑπόκρισιν πέσητε.*] Ὑπόκρισιν, τὴν κατάκρισιν λέγει, ἥτις ἐπακολουθεῖ τοῖς ἀφειδῶς ὀμνύουσι, καὶ διὰ τῆς συνηθείας τῶν ὅρκων ἐπὶ τὸ ἐπιορκεῖν ἐκφερομένοις. Ἢ καὶ αὐτὸ τὸ ὑποκρίνεσθαι σημαίνει ἐνταῦθα τὸ ὄνομα, ὃ ἄλλο ὄν, ἕτερον φαίνεται. Πῶς οὖν εἰς ὑπόκρισιν ὁ ὀμνύων πίπτει; Πιστευόμενος μὲν διὰ τῶν ὅρκων ἀληθὴς εἶναι, παραβάσεως δὲ ἐπακολουθούσης, ψεύστης ἀντὶ τοῦ ἀληθοῦς ἀποφαινόμενος· ἢ καὶ τὸ, ναί, μὴ ἐπὶ βεβαίου προφέρων, μηδὲ τὸ, οὔ, ἐπὶ τοῦ μὴ οἵου πεπράχθαι. Κωλύει δὲ τὸ κατὰ θεοῦ ὀμνύειν διὰ τὴν ἐπιορκίαν· κατὰ δὲ τοῦ οὐρανοῦ καὶ τῶν ἄλλων, διὰ τὸ μὴ καὶ ταῦτα εἰς θεοῦ τιμὴν ἀνάγειν· πάντες γὰρ οἱ ὀμνύοντες κατὰ τοῦ μείζονος ὀμνύουσι.

13 Κακοπαθεῖ τις ἐν ὑμῖν; Προσευχέσθω. Εὐθυμεῖ τις;
14 Ψαλλέτω. Ἀσθενεῖ τις ἐν ὑμῖν; Προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας, καὶ προσευξάσθωσαν ἐπ' αὐτὸν, ἀλείψαντες αὐτὸν ἐλαίῳ ἐν τῷ

(α) Β' Κορ. ΙΑ', 29.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

15 ὀνόματι τοῦ Κυρίου· καὶ ἡ εὐχὴ τῆς πίστεως σώ-
σει τὸν κάμνοντα, καὶ ἐγερεῖ αὐτὸν ὁ Κύριος· κἂν
16 ἁμαρτίας ᾖ πεποιηκὼς, ἀφεθήσεται αὐτῷ. Ἐξομο-
λογεῖσθε ἀλλήλοις τὰ παραπτώματα, καὶ εὔχεσθε
ὑπὲρ ἀλλήλων, ὅπως ἰαθῆτε. Πολὺ ἰσχύει δέησις
17 δικαίου ἐνεργουμένη. Ἠλίας ἄνθρωπος ἦν ὁμοιο-
παθὴς ἡμῖν, καὶ προσευχῇ προσηύξατο τοῦ μὴ βρέ-
ξαι· καὶ οὐκ ἔβρεξεν ἐπὶ τῆς γῆς ἐνιαυτοὺς τρεῖς
18 καὶ μῆνας ἕξ· καὶ πάλιν προσηύξατο, καὶ ὁ οὐρανὸς
ὑετὸν ἔδωκε, καὶ ἡ γῆ ἐβλάστησε τὸν καρπὸν αὐτῆς.

Κακοπαθεῖ τις ἐν ὑμῖν; *Προσευχέσθω.*] Τῇ κακοπαθείᾳ ἡ προσευχὴ παρομαρτείτω, ἵνα κουφοτέρα τῷ πειραζομένῳ αὐτῷ ἡ διέξοδος τῶν πειρασμῶν γένηται. Εἶτα, ἐπειδὰν διὰ τῆς προσευχῆς κατευνασθῇ τὰ διοχλοῦντα ἡμῖν, καὶ πρὸς τὴν οἰκείαν κατάστασιν καὶ ἀταραξίαν ἀφίκηται ἡ ψυχὴ, τηνικαῦτα *ψαλλέτω*, ἵνα τὰ χρηστὰ αὐτῷ πολυπλασιασθῇ, καὶ ἐντρυφήσῃ τῷ πνευματικῷ ἀγαλλιάματι· τὸ γὰρ ἱλαρὸν καὶ ἄλυπον κατάστημα τῆς ψυχῆς, κατὰ τὸν ἡμέτερον καὶ μέγαν Βασίλειον, αἱ τῶν ὕμνων παρηγορίαι χαρίζονται. Ὁ γάρτοι μὴ οὕτω προβὰς, μηδὲ τὸ τοιοῦτο κατάστημα φθάσας, ὃ καὶ Δαυὶδ *ὁσιότητα* καλεῖ· (*Ψάλατε* γάρ, φησι, *τῷ Κυρίῳ* οἱ *ὅσιοι αὐτοῦ* (α)·) λῆρον μακρὸν ἐξανύει τηνάλλως, καὶ κενὴν ψάλλων, ὡς οἱ παροιμιαζόμενοί φασιν. *Ἀλείψαντες αὐτὸν ἐλαίῳ.*] Τοῦτο καὶ τοῦ Κυρίου, ἔτι τοῖς ἀνθρώποις συναναστρεφομένου, οἱ ἀπόστολοι ἐποίουν, ἀλείφοντες τοὺς ἀσθενοῦντας ἐλαίῳ καὶ ἰώμενοι (β). *Δέησις ἐνεργουμένη.*] Ἐνεργεῖται ἡ τοῦ δικαίου εὐχὴ, ὅταν καὶ ὁ ὑπὲρ οὗ εὔχεται συμπράττῃ διὰ κακώσεως πνευματικῆς τῷ εὐχομένῳ. Ἂν γὰρ, ἑτέρων ὑπὲρ ἡμῶν εὐχομένων, σπατάλαις ἡμεῖς σχολάζωμεν καὶ ἀνέσεσι, καὶ ἐκδεδιητημένῳ βίῳ, ἐκλύομεν διὰ τούτου τὸ σύντονον τῆς εὐχῆς τοῦ ὑπὲρ ἡμῶν ἀγωνιζομένου· καὶ γίνεται ἐφ' ἡμῖν τὸ τοῦ σο-

(α) Ψαλμ. ΚΘ', 5. (β) Μαρκ. ς', 13.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φοῦ Σιράχ· *Εἷς οἰκοδομῶν, καὶ εἷς καθαιρῶν, οὐδὲν ὠφέλησεν ἢ κόπους* (α).

19 Ἀδελφοὶ, ἐάν τις ἐν ὑμῖν πλανηθῇ ἀπὸ τῆς ἀλη-
20 θείας, καὶ ἐπιστρέψῃ τις αὐτὸν, γινωσκέτω, ὅτι ὁ ἐπιστρέψας ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ, σώσει ψυχὴν ἐκ θανάτου, καὶ καλύψει πλῆθος ἁμαρτιῶν.

Καὶ *ἐπιστρέψῃ τις αὐτὸν, γινωσκέτω.*] Ὅτι διακονητέον τῇ τοῦ πλησίον σωτηρίᾳ. *Ὅτι ὁ ἐπιστρέψας ἁμαρτωλόν.*] Τοῦτο καὶ Ἱερεμίας φησί· *Καὶ ἐὰν ἐξαγάγῃς τίμιον ἀπὸ ἀναξίου, ὡς στόμα μου ἔσῃ* (β). Στόμα γὰρ γίνεται θεοῦ πᾶς ὁ τοὺς λόγους αὐτοῦ ἀπαγγέλλων. *Οὐ γὰρ ὑμεῖς ἐστέ,* φησιν, οἱ *λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τοῦ πατρός μου, τὸ λαλοῦν ἐν ὑμῖν* (γ). Διὸ καὶ τὸν ἁμαρτωλὸν ἀποκωλύει διὰ τοῦ Δαυΐδ, ἐκδιηγεῖσθαι τὰ δικαιώματα αὐτοῦ, καὶ τὴν διαθήκην ἀναλαμβάνειν διὰ στόματος αὐτοῦ (δ).

(α) Σιρ. ΛΑ′, 23. (β) Ἱερ. ΙΕ, 19.
(γ) Ματθ. Ι, 20. (δ) Ψαλμ. ΜΘ′, 16,

ΤΕΛΟΣ,

ΣΥΝ ΘΕΩ, ΤΗΣ ΙΑΚΩΒΟΥ ΚΑΘΟΛΙΚΗΣ ΕΠΙΣΤΟΛΗΣ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Η
ΠΡΩΤΗ
ΠΕΤΡΟΥ ΚΑΘΟΛΙΚΗ
ΕΠΙΣΤΟΛΗ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ

ΠΕΤΡΟΥ ΚΑΘΟΛΙΚΗΣ

ΠΡΩΤΗΣ ΕΠΙΣΤΟΛΗΣ.

Ταύτην ὁ Πέτρος αὐτὸς τοῖς ἐν τῇ διασπορᾷ οὖσιν Ἰουδαίοις καὶ γενομένοις χριστιανοῖς γράφει τὴν ἐπιστολὴν διδασκαλικήν. Ἐπειδὴ γὰρ ἀπὸ Ἰουδαίων ἐπίστευσαν, ἐπιστηρίζει αὐτούς. Καὶ πρῶτον μὲν ἐξηγεῖται, καὶ ἀποδείκνυσιν, ὅτι ἡ εἰς Χριστὸν πίστις ἀπὸ τῶν προφητῶν κατηγγέλη, καὶ δι' αὐτῶν ἐμηνύθη ἡ διὰ τοῦ αἵματος αὐτοῦ ἀπολύτρωσις· καὶ ὅτι αὐτοῖς καὶ τοῖς ἔθνεσιν εὐηγγελίσθη τὰ πάντα, εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι. Εἶτα, συμβουλεύσας, ἀξίως τοῦ καλέσαντος ἀναστρέφεσθαι, προτρέπει καὶ βασιλέας τιμᾶν· γυναιξί τε καὶ ἀνδράσιν ὁμοφροσύνην παραγγέλλει. Καὶ εἰς τὰ ἤθη παραινέσας ὀλίγα, σημαίνει, ὅτι καὶ εἰς τὸν ᾅδην τοῦτο γέγονε παρὰ τοῦ Κυρίου τὸ κήρυγμα τῆς σωτηρίας καὶ ἀναστάσεως· ἵνα οἱ προαποθανόντες ἀναστῶσι μὲν καὶ κριθῶσιν ἐν τῷ σώματι, τῇ δὲ χάριτι τῆς ἀναστάσεως διαμείνωσι· καὶ ὅτι τὸ τέλος πάντων λοιπὸν ἤγγισε, καὶ ὀφείλουσι πάντες ἕτοιμοι γίνεσθαι, ὡς λόγον ἀποδώσοντες τῷ κριτῇ. Καὶ οὕτω τελειοῖ τὴν ἐπιστολήν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΕΤΡΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η

ΚΑΘΟΛΙΚΗ ΠΡΩΤΗ

ΕΠΙΣΤΟΛΗ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τῆς ἐν Χριστῷ ἀναγεννήσεως, καὶ περὶ ὑπομονῆς πειρασμῶν, καὶ περὶ σωτηριώδους πίστεως προκατηγγελμένης ὑπὸ τῶν προφητῶν.

ΚΕΦ. Ι, 1 ΠΕΤΡΟΣ, ἀπόστολος Ἰησοῦ Χριστοῦ, ἐκλεκτοῖς παρεπιδήμοις διασπορᾶς Πόντου, Γαλα-
2 τίας, Καππαδοκίας, Ἀσίας καὶ Βιθυνίας, κατὰ πρόγνωσιν θεοῦ πατρὸς, ἐν ἁγιασμῷ πνεύματος, εἰς ὑπακοὴν καὶ ῥαντισμὸν αἵματος Ἰησοῦ Χριστοῦ· χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη.

Πέτρος, ἀπόστολος, καὶ ἑξῆς.] Μεθ' ὑπερβατοῦ ἀκουστέον τὴν προκειμένην παραγραφὴν, οὕτως ἔχουσαν· *Πέτρος, ἀπόστολος Ἰησοῦ Χριστοῦ κατὰ πρόγνωσιν θεοῦ πατρὸς, ἐν ἁγιασμῷ πνεύματος, εἰς ὑπακοὴν καὶ ῥαντισμὸν αἵματος Ἰησοῦ Χριστοῦ*· τὰ δὲ λοιπὰ μεταξὺ τούτων κείσθω· δηλοῖ γὰρ τοὺς πρὸς οὓς ἡ ἐπιστολή. *Πέτρος, ἀπόστολος Ἰησοῦ Χριστοῦ.*] Τοῖς ἐκ περιτομῆς οὗτος ἐπιστέλλει, ὡς ὁ μακάριος Ἰάκωβος· ἀλλ' ἐκεῖνος μὲν ἀορίστως πᾶσι τοῖς ὑπὸ τὴν οἰκουμένην κατοικοῦσιν Ἰουδαίοις, ὁπουδήποτε οὖσιν· οὗτος δὲ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀφωρισμένως τοῖς κλίμασι Πόντου, Γαλατίας. Προστίθησι δὲ τὸ, *Πόντου*, τῇ Γαλατίᾳ· ἔστι γὰρ καὶ ἄλλη κατὰ Κελτοὺς Γαλατία, ἥτις καὶ ὄντως Γαλατία, ἀφ' ἧς καὶ οὗτοι μετῳκίσθησαν ἐνταῦθα. Τούτοις οὖν, καὶ τοῖς λοιποῖς ἔθνεσι, τοῖς ἐγκειμένοις τῇ προγραφῇ, ποιεῖται τὸν λόγον, ἐγκυκλίῳ ταύτῃ χρώμενος ἐπιστολῇ. *Ἐκλεκτοῖς παρεπιδήμοις.*] Τὸ, *παρεπιδήμοις*, ἤτοι διὰ τὴν διασποράν εἶπεν, ἢ καὶ ὅτι πάντες οἱ κατὰ θεὸν ζῶντες παρεπίδημοι λέγονται τῆς γῆς, ὡς καὶ ὁ Δαυὶδ φησιν· Ὅτι *πάροικος ἐγὼ παρὰ σοὶ καὶ παρεπίδημος, καθὰ πάντες οἱ πατέρες μου* (α). Σημαίνει δὲ τὸ ὄνομα οὐ ταὐτὸν τῷ προσηλύτῳ· (τοῦτο γὰρ τὸν ἀλλαχόθεν ἐλθόντα, ἤτοι ἐπιδημήσαντα, σημαίνει·) ἀλλὰ πλέον τι καὶ εὐτελέστερον. Ὥσπερ γὰρ τοῦ ἔργου τὸ πάρεργον εὐτελέστερον, καὶ τῆς ὁδοῦ, ἡ πάροδος· (*ἔργον* μὲν γὰρ καὶ *ὁδὸς*, αὐτὰ τὰ κύρια καὶ αὐθεντικῶς πραττόμενα· *πάρεργον* δὲ καὶ *πάροδος*, τὰ τούτοις οἱονεὶ παρυφιστάμενα·) οὕτω καὶ τῷ ἐπιδήμῳ τὸ παρεπίδημος ὡς παρυπόστασις ὁρᾶται, εὐτελέστερον σημαίνων. *Κατὰ πρόγνωσιν θεοῦ.*] Ἐχρήσατο τῷ, κατὰ *πρόγνωσιν θεοῦ*, δηλῶν, ὅτι μηδὲν ὑστερεῖ τῶν προφητῶν, οἳ καὶ αὐτοὶ ἀπεστάλησαν, εἰμὴ τῷ χρόνῳ. Ὅτι δὲ ἀπεστάλησαν καὶ οἱ προφῆται, Ἡσαΐας φησὶν ἐν τῷ· *Εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με* (β). Ἀλλ' εἰ καὶ τῷ χρόνῳ ὑστερεῖ, ἀλλ' οὐχὶ καὶ τῇ προγνώσει τοῦ θεοῦ· ἀλλὰ κατὰ τοῦτο ἐναμιλλον ἑαυτὸν Ἱερεμίᾳ ἀποφαίνει, πρὸ τοῦ ἐν κοιλίᾳ πλασθῆναι ἐγνωσμένῳ τε καὶ ἡγιασμένῳ, καὶ προφήτην εἰς ἔθνη τεθειμένῳ (γ). Καὶ ἐπειδὴ οἱ προφῆται μεθ' ἑτέρων καὶ τὴν Χριστοῦ προκατήγγειλαν παρουσίαν· (ἀπεστάλησαν γὰρ διὰ τοῦτο·) οὗτος προστίθησι τὴν χρείαν τῆς ἀποστολῆς, καί φησιν· Ὅτι *ἐν ἁγιασμῷ ἀπεστάλην πνεύματος εἰς ὑπακοὴν καὶ ῥαντισμὸν αἵματος Ἰησοῦ Χριστοῦ*· τοῦτο δηλῶν

(α) Ψαλμ. ΛΗ', 13. (β) Ἡσ. ΞΑ', 1. (γ) Ἱερ. Α', 5.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διὰ τῶν προκειμένων· Ὅτι ὁ τρόπος τῆς ἐμῆς ἀποστολῆς οὗτος, *ἀφορίσαι*· (τοῦτο γὰρ διὰ τοῦ *ἁγιασμοῦ* παριστᾷ, ὡς τό· *Καὶ ἔσεσθέ μοι λαὸς περιούσιος ἡγιασμένος* (α)· ἀντὶ γὰρ τοῦ, ἀφωρισμένος ἐκ τῶν ἄλλων ἐθνῶν.) Ὁ τρόπος οὖν τῆς αὐτοῦ ἀποστολῆς, *ἀφορίσαι* διὰ πνευματικῶν χαρισμάτων ἔθνη ὑπήκοα τῇ πίστει, καὶ τῷ σταυρῷ καὶ τῷ πάθει Χριστοῦ ῥαντιζόμενα, οὐ σποδῷ δαμάλεως (β), ὁπηνίκα δέοι τὴν ἀπὸ τῆς ἐθνικῆς κοινότητος λώβην ἀποκαθήρασθαι, ἀλλὰ τῷ ἀπὸ τοῦ πάθους Χριστοῦ αἵματι. Ἅμα δὲ καὶ προαναφωνεῖται διὰ τοῦ *αἵματος* τὸ διὰ Χριστὸν τῶν εἰς αὐτὸν πιστευόντων μαρτύριον· ὁ γὰρ τοῖς τοῦ διδασκάλου ἐν ὑπακοῇ ἑπόμενος ἴχνεσι, πάντως δεῆσαν οὐδὲ αὐτὸς ἂν ἀπόσχηται τὸ ἴδιον αἷμα ἐκχέαι ὑπὲρ τοῦ ἐκχέαντος τὸ ἑαυτοῦ ὑπὲρ τοῦ κόσμου παντός. *Χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη.*] *Χάρις*, διὰ τὸ προῖκα καὶ μηδὲν εἰσενεγκόντας ἡμᾶς σώζεσθαι. *Καὶ εἰρήνη*· ταύτης γὰρ χρεία τοῖς προσκεκρουκόσι τῷ ἑαυτῶν δεσπότῃ, καὶ εἰς πολεμίους αὐτοῦ τεταγμένοις. — Τὸ ἑξῆς, μετὰ προσθήκης τῶν ἐλλιπῶς εἰρημένων· τοῦτο δὲ σαφηνείας χάριν· ἔτι δὲ μεταλήψεως καὶ μεταποιήσεως τῶν κατὰ τὴν λέξιν τύπων· Πέτρος, ἀπόστολος Ἰησοῦ Χριστοῦ κατὰ πρόγνωσιν θεοῦ πατρός, ἀπεσταλμένος εἰς τὸ ἀφορίζειν αὐτῷ ἐν πνεύματι καὶ ὑπηκόους ποιεῖν τοὺς τὸν ῥαντισμὸν τοῦ αἵματος Ἰησοῦ Χριστοῦ καθάρσιον δεξαμένους, ὑμῖν τοῖς *ἐκλεκτοῖς παρεπιδήμοις διασπορᾶς Πόντου, Γαλατίας, Καππαδοκίας, Ἀσίας καὶ Βιθυνίας· χάρις καὶ εἰρήνη πληθυνθείη. Εὐλογητὸς ὁ θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ*, ὁ διὰ τὸν ἀνυπέρβλητον αὐτοῦ πλοῦτον καὶ ἔλεον διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως Ἰησοῦ Χριστοῦ *ἀναγεννήσας ἡμᾶς*, ἤτοι μεταποιήσας, καὶ μεταθέμενος, *εἰς ἐλπίδα ζῶσαν, εἰς κληρονομίαν ἄφθαρτον καὶ ἀμίαντον καὶ ἀμάραν-*

(α) Λευιτ. Κ'. 26. (β) Εβρ. Θ'. 13.

τον, ἀποκειμένην τοῖς ἐν δυνάμει φρουρουμένοις διὰ πίστεως· ἥτις πίστις εἰς σωτηρίαν ἀπεκαλύφθη ἡμῖν ἐν τῷ ἐσχάτῳ τούτῳ καιρῷ· ἐν ᾧ καιρῷ, μικρὸν ἄρτι· (ἐπεὶ μικρὸς καὶ ὀλίγος ὁ παρὼν βίος·) λυπηθέντες· (εἴγε καὶ δέον ὑμᾶς λυπηθῆναι διὰ ποικίλων πειρασμῶν·) ἀγαλλιᾶσθε, τοῦτο εἰδότες, ὅτι πειράζεσθε, ἵνα τὸ δοκίμιον τῆς πίστεως ὑμῶν πολὺ τιμιώτερον τοῦ ἀπολλυμένου χρυσίου, διὰ πυρὸς δὲ δοκιμαζομένου, εὑρεθῇ εἰς ἔπαινον καὶ τιμὴν καὶ δόξαν ὑμῶν τότε, ὅτε ἀποκαλύπτεται Ἰησοῦς ὁ Χριστός· ὃν Ἰησοῦν Χριστὸν ἄρτι σωματικῶς μὴ ἑωρακότες, ἀγαπᾶτε· εἰς τοῦτον δὲ τὸν μὴ ὁρώμενον ὑμῖν πιστεύοντες, ἀγαλλιᾶσθε χαρᾷ ἀνεκλαλήτῳ καὶ δεδοξασμένῃ, κομιζόμενοι τὸ τέλος τῆς πίστεως ὑμῶν· καὶ τί τοῦτο; Σωτηρίαν ψυχῆς· περὶ ἧς σωτηρίας καὶ οἱ προφῆται ἐξηρεύνησαν καὶ ἐξεζήτησαν.

3 Εὐλογητὸς ὁ θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος ἀναγεννήσας ἡμᾶς εἰς ἐλπίδα ζῶσαν δι' ἀναστάσεως Ἰησοῦ Χριστοῦ ἐκ νεκρῶν.

Εὐλογητὸς ὁ θεός.] Εὐλογεῖ τὸν θεὸν, ταύτην αὐτῷ τῶν ἀγαθῶν, ὧν δίδωσιν, εὐχαριστίαν ἀντιδιδούς. Τίνα δὲ τὰ δωρούμενα; Ἐλπὶς, οὐχ οἵα ἡ διὰ Μωσέως ἐν τῇ Χαναναίᾳ γῇ κατοικία, ἥτις, θνητὴ, θνητοῖς ἐπαγγέλλεται θνητὰ, ἀλλὰ ζῶσα. Καὶ πόθεν τὸ ζῆν ἔχουσα; Ἀπὸ τοῦ ἐκ νεκρῶν ἀναστάντος Ἰησοῦ Χριστοῦ. Ἐν οἷς γὰρ ἀνέστη, τῆς αὐτῆς ἀξιώσει καὶ τοὺς διὰ πίστεως, τῆς εἰς αὐτὸν, προσιόντας αὐτῷ.

4 Εἰς κληρονομίαν ἄφθαρτον καὶ ἀμίαντον καὶ ἀμά-
5 ραντον, τετηρημένην ἐν οὐρανοῖς εἰς ὑμᾶς, τοὺς ἐν δυνάμει θεοῦ φρουρουμένους διὰ πίστεως εἰς σωτη-
6 ρίαν ἑτοίμην ἀποκαλυφθῆναι ἐν καιρῷ ἐσχάτῳ· ἐν ᾧ ἀγαλλιᾶσθε, ὀλίγον ἄρτι (εἰ δέον ἐστὶ) λυπηθέντες
7 ἐν ποικίλοις πειρασμοῖς, ἵνα τὸ δοκίμιον ὑμῶν τῆς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πίστεως πολὺ τιμιώτερον χρυσίου, τοῦ ἀπολλυμένου, διὰ πυρὸς δὲ δοκιμαζομένου, εὑρεθῇ

Εἰς κληρονομίαν ἄφθαρτον καὶ ἀμίαντον καὶ ἀμάραντον.] Ἐλπὶς οὖν ζῶσα τὸ διδόμενον, κληρονομία ἄφθαρτος καὶ ἀμίαντος καὶ ἀμάραντος, οὐκ ἐν γῇ, ὡς τοῖς πατράσιν, ἀποκειμένη, ἀλλ' ἐν οὐρανοῖς, ἀφ' οὗ καὶ τὸ διαιωνίζον κέκτηται· ὃ καὶ μεῖζον τῆς ἐν γῇ κληρονομίας. Καὶ πρός γε τούτοις, συντήρησις καὶ φρουρὰ τῶν πιστευόντων· ἐπεὶ καὶ τοῦτο προσηύξατο ὁ Κύριος εἰπών· *Τήρησον αὐτοὺς, πάτερ ἅγιε (α)*· ἀλλὰ καὶ *ἐν δυνάμει*. Καὶ τίς ἡ δύναμις; Τὸ μέχρι τῆς τοῦ Κυρίου ἀποκαλύψεως. Εἰ γὰρ μὴ δυνατὴ ἡ φρουρὰ, οὐκ ἂν παρετείνετο μέχρι τοσούτου. Ἐπεὶ οὖν τοιαῦτα καὶ τοσαῦτα τὰ διδόμενα, οὐδὲν ἀπεικὸς καὶ ἀγαλλίαμα παρακολουθεῖν τοῖς λαμβάνουσι. *Τετηρημένην ἐν οὐρανοῖς*.] Εἰ *ἐν οὐρανοῖς* ἡ κληρονομία, μυθώδης ἡ χιλιοέτης ἐν γῇ ἀποκατάστασις. *Ἐν ᾧ ἀγαλλιᾶσθε, ὀλίγον ἄρτι, εἰ δέον ἐστι*.] Τὸ ἑξῆς οὕτω· *Λυπηθέντες ἄρτι, εἰ δέον ἐστὶ*· τουτέστιν· Εἰ καὶ τοῦτο δεῖ· (οὐ γὰρ πάντες οἱ ἅγιοι θλίβονται·) *ἐν ἐσχάτῳ καιρῷ ἀγαλλιάσεσθε*· τὸ γὰρ, *ἀγαλλιᾶσθε*, ἀντὶ μέλλοντος εἴληπται· ἢ καὶ κατὰ τὸ ἐνεστὼς, ὡς κάτω ὑπεμνημάτισται. Πλὴν ἐπειδὴ ἡ τοῦ διδασκάλου ἐπαγγελία, οὐχὶ χαρὰν, ἀλλὰ λύπην εἰσηγεῖται, φάσκουσα, ὅτι, *Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε* (β), προστίθησι τῷ ἀγαλλιάματι τὸ, *ὀλίγον*. Καὶ ἐπειδὴ τοῦτο λυπηρὸν, ἐπάγει τὸ, *ἄρτι*, σύμφωνα λέγων τῷ ἑαυτοῦ καθηγεμόνι. Κἀκεῖνος γὰρ, *Ἐν τῷ κόσμῳ*, φησὶ, *θλῖψιν ἕξετε· ἀλλ' ἡ λύπη ὑμῶν εἰς χαρὰν γενήσεται* (γ). Ἡ οὖν τὸ, *ἄρτι*, διὰ τὸ *ἀγαλλίαμα* προσετέθη, ὡς τοῦ μέλλοντος διαδέχεσθαι ἀγαλλιάματος οὐκ ἐπ' ὀλίγον ὄντος, ἀλλ' ἐπὶ μακρόν τε καὶ ἄπειρον· ἢ τὸ, *ὀλίγον*, πρὸς τὸ ἐπιφερόμενον λυπηρὸν λογιστέον, ἵνα ᾖ οὕτως· *Εἰ δέον ἐστὶν*

(α) Ἰωαν. ΙΖ', 11. (β) Ἰωαν. Ις', 33. (γ) Ἰωαν. Ις', 20.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὀλίγον ἄρτι λυπηθέντες ἐν ποικίλοις πειρασμοῖς. Ἀλλ' ἐπειδὴ τὸ τῶν πειρασμῶν θόρυβον ἐνεποίει, διὰ τοῦτο ἐπήγαγε τὴν τῶν πειρασμῶν αἰτίαν· ὅτι διὰ τούτων τὸ δοκίμιον ὑμῶν φανερώτερον γίνεται καὶ πολὺ τιμιώτερον χρυσίου· ἐπεὶ καὶ αὐτό, δοκιμαζόμενον πυρὶ, μᾶλλον ἀνθρώποις σπουδάζεται. Προστίθησι δὲ καὶ τὸ, εἰ δέον, διδάσκων, ὅτι οὔτε πᾶς πιστὸς πειράζεται διὰ θλίψεων, οὔτε πᾶς ἁμαρτωλὸς· οὐδὲ εὐθηνεῖται ἑκάτερος τούτων εἰσαεί· ἀλλ' οἱ μὲν θλιβόμενοι δίκαιοι, εἰς προσθήκην στεφάνων πάσχουσιν· οἱ δὲ ἁμαρτωλοὶ, ἵνα τῶν ἁμαρτημάτων δίκην ἐκτίσωσιν. Οὐ πάντες δὲ οἱ δίκαιοι θλίβονται, ἵνα μὴ, τὴν κακίαν ἐπαινετὴν νομίσας, μισήσῃς τὴν ἀρετήν. Οὐδὲ πάντες οἱ ἁμαρτωλοὶ θλίβονται, ἵνα μὴ ἡ ἀνάστασις ἀπιστηθῇ, ὡς πάντων ἐνταῦθα τὰ ἑαυτῶν ἀπολαμβανόντων.

Εἰς ἔπαινον καὶ τιμὴν καὶ δόξαν, ἐν ἀποκαλύψει
8 Ἰησοῦ Χριστοῦ· ὃν οὐκ εἰδότες ἀγαπᾶτε, εἰς ὃν
ἄρτι μὴ ὁρῶντες, πιστεύοντες δὲ, ἀγαλλιᾶσθε χαρᾷ
9 ἀνεκλαλήτῳ καὶ δεδοξασμένῃ, κομιζόμενοι τὸ τέλος τῆς πίστεως ὑμῶν, σωτηρίαν ψυχῶν.

Εἰς ἔπαινον καὶ τιμήν.] Τὴν αἰτίαν τῶν κακοπαθούντων ἐνταῦθα δικαίων διὰ τούτων δηλοῖ· ἅμα μὲν παραμυθούμενος αὐτοὺς, ὡς περιφανεστέρων αὐτῶν ὑπὸ τῶν θλίψεων γινομένων· ἅμα δὲ καὶ σπουδαιοτέρους ποιῶν διὰ τοῦ προσθεῖναι τὸ, ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ, ὡς τοῦ τότε καιροῦ τῇ ἐπιδείξει τῶν πόνων, πολλὴν τὴν εὐκλειαν τοῖς διηγωνισμένοις παρεξομένου. Προστίθησι δὲ καὶ ἄλλο τι ἐφελκυστικὸν πρὸς τὴν ὑπομονὴν τῶν θλίψεων. Τί τοῦτο; Τὸ, Ὃν οὐκ εἰδότες ἀγαπᾶτε. Ὡσεὶ ἔλεγεν· Εἰ γὰρ οὐκ εἰδότες αὐτὸν ὀφθαλμοῖς σαρκὸς, ἐκ μόνης ἀκοῆς ἀγαπᾶτε, σκοπεῖτε, ὅσην ἀγάπην ἐπιδείξεσθε, ἰδόντες αὐτὸν, καὶ ταῦτα ἐν δόξῃ ἀποκαλυπτόμενον. Εἰ γὰρ τὸ πάθος αὐτοῦ οὕτως ὑμᾶς ἐπεσπάσατο, τί ἆρα διαθείη ὑμᾶς ἡ μετὰ ἀνυπερβλήτου λαμπρότητος ἐπιφάνεια αὐτοῦ, ὅτε καὶ ὑμῖν παράσχῃ τὸ γέρας, σωτηρίαν ψυχῶν; Ὡς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὖν τοιούτῳ ἐμφανίζεσθαι μέλλοντες, καὶ δόξης τοιαύτης ἀξιωθῆναι, ἰσόῤῥοπον τούτου νῦν ἐπιδειξάμενοι καρτερίαν, τὸ πᾶν ἔξετε τοῦ προτεθέντος σκοποῦ.

10 Περὶ ἧς σωτηρίας ἐξεζήτησαν καὶ ἐξηρεύνησαν προ-
φῆται, οἱ περὶ τῆς εἰς ὑμᾶς χάριτος προφητεύσαν-
11 τες· ἐρευνῶντες, εἰς τίνα ἢ ποῖον καιρὸν ἐδήλου τὸ
ἐν αὐτοῖς πνεῦμα Χριστοῦ, προμαρτυρόμενον τὰ
εἰς Χριστὸν παθήματα, καὶ τὰς μετὰ ταῦτα δόξας·
12 οἷς ἀπεκαλύφθη, ὅτι οὐχ ἑαυτοῖς, ὑμῖν δὲ διηκόνουν
αὐτά, ἃ νῦν ἀνηγγέλη ὑμῖν διὰ τῶν εὐαγγελισαμέ-
νων ὑμᾶς ἐν πνεύματι ἁγίῳ, ἀποσταλέντι ἀπ' οὐ-
ρανοῦ, εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι.

Ἐπειδὴ περὶ ψυχῆς σωτηρίας ἐμνήσθη, αὖτη δὲ ἄδηλος καὶ ξενίζουσα τὴν ἀκοήν, τοὺς προφήτας παράγει καὶ ἐζητηκότας καὶ ἠρευνηκότας περὶ αὐτῆς. Καὶ γὰρ ἐζήτησαν, ὥσπερ Δανιὴλ, περὶ τῶν μελλόντων, ὃς καὶ διὰ τοῦτο *ἀνὴρ ἐπιθυμιῶν* (α) ἐκλήθη ὑπὸ τοῦ χρηματίζοντος αὐτῷ ἀγγέλου. Καὶ τί ἐζήτησαν, ἐπάγει· δηλαδὴ, *Εἰς τίνα ἢ ποῖον καιρὸν ἐδήλου τὸ ἐν αὐτοῖς πνεῦμα. Εἰς τίνα* μὲν, τὸν ἐπὶ συντελείᾳ δηλονότι· *ποῖον* δὲ, τὸν ὅτε ταῖς διαφόροις αἰχμαλωσίαις οἱ Ἰουδαῖοι πρὸς παντελῆ θεοσέβειαν ἀποκλίναντες, εὐπαράδεκτοι κατέστησαν εἰς τὸ κατὰ Χριστὸν μυστήριον. Σκόπει δὲ, ὅτι *πνεῦμα Χριστοῦ* εἰρηκὼς, θεολογεῖ τὸν Χριστόν. Ἐδήλου δὲ τοῦτο τὸ πνεῦμα τὰ πάθη τοῦ Χριστοῦ, διὰ μὲν Ἡσαΐου εἰπόν· *Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη* (β)· διὰ δὲ Ἱερεμίου· *Δεῦτε, καὶ ἐμβάλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ* (γ)· τὴν δὲ ἀνάστασιν διὰ Ὡσηέ· *Ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ ἀναστησόμεθα ἐναντίον αὐτοῦ, καὶ διώξομεν τοῦ γνῶναι τὸν Κύριον, ὡς ὄρθρον ἕτοιμον εὑρήσομεν αὐτόν* (δ). Ἀπεκαλύφθη δέ, φησι, τούτοις, οὐ δι' ἑαυτοὺς, ἀλλὰ δι' ὑμᾶς. Δύο δὲ ταῦτα διὰ τούτων ἐργάζε-

(α) Δαν. Ι, 11. (β) Ἡσ. ΝΓ', 7.
(γ) Ἱερ. ΙΔ', 19. (δ) Ὡσ. ϛ', 3.

ται τῶν λόγων· τό τε προμηθὲς τῶν προφητῶν ἐνδεικνύμενος, καὶ τὸ ὅτι προεγνωσμένοι ἦσαν θεῷ πρὸ καταβολῆς κόσμου, οἱ νῦν κληθέντες εἰς τὴν κατὰ Χριστὸν πίστιν. Διὰ μὲν οὖν τοῦ τῶν προφητῶν προμηθοῦς ἐνάγει αὐτοὺς, μὴ ἀπειθῶς διατεθῆναι πρὸς τὰ ὑπὸ τῶν προφητῶν αὐτοῖς πεφροντισμένα· ὅτι μηδὲ υἱοὶ σώφρονες πατρικῶν πόνων καταφρονοῦνται. Εἰ γὰρ αὐτοὶ, μηδὲν ὠνήσασθαι μέλλοντες, ἐζήτησαν καὶ εὗρον, καὶ εὑρόντες βιβλίοις ἐγκατέθεντο, ὥσπερ τινὰ κλῆρον ἡμῖν παραπέμποντες, οὐκ ἂν εἴημεν ἡμεῖς, φησὶ, δίκαιοι, περὶ ταῦτα καταφρονητικῶς ἔχοντες. Διά τοι τοῦτο μηδὲ ἡμᾶς, τοὺς εὐαγγελιζομένους ὑμᾶς ταῦτα, παρὰ φαῦλον τιθέντες, κενὸν ἀποφαίνετε τὸ εὐαγγέλιον ἡμῶν. Διὰ μὲν οὖν τοῦ προμηθοῦς τῶν προφητῶν, ταῦτα. Διὰ δὲ τοῦ προεγνῶσθαι ὑπὸ θεοῦ φοβεῖ, μὴ ἀναξίους ἑαυτοὺς τῆς τοῦ θεοῦ προγνώσεως ἀποφῆναι, μηδὲ ἀναξίους τῆς ὑπὸ τούτου κλήσεως· ἀλλὰ κατεπείγεσθαι ἀλλήλων εἰς τὸ ἀξιωθῆναι τῆς δωρεᾶς τοῦ θεοῦ. *Διὰ τῶν εὐαγγελισαμένων ὑμᾶς.*] Εἰ καὶ αὐτοὶ [οἱ ἀπόστολοι], καὶ οἱ προφῆται ἐν πνεύματι ἁγίῳ ἐνήργησαν, οἱ μέν, τὴν προφητείαν, οἱ δὲ, τὸ εὐαγγέλιον, οὐδὲν τούτων τὸ διάφορον πρὸς τοὺς προφήτας. Δεῖ τοίνυν τὴν αὐτὴν σπουδὴν ὑμᾶς, φησὶν, εἰσάγειν, ἣν καὶ οἱ κατήκοοι τῶν προφητῶν, ἵνα μὴ τῇ τῶν ἀπειθησάντων τοῖς προφήταις ὑποβληθῆτε τιμωρίᾳ. *Ἐν πνεύματι ἁγίῳ, ἀποσταλέντι ἀπ' οὐρανοῦ.*] Τὸ ἐν τῇ ἡμέρᾳ τῆς Πεντηκοστῆς γεγονὸς φησι. Τὸ δὲ, *Εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι*, ἀντὶ τοῦ, Ἃ καὶ ἄγγελοι ἐπεθύμησαν· τουτέστιν, Ἃ τὴν γνῶσιν καὶ τὴν ἔκβασιν καὶ αὐτοὶ οἱ ἄγγελοι ἐπεθύμησαν ἰδεῖν· δι' ὃ καὶ, γινομένων τῶν τοιούτων, ἐκ περιχαρείας ἦσαν τό· *Δόξα ἐν ὑψίστοις.* Ἐπισημαντέον δὲ, ὅτι διὰ τούτων τὸ τῆς Τριάδος μυστήριον ὁ Πέτρος ἀποκαλύπτει. *Υἱὸν* καὶ *Πνεῦμα*, διὰ τοῦ εἰπεῖν, *Πνεῦμα Χριστοῦ*· τὸν δὲ *Πατέρα*, διὰ τοῦ εἰπεῖν, *ἀπ' οὐρανοῦ*. Τὸ δὲ, *ἀπ' οὐρανοῦ*, μὴ τοπικῶς ἐκλάβῃς, ἀλλὰ κατὰ ὑπεροχὴν προηγουμένην θεοῦ.

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ ἐλπίδος καὶ ἁγιασμοῦ, τῆς τε ὀφειλομένης ἐπὶ τῇ υἱοθεσίᾳ ἀσφαλοῦς ἀναστροφῆς.

13 Διὸ ἀναζωσάμενοι τὰς ὀσφύας τῆς διανοίας ὑμῶν,
νήφοντες, τελείως (1) ἐλπίσατε ἐπὶ τὴν φερομένην
14 ὑμῖν χάριν ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ· ὡς τέ-
κνα ὑπακοῆς, μὴ συσχηματιζόμενοι τοῖς πρότερον
15 ἐν τῇ ἀγνοίᾳ ὑμῶν ἐπιθυμίαις, ἀλλὰ κατὰ τὸν
καλέσαντα ὑμᾶς ἅγιον, καὶ αὐτοὶ ἅγιοι ἐν πάσῃ
16 ἀναστροφῇ γενήθητε· διότι γέγραπται· «Ἅγιοι γέ-
νεσθε, ὅτι ἐγὼ ἅγιός εἰμι (α).»

Αἰτιολογικῶς ἀπὸ τῶν προτετιμημένων ἡ παράκλησις. Εἰπὼν γὰρ, ὅτι οἱ προφῆται διηκόνησαν ὑμῖν τὰ τῆς σωτηρίας ὑμῶν, ταῦτα δὲ οὕτως ἦν θαυμαστὰ, ὡς καὶ ἀγγέλοις ἐράσμια καταστῆναι. Καὶ ὅτι ἐράσμια καὶ αὐτοῖς ταῦτα, ἔδειξαν ἀφ' ὧν ἐκ περιχαρείας ἐν τῇ γεννήσει τοῦ Χριστοῦ τὸ, *Δόξα ἐν ὑψίστοις*, ἐμελῴδουν, *θεῷ* (β). Εἰπὼν δὲ ταῦτα, ἐπάγει τὸ αἴτιον τούτων, καί φησιν· Ἐπεὶ οὖν τοιαῦτα τὰ δεδιηκονημένα ὑμῖν πᾶσι, καὶ ἐράσμια, καὶ τριπόθητα οὐ μόνον ἀνθρώποις, ἀλλὰ καὶ ἀγγέλοις, διὰ τοῦτο μηδὲ ὑμεῖς ἀμελῶς πρὸς αὐτὰ διατεθῆτε, ἀλλὰ συντείναντες ἑαυτοὺς, καὶ ἀνδρικῶς διατεθέντες· τοῦτο γὰρ διὰ τοῦ, *ἀναζωσάμενοι τὰς ὀσφύας* δηλοῖ· ὃ καὶ ὁ Ἰὼβ προσάσσεται πρὸς τοῦ θεοῦ (γ). Ὀσφύας δὲ ποίας, ἐσήμανεν, ὅτι τὰς *τῆς διανοίας* λέγει. Οὕτως οὖν παρεσκευασμένοι, φησὶ, *νήφοντες, τελείως ἐλπίσατε ἐπὶ τὴν φερομένην ὑμῖν χάριν*· αὕτη δέ ἐστιν, ἣν καὶ πρὸ βραχέος εἴρηκε, κατὰ τὴν δευτέραν τοῦ

(1) Παρ' ἄλλοις τὸ, τελείως, συνάπτεται τῷ προηγουμένῳ, νήφοντες, ὡς καὶ παρ' αὐτῷ τῷ Οἰκουμενίῳ ἐν τῇ ἑρμηνείᾳ. (α) Λευϊτ. ΙΙ. κ'. 19'. 2.

Κυρίου παρουσίαν. Σκόπει δὲ, ὅτι οὐχ ἁπλῶς εἶπε, *νήφοντες*, ἀλλὰ, *τελείως*, ὡς τοῦ νόμου ἀμυδρὰν αὐτοῖς νῆψιν παρασχόμενου καὶ εἰσαγωγικήν. *Μὴ συσχηματιζόμενοι ταῖς πρότερον ἐν τῇ ἀγνοίᾳ ὑμῶν ἐπιθυμίαις.*] *Συσχηματισμὸν*, τὴν συμπεριφοράν φησι, τὴν πρὸς τὰ παρόντα πράγματα. Τοῦτο δέ ἐστιν, ὅ τινες τῶν ἀνοήτων καὶ νῦν φασιν, Ὅτι πρὸς τὰ πράγματα δεῖ διαγίνεσθαι. Τὰς οὖν τοιαύτας ματαιότητας ἀπειπεῖν κελεύει, εἴτε ἐν γνώσει, εἴτε καὶ ἐν ἀγνοίᾳ ταύταις πρὸ τούτου ἐνεσχέθησαν. Ἀλλὰ νῦν γοῦν, λέγει, τῷ καλέσαντι ὑμᾶς συσχηματιζόμενοι, ἁγίῳ ὄντι, ἅγιοι καὶ αὐτοὶ γίνεσθε.

17 Καὶ εἰ πατέρα ἐπικαλεῖσθε τὸν ἀπροσωπολήπτως
κρίνοντα κατὰ τὸ ἑκάστου ἔργον, ἐν φόβῳ τὸν τῆς
18 παροικίας ὑμῶν χρόνον ἀναστράφητε· εἰδότες, ὅτι
οὐ φθαρτοῖς, ἀργυρίῳ ἢ χρυσίῳ, ἐλυτρώθητε ἐκ τῆς
19 ματαίας ὑμῶν ἀναστροφῆς πατροπαραδότου, ἀλλὰ
τιμίῳ αἵματι, ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου,
Χριστοῦ·

Καὶ *εἰ πατέρα ἐπικαλεῖσθε τὸν ἀπροσωπολήπτως κρίνοντα.*] Σκόπει, ὅτι εἰρημένου ὑπὸ Χριστοῦ· Ὅτι *ὁ πατὴρ κρίνει οὐδένα· ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ* (α)· πῶς νῦν ὁ Πέτρος τὸν πατέρα κρίνειν φησί; Πρὸς ὃ ἐροῦμεν, ὡς, ἐπειδὴ καὶ τοῦτο εἴρηκεν ὁ Χριστός· *Οὐ δύναται ὁ υἱὸς ποιεῖν οὐδὲν, ἐὰν μή τι βλέπῃ τὸν πατέρα ποιοῦντα* (β)· τοῦτο δὲ τὸ συμφυὲς τῆς ἁγίας Τριάδος παρίστησι, καὶ ὅτι οὐκ ἀπομεμερισμέναι αἱ τῆς θεαρχίας ἐνέργειαι τοῖς κατ' αὐτὴν ἐνθεωρουμένοις προσώποις, ἀλλὰ ταυτότης πᾶσα ἐκεῖ καὶ σύμπνοια εἰρηναία καὶ ἀστασίαστος, εἶπεν, ἀδιαφόρως τὸν πατέρα κρίνειν, ὡς, ὅ,τι ἂν ἐρῇ τις καθ' ἑνὸς τῶν τριῶν προσώπων θεοπρεπῶς ἐκτελεῖσθαι, κοινοῦ τοῖς πᾶσι καὶ ὄντος καὶ λογιζομένου. Ἄλλως τε καὶ τοῦ Κυρίου πολλάκις *τέκνα* καλοῦντος τοὺς ἀποστόλους, καὶ τῷ

(α) Ἰωαν. Ε', 22. (β) Ἰωαν. Ε', 19.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παραλύτῳ εἰπόντος· *Τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου* (α)· καὶ τῇ αἱμόῤῥῳ· *Θύγατερ· ἡ πίστις σου σέσωκέ σε* (β)· οὐδὲν ἀπεμφαῖνον ἐστὶ, καὶ αὐτὸν πατέρα καλεῖσθαι τῶν γεννητῶν, ὧν μεταδόσει ἐγέννησεν ἁγιότητος. *Ἐν φόβῳ τὸν τῆς παροικίας ὑμῶν χρόνον ἀναστράφητε.*] Διττὸν ἡ Γραφὴ τὸν φόβον οἶδε· τὸν μὲν, *προκαταρκτικὸν*, τὸν δὲ, *τελειωτικόν*. Προκαταρκτικὸν μὲν, ὃς καὶ *στοιχειωτικός* ἐστι, τὸν διὰ τὰ πεπραγμένα τινὶ φαῦλα πρὸς τὸ σωφρονεῖν ἐκκαλούμενον· τελειωτικὸν δὲ, τὸν διὰ τὸ τελειῶσθαι ἐν τῇ ἀγάπῃ τοῦ πρὸς ὃν φιλίᾳ σπεύδειν φοβεῖσθαι, μή τι τούτων αὐτῷ ἐνδεῖ, ὧν τοῖς σφόδρα ἀγαπῶσιν ὀφείλεται. Ὑπόδειγμα τοῦ πρώτου, ὃς καὶ στοιχειωτικός ἐστι, τὸ ἐν ψαλμοῖς εἰρημένον· *Φοβηθήτω τὸν Κύριον πᾶσα ἡ γῆ* (γ)· τουτέστιν, οἷς οὐδὲν μέλλει οὐρανίου φρονήματος, ἀλλὰ γηΐνου ματαιότητος· τί γὰρ πάθοιεν, *ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν* (δ); Τοῦ δευτέρου δὲ, τοῦ τελειωτικοῦ λέγω, ὃ καὶ αὐτὸ παρὰ τῷ Δαυὶδ ἐστιν εὑρεῖν, ἐν οἷς λέγει· *Φοβήθητε τὸν Κύριον πάντες οἱ ἅγιοι αὐτοῦ· ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν* (ε)· καὶ πάλιν· *Ὁ φόβος Κυρίου ἁγνὸς, διαμένων εἰς αἰῶνα αἰῶνος* (ζ). Κατὰ τοῦτον οὖν τὸν τελειωτικὸν φόβον καὶ Πέτρος παρακαλεῖ νῦν διατίθεσθαι τοὺς ὑπηκόους αὐτῷ, φάσκων· Ὡς, ἐπεὶ δι' οἰκτιρμὸν ἄφατον τοῦ πεποιηκότος θεοῦ εἰς υἱοὺς αὐτοῦ ἀνελήφθητε, ὁ φόβος ὑμῖν οὗτος συμπάρεδρος ἔστω, ὡς ἐξ ἀγάπης τοῦ πεποιηκότος τοιοῦτοι γενόμενοι, καὶ οὐκ ἐξ ἔργων. Ἐκ πολλῶν δὲ ποιησάμενος τὴν παράκλησιν, πρῶτον διὰ τῶν ἐπιθυμητικῶς πρὸς αὐτὰ διακειμένων ἀγγέλων· εἶτα ἀπὸ τοῦ γραφικοῦ· εἶτα ἀπὸ τοῦ ἀναγκαίου· ἐπεὶ γὰρ τὸν θεὸν ἐπικαλοῦνται πατέρα, ἀνάγκη τοὺς γλιχομένους τῆς υἱοθεσίας, ἄξια τοῦ πατρὸς ποιεῖν· καὶ τέταρτον, ὅτι μυρία ἔλαβον ἀναθὰ διὰ τοῦ καταβληθέντος

ὑπὲρ αὐτῶν τιμήματος· (τοῦτο δέ ἐστι
ὅτι περ ἀντίλυτρον ἐδόθη τῶν διὰ τῆς
πρακότων τῷ πονηρῷ·) κελεύει οὖν διὰ τ
ζῆν σύνοικον κεκτῆσθαι τὸν φόβον, οὐ
(οὗτος γὰρ τὴν τιμωρίαν σύνεδρον ἔχει·)
φόβος γὰρ ἀεὶ τοῖς τελειωθεῖσιν ἁγίοις,
οἷα εἰκὸς τοῖς τελειωμένοις ἐπακολουθεῖ

20 Προεγνωσμένου μὲν πρὸ καταβο
ρωθέντος δὲ ἐπ' ἐσχάτων τῶν
21 τοὺς δι' αὐτοῦ πιστεύοντας εἰς
αὐτὸν ἐκ νεκρῶν καὶ δόξαν αὐτ
22 πίστιν ὑμῶν καὶ ἐλπίδα εἶναι εἰ
ὑμῶν ἡγνικότες ἐν τῇ ὑπακοῇ
πνεύματος εἰς φιλαδελφίαν ἀνυπ
23 ρᾶς καρδίας ἀλλήλους ἀγαπήσα
γεννημένοι οὐκ ἐκ σπορᾶς φθαρ
του, διὰ λόγου ζῶντος θεοῦ κα
24 αἰῶνα. Διότι πᾶσα σὰρξ, ὡς
δόξα ἀνθρώπου, ὡς ἄνθος χόρτο
25 τος, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσ
ρίσου μένει εἰς τὸν αἰῶνα· τοῦτ
τὸ εὐαγγελισθὲν εἰς ὑμᾶς.

Τῷ τοῦ Χριστοῦ θανάτῳ συνῆψε καὶ τ
ται γὰρ τὸ πρὸς ἀπιστίαν τῶν νεοφύτων
τῶν παθῶν τοῦ Χριστοῦ ἐπονειδιστον·
τὸ κατὰ Χριστὸν μυστήριον· ἐπεὶ καὶ
θορυβεῖ· ἀλλ' ἄνωθεν καὶ πρὸ καταβ
νοητικῶς θεῷ κατὰ τὸν εὔκαιρον αὐτῷ
ἐφανερώθη μὲν καὶ τοῖς περὶ τούτων ζη
ὀλίγον κατόπιν εἴρηκε· καὶ νῦν δὲ προδ
πρὸ καταβολῆς κόσμου ἐγνωσμένον, δη
νερώθη, ἤτοι, ἐπετελέσθη, διηνύσθη. Κ
σθη, προστίθησιν, ὅτι *δι' ὑμᾶς*. Δι' ὑμ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτὸν ἐκ νεκρῶν. Διὰ τί δὲ δι' ὑμᾶς; Ἵνα, φησὶν, *ἡγνικότες ἑαυτοὺς ἐν τῇ ὑπακοῇ τῆς ἀληθείας διὰ πνεύματος, τὴν πίστιν ὑμῶν καὶ ἐλπίδα ἔχητε εἰς θεόν.* Καὶ διὰ τί *ἡγνικότες*; Ὅτι τῷ διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως ἀφθάρτου ζωῆς ὑμῖν προκαταρξαμένῳ πιστεύσαντες, ὀφειλέται ἐστὲ καὶ αὐτοὶ κατὰ τὸν καλέσαντα ὑμᾶς εἰς ἀφθαρσίαν, ἐν καινότητι ζωῆς περιπατῆσαι. Εἰ δὲ τὸν πατέρα καὶ οὗτος καὶ Παῦλός φησιν ἐξαναστῆσαι τὸν Κύριον ἐκ νεκρῶν (α), μὴ θορυβηθῇς· εἰσαγωγικώτερον γὰρ χρώμενος τῇ διδασκαλίᾳ νῦν ταῦτά φησιν. Ἐπεὶ ἄκουσον Χριστοῦ μὲν λέγοντος ἑαυτὸν ἐγεῖραι, δι' ὧν φησίν· *Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν* (β). Ἀλλὰ καὶ Λουκᾶς· *Οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα μετὰ τὸ παθεῖν αὐτόν* (γ). Καὶ πάλιν αὐτὸς ὁ Χριστός· *Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν* (δ). Οἰκονομικώτερον οὖν τῷ πατρὶ ἔσθ' ὅτε ἀνατιθέασι τὴν τοῦ υἱοῦ ἀνάστασιν, ἵνα μίαν ἐμφήνωσι πατρὸς καὶ υἱοῦ τὴν ἐνέργειαν. Τὸ ἑξῆς οὕτω· *Προεγνωσμένου μὲν πρὸ καταβολῆς κόσμου, φανερωθέντος δὲ ἐπ' ἐσχάτων τῶν χρόνων δι' ὑμᾶς, τοὺς πιστεύοντας εἰς θεὸν, τὸν ἐγείραντα αὐτὸν ἐκ νεκρῶν καὶ δόντα αὐτῷ δόξαν, ἵνα ἡγνικότες τὰς ψυχὰς ὑμῶν* (τὸ γὰρ, ὥστε, ἀντὶ τοῦ, ἵνα, εἴληπται·) *ἐν τῇ ὑπακοῇ τῆς ἀληθείας τὴν πίστιν ὑμῶν ἔχητε, καὶ τὴν ἐλπίδα εἰς θεόν.* Μεταλαμβάνει γὰρ καὶ τὸ, εἶναι, εἰς τὸ, ἔχειν, διὰ τὸ, ἵνα. Κειμένου γὰρ τοῦ, ὥστε, καὶ βάρβαρον καὶ ἀδιανόητον τὸ ῥητόν. *Εἰς φιλαδελφίαν.*] Τὸ ὅλον οὕτως· *Ἵνα τὴν πίστιν ὑμῶν καὶ ἐλπίδα ἔχητε εἰς θεὸν, ἡγνικότες τὰς ψυχὰς ὑμῶν ἐν τῇ ὑπακοῇ τῆς ἀληθείας*· τουτέστι, Προκαταρτίσαντες ἑαυτοὺς εἰς ὑπακοὴν ἀληθείας διὰ πνεύματος· ἔστι γὰρ καὶ ὑπακοὴ ἐπὶ πονηροῖς καὶ ψευδέσιν, ἥτις οὐ διὰ

(α) Πραξ. Β', 24. Γ', 15. ΙΓ', 30. Ῥωμ. Δ', 24. Ἰ, 9. Α' Κορ. ς', 14. Β' Κορ. Δ', 14. (β) Ἰωαν. Β', 19. (γ) Πραξ. Α', 3. (δ) Ἰωαν. Ι', 18.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πνεύματος, τουτέστιν, οὐ πνευματική. Ἐπειδὴ δὲ ὁ εἰς ὑπα-
κοὴν ἁγνισμὸς, ἤτοι, ἡ παρασκευὴ, ἡ γυμνασία, ἡ μελέτη,
πολλοὺς καὶ ἄλλους φιλεῖ συνεργοὺς ἐπισπᾶσθαι, εἰ μέλλοι
πνευματικὴ οὖσα, καὶ ἄφθονος εἶναι· τοῦτο δὲ ἔργον φιλαδελ-
φίας, τὸ τῶν εὑρημένων τινὶ ἀγαθῶν καὶ τῷ πλησίον μεταδι-
δόναι· διὰ τοῦτο ἐπάγει τὸ, *εἰς φιλαδελφίαν ἀνυπόκριτον*
ἐπάγει δὲ ἀποστατικῶς· ἰδίωμα γὰρ τοῦτο τῶν μακαρίων ἀ-
ποστόλων, ὡς ἔχει καὶ παρὰ τῷ μακαρίῳ Ἰακώβῳ τό· *Τίς σο-*
φὸς ἐν ὑμῖν καὶ ἐπιστήμων· καὶ τό· *Ἄγε νῦν, οἱ λέγοντες*
Σήμερον καὶ αὔριον (α)· καὶ πολλὰ ἕτερα τοιαῦτα. Ὅτι δ
οἱ πνευματικοὶ ὀφείλουσι τῶν εὑρημένων ἀγαθῶν ἀλλήλοι
σπουδῇ πάσῃ μεταδιδόναι, μάθοις ἀφ' ὧν καὶ ἐν ἑτέρῳ φησὶ
ὁ Παῦλος· *Καὶ κατανοῶμεν ἀλλήλους εἰς παροξυσμὸν ἀγά*
πης (β)· τουτέστιν, εἰς παράθηξιν, εἰς διέγερσιν. Εἰπὼν δέ
Ἀναγεγεννημένοι οὐκ ἐκ σπορᾶς φθαρτῆς, ἀλλὰ ἀφθάρτου
διὰ λόγου ζῶντος θεοῦ καὶ μένοντος εἰς τὸν αἰῶνα· παρα
τίθησιν ἐξουδενωτικῶς καὶ τὸ τῆς ἀνθρωπίνης δόξης εὔφθαρ
τον, καὶ, οἷον εἰπεῖν, ἀνύπαρκτον, ταύτῃ τοὺς ἀκροατὰς ὑπο
λιχνεύων τῶν προβεβλημένων ὑπ' αὐτοῦ ἔχεσθαι, ὡς τῶν μὲν
τὸ ἑστὸς ἐχόντων καὶ διαιωνιζόντων· τῶν δὲ, φθανόντων τ
φθορᾷ τὴν ὑπάστασιν. *Χόρτος* ἐνταῦθα, καὶ, *ἄνθος χόρτου*
τὸ καὶ τοῦ χόρτου πρὸς ὕπαρξιν ἀσθενέστερον εἰς πίστιν το
λόγου παράγεται· οἷς καὶ Δαυὶδ τὴν καθ' ἡμᾶς ἀπεικάζε
ζωήν (γ). Οὕτω δὲ τὴν δόξαν ἡμῶν εὐτελίσας, ἀναλαμβάνε
πάλιν καὶ διδάσκει σαφέστερον, τί ἐστι τὸ ἀναγεννῆσαν αὐ
τοὺς *διὰ λόγου ζῶντος θεοῦ, καὶ μένοντος εἰς τὸν αἰῶνα*
καὶ φησι· *Τοῦτο δέ ἐστι τὸ ῥῆμα, τὸ εὐαγγελισθὲν εἰς ὑμᾶς*
Εἰς τὸν αἰῶνα δὲ *μένειν* αὐτὸ διαβεβαιοῦται, συμφώνως τῷ
Κυρίῳ. Καὶ γὰρ καὶ αὐτός φησιν· *Ὁ οὐρανὸς καὶ ἡ γῆ πα*
ρελεύσεται· οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι (δ). Δεῖ δ

(α) Ἰακ. Γ', 13. Δ', 13. (β) Ἑβρ. Ι, 24. (γ) Ψαλμ. ΡΒ', 15
(δ) Ματθ. ΚΔ', 35.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰδέναι, ὅτι τὸ, *Εἰς φιλαδελφίαν ἀνυπόκριτον*, οὕτω χρὴ προφέρειν· *Ἐκ καθαρᾶς καρδίας ἀλλήλους ἀγαπήσατε ἐκτενῶς, εἰς φιλαδελφίαν ἀνυπόκριτον*· αἱ γὰρ ἐκβάσεις τῶν πραγμάτων ἐπακολουθεῖν εἰώθασι τοῖς δι' αὐτὰς πραγματευομένοις. Ἐπεὶ οὖν τῇ ἐκ καθαρᾶς καρδίας ἀλλήλων ἐκτενεῖ ἀγάπῃ ἡ ἀνυπόκριτος ἐπακολουθεῖ φιλαδελφία, καλῶς ἔχει, ἡγεῖσθαι μὲν τὸ, *ἐκ καθαρᾶς καρδίας*, ἕπεσθαι δὲ τὸ, *εἰς φιλαδελφίαν*. Ἐπισημαντέον μέντοι, ὅτι καὶ τὴν, *εἰς*, πρόθεσιν μεταλαμβάνει εἰς τὴν, *διά· ἵνα ᾖ, διὰ φιλαδελφίαν*.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τοῦ ἐπαξίως τῆς υἱοθεσίας ζῆν ἐν Χριστῷ, πρὸς ὠφέλειαν καὶ τῶν ἔξωθεν, πρὸς δόξαν θεοῦ.

Κεφ. II, 1 Ἀποθέμενοι οὖν πᾶσαν κακίαν καὶ πάντα δόλον, καὶ ὑποκρίσεις, καὶ φθόνους, καὶ πάσας τὰς 2 καταλαλιάς, ὡς ἀρτιγέννητα βρέφη, τὸ λογικὸν ἄδολον γάλα ἐπιποθήσατε, ἵνα ἐν αὐτῷ αὐξηθῆτε 3 εἰς σωτηρίαν· εἴπερ ἐγεύσασθε, ὅτι χρηστὸς ὁ Κύ- 4 ριος (α)· πρὸς ὃν προσερχόμενοι, λίθον ζῶντα, ὑπὸ ἀνθρώπων μὲν ἀποδεδοκιμασμένον (β), παρὰ δὲ θεῷ 5 ἐκλεκτὸν, ἔντιμον· καὶ αὐτοὶ ὡς λίθοι ζῶντες οἰκοδομεῖσθε, οἶκος πνευματικὸς, ἱεράτευμα ἅγιον, ἀνενέγκαι πνευματικὰς θυσίας, εὐπροσδέκτους τῷ θεῷ 6 διὰ Ἰησοῦ Χριστοῦ. Διότι περιέχει ἐν τῇ γραφῇ· «Ἰδοὺ, τίθημι ἐν Σιὼν λίθον ἀκρογωνιαῖον, ἐκλεκτὸν, ἔντιμον· καὶ ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ μὴ καταισχυνθῇ (γ).»

Τῆς πνευματικῆς ἀναγεννήσεως τὴν ὑπεροχὴν πρὸς τὴν κατὰ

(α) Ψαλμ. ΛΓ', 9. (β) Ψαλμ. ΡΙΖ', 22.
(γ) Ἡσ. ΚΗ', 16. Β', 14. Ρωμ. Θ', 33.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σάρκα γέννησιν ἐνδειξάμενος, καὶ τῆς θνητῆς δόξης τὸ εὐτελὲς παραστήσας, ὅτι ἡ μὲν γέννησις, φθαρτὴ καὶ ῥυπαρά· ἡ δὲ δόξα, κατ' οὐδὲν τῶν ἐαρινῶν ἀνθέων διαφέρουσα, οὐ μέντοι καὶ τὸν τοῦ Κυρίου λόγον πάσχειν ταὐτό· πᾶσαν μὲν γὰρ ὑπάληψιν ἀνθρωπίνην ταχέως παύεσθαι, ἀλλ' οὐχὶ καὶ τὸν λόγον τοῦ θεοῦ· ἀλλὰ τὸ διαιωνίζον τοῦτον ἀεὶ ἔχειν, καὶ τὰς ἐπαγγελίας ἀψευδεῖς· τοῦτο γὰρ αὐτῷ βούλεται ἡ προσθήκη τοῦ, τὸ *εὐαγγελισθὲν εἰς ὑμᾶς*. Ταῦτα διὰ τῶν ἀνωτέρω προεξυφάνας, ἀφ' ἑκάστου λοιπὸν τὸ ἐπωφελὲς λαμβάνων καὶ πρὸς τὴν χρείαν συντείνον, τοῦ ἠθικοῦ λόγου τὴν διδασκαλίαν ποιεῖται, καί φησιν· *Ἀποθέμενοι οὖν πᾶσαν κακίαν*· τοσαῦτα καὶ τοιαῦτα διὰ τῶν ὀλίγων τούτων ὑποθηλῶν· τοὺς γὰρ τῇ ἀφθάρτῳ ἀναγεννηθέντας ζωῇ, τοῖς τῆς κακίας ἁλίσκεσθαι βρόχοις οὐ δίκαιον, οὐδὲ τὸ μὴ ὂν, τοῦ ὄντος προτιμᾶν. Οὐδὲ γὰρ τὸ κακὸν οὐσία· ἀλλὰ περὶ τὸ πλημμελὲς τῆς γεννητῆς οὐσίας στρεφόμενον· πολὺ δὲ τὸ διαλλάττον ζωῆς ἐνυποστάτου πρὸς τὸ μόνον παρυφιστάμενον. Οἱ δὲ αὐτοὶ καὶ δόλου ἐλεύθεροι ἀποφανθῆναι ἄξιοί, φησι, καὶ ὑποκρίσεως, καὶ φθόνου, καὶ πάσης καταλαλιᾶς. Ὅ,τε γὰρ δόλος καὶ ἡ ὑπόκρισις, πόῤῥω ἀληθείας καὶ τοῦ εὐαγγελισθέντος ὑμῖν λόγου· ὡς τοῦ μὲν δόλου, ἐπ' ἀπωλείᾳ τῶν ἀπατωμένων χωροῦντος· τῆς δὲ ὑποκρίσεως, ἐν ἑτερότητι τοῦ ὄντος προϊούσης, ὧν ἀπεναντίας ὁ κατηχήσας ὑμᾶς σωτήριος λόγος ὁρᾶται προβαίνων. Φθόνος δὲ καὶ καταλαλιὰ ποίαν ἕξει χώραν ἐν ὑμῖν, οἱ τῷ τῆς φιλαδελφίας ἀῤῥήκτῳ συνδέσμῳ σφιγγόμενοι, ὑπ' οὐδενὸς τῶν διϊστάντων διαβῆναι δύνασθε; Φθόνος δὲ καὶ καταλαλιὰ, ὅτι διαστάσεως αἴτια καὶ μισαδελφίας, ἐκεῖνος ἀγνοεῖ, ὁ καὶ τὸν Κάϊν καὶ τὴν κατ' αὐτὸν τραγῳδίαν ἀγνοήσας, ὃς διὰ τὸν φθόνον καὶ τῆς ἀδελφικῆς ἀπερῤῥάγη συναφείας, καὶ δόλον ἐνεκίσησε καὶ ὑπόκρισιν καὶ φόνον (α). Ἀλλ' οὐδὲ καταλαλιᾶς ὁ

(α) Γεν. Δ', 8.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φθονῶν καθαρεύει, εἴπερ ἱκανοὶ τοὺς λόγους πιστώσασθαι οἱ σύγγονοι τοῦ Ἰωσὴφ, μυρία τούτου πρὸς τὸν πατέρα κατειπόντες (α). Διά τοι ταῦτά, φησι, τούτων ἁπάντων καθαρεύοντες, *ὡς ἀρτιγέννητα βρέφη πρόσιτε·* (τῶν γὰρ τοιούτων εἶναι καὶ τὴν βασιλείαν ὁ Κύριος ἀπεφήνατο (β)·) καὶ τῷ ἀδόλῳ γάλακτι τρεφόμενοι, αὔξεσθε εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ (γ)· *γευσάμενοι γὰρ*, τουτέστι, διὰ μεταχειρίσεως τῶν κατὰ τὸ εὐαγγέλιον προβάντες ἱερῶν ἐνταλμάτων, αἰσθήσει ἐγνώκατε τὸ τῆς διδασκαλίας χρηστόν· αἴσθησις γὰρ παντὸς λόγου πρὸς γνῶσιν ἐναργεστέρα, ὅτι καὶ τὸ εἰς πεῖραν ἧκον τοῦ διὰ λόγου παντὸς χαριέστερον. Γευσάμενοι τοίνυν τῆς τοῦ Κυρίου χρηστότητος, καὶ αὐτοὶ τὸ τῆς χρηστότητος ἀγαθὸν εἰς ἄλλους ἐπιδεικνύμενοι, καὶ ὡς *λίθῳ ζῶντι* ἀναθέμενοι ἑαυτοὺς τῷ ἀκρογωνιαίῳ, *τῷ ἀποδοκιμασθέντι μὲν ὑπὸ ἀνθρώπων, παρὰ δὲ θεῷ ἐντίμῳ καὶ ἐκλεκτῷ*, καὶ ὄντι, καὶ διὰ τῶν προφητῶν κατηγγελμένῳ, συσφίγγεσθε πρὸς ἑαυτούς, δι' ἀγάπης ἑνούμενοί τε καὶ συναρμολογούμενοι εἰς τὴν τοῦ πνευματικοῦ οἴκου συμπλήρωσιν, μηδὲν τῆς τῶν ἀνθρώπων φροντίζοντες ἐξουδενώσεως· ὅτι μηδὲ ὁ ὑπὸ τούτων ἀποδοκιμασθεὶς ἀκρογωνιαῖος Χριστός· καὶ συναρμολογηθέντες δὲ, καὶ εἰς οἶκον πνευματικὸν ἑαυτοὺς καταρτίσαντες, καὶ *ἱεράτευμα ἅγιον* ἀποφήναντες, *ἀνενέγκατε θυσίας πνευματικὰς*, τῶν ἀλόγων θυμάτων μᾶλλον εὐαρεστουμένας θεῷ. Μὴ γὰρ οἴεσθε, τὸν πρὸς ἀλλήλους σύνδεσμον, τὸν διὰ τῆς ἀγάπης κρατυνόμενον, μὴ ἐσχηκότες, ἀμώμους ἀναφέρειν θυσίας θεῷ· *ἐπαίροντες* γάρ, φησιν, *ὁσίους χεῖρας, χωρὶς ὀργῆς καὶ διαλογισμῶν* (δ). Πῶς γὰρ ὁ διὰ προσευχῆς ἑαυτὸν σπεύδων ἑνοῦν τῷ θεῷ, τεύξεται τούτου, αὐτὸς ἑαυτὸν δι' ὀργῆς καὶ διαλογισμῶν πονηρῶν τοῦ ἀδελφοῦ ἀποσπῶν;

(α) Γεν. Κεφ. ΔΖ'. (β) Λουκ. ΙΗ', 16.
(γ) Ἐφεσ. Δ', 13. (δ) Α' Τιμ. Β', 8.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

7 Ὑμῖν οὖν ἡ τιμὴ, τοῖς πιστεύουσιν· ἀπειθοῦσι δὲ, λίθον, ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος
8 ἐγενήθη εἰς κεφαλὴν γωνίας (α)· καὶ λίθος προσκόμματος, καὶ πέτρα σκανδάλου (β)· οἳ προσκόπτουσι, τῷ λόγῳ ἀπειθοῦντες, εἰς ὃ καὶ ἐτέθησαν.

Ὑμῖν οὖν ἡ τιμὴ, τοῖς πιστεύουσιν.] Πρὸς τοῦ εἰπόντος θεοῦ τὸ, *τίθημι*, ἡ τιμὴ δηλονότι ἀπονέμεται· πρὸς γὰρ τοὺς ἀπειθοῦντας τοῦτο καὶ νῦν φησὶν ὁ θεός· *Τίθημι ὑμῖν ἐν Σιὼν λίθον προσκόμματος, θς καὶ πέτρα σκανδάλου.* Ἀλλὰ *λίθος προσκόμματός* ἐστι τοῖς *ἀπειθοῦσιν· οἳ προσκόπτουσι, τῷ λόγῳ ἀπειθοῦντες, εἰς ὃ καὶ ἐτέθησαν.* Ἔσται οὖν τὸ ὅλον οὕτως· *Ἰδοὺ, τίθημι ἐν Σιὼν λίθον ἀκρογωνιαῖον, ἔντιμον, ἐκλεκτόν· καὶ ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ μὴ καταισχυνθῇ· ἔντιμον ὑμῖν, τοῖς πιστεύουσιν, ἀπειθοῦσι δὲ, λίθον προσκόμματος· ὃν λίθον ἀπεδοκίμασαν μὲν οἱ οἰκοδομοῦντες· οὗτος δὲ ἐγενήθη εἰς κεφαλὴν γωνίας·* συνάπτων μὲν τοὺς πιστεύοντας εἰς αὐτόν· τοῖς ἀπειθοῦσι δὲ λίθος προσκόμματος· *οἳ προσκόπτουσι, τῷ λόγῳ*, δηλονότι, τοῦ εὐαγγελίου, *ἀπειθοῦντες· εἰς ὃ καὶ ἐτέθησαν.* Τοῦτο δὲ τὸ, *εἰς ὃ καὶ ἐτέθησαν*, οὐχ ὡς ἀπὸ τοῦ θεοῦ εἰς τοῦτο ἀφωρισμένοις εἴρηται· οὐδεμία γὰρ αἰτία ἀπωλείας παρὰ τοῦ πάντας ἀνθρώπους θέλοντος σωθῆναι (γ) βραβεύεται· ἀλλὰ τοῖς ἑαυτοὺς σκεύη κατηρτικόσιν ὀργῆς καὶ ἡ ἀπείθεια ἐπηκολούθησε, καὶ εἰς ἣν παρεσκεύασαν ἑαυτοὺς τάξιν ἐτέθησαν. Εἰ γὰρ αὐτεξούσιος ὁ ἄνθρωπος γέγονεν, ἅτε λογικῆς φύσεως, καὶ οὐκ ἔστι διάζεσθαι τὸ αὐτεξούσιον, οὐκ ἂν εἰκότι μέμψαιτό τις λόγῳ τῷ τοιαύτης λήξεως ἀξιώσαντι τυχεῖν, ἧς διὰ τῶν αὐτοῦ ἔργων ὁ ταῦτα δράσας ἑαυτῷ ἐμνηστεύσατο. *Ἀκρογωνιαῖος* δὲ *λίθος* εἴρηται ὁ Χριστὸς, ὡς τοὺς δύο τοίχους, τοὺς τὸν πνευματικὸν οἶκον ἀποτελοῦντας, ἤτοι, τὸν μὲν ἐξ ἐθνῶν, τὸν δὲ ἐξ Ἰουδαίων,

(α) Ψαλμ. ΡΙΖ', 22. (β) Ἡσ. Η, 14. (γ) Α' Τιμ. Β', 4.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διὰ τῆς ἑαυτοῦ συνάπτων ἐπαφῆς, καὶ εἰς μίαν συσφίγγων ἁρμολογίαν, τῶν μὲν τὰς ἀνωφελεῖς ἀφανίζων θυσίας, τῶν δὲ τὴν δαιμονιώδη μετατιθεὶς εἰς εὐσέβειαν δεισιδαιμονίαν.

9 Ὑμεῖς δὲ, γένος ἐκλεκτὸν, βασίλειον ἱεράτευμα,
ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν· ὅπως τὰς ἀρε-
τὰς ἐξαγγείλητε τοῦ ἐκ σκότους ὑμᾶς καλέσαντος
10 εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς· οἱ ποτὲ οὐ λαὸς,
νῦν δὲ λαὸς θεοῦ· οἱ οὐκ ἐλεημένοι, νῦν δὲ ἐλεηθέντες.

Διαβαλὼν τὴν τῶν ἀπειθούντων κακοτροπίαν, καὶ ὅπως αὐτοὶ ἑαυτοῖς παραίτιοι κατεστάθησαν ἀπειθείας· νῦν μεταβαίνει πρὸς ἔπαινον τῶν κατωρθωκότων, καί φησιν· Ὅτι *ὑμεῖς, γένος ἐκλεκτὸν, βασίλειον ἱεράτευμα*· ὥσπερ εἰ ἔλεγεν· Ἐκεῖνοι μὲν διὰ σκληρότητα καὶ ἀπείθειαν, προσέκοψαν τῷ ἀκρογωνιαίῳ, ἀλλ' οὐ συνῳκοδομήθησαν· ὑμεῖς δὲ, οὐχ οὕτως· ἀλλὰ δι' εὐπείθειαν συνῳκοδομήθητε εἰς βασίλειον ἱεράτευμα, ὡς γένος ἐκλεκτὸν, ὡς ἔθνος ἅγιον. Πλὴν, ἵνα μὴ τῷ περιττῷ ἐπαίνῳ ἐκλύσῃ αὐτοὺς, ἄλλως τε καὶ ἵνα μὴ ἀποκληρωτικῶς δόξωσιν ἔχειν τὸ *ἅγιον ἔθνος*, καὶ ὅσα ἑξῆς· καὶ ὅτι διὰ τὸ τοῦ Ἀβραὰμ εἶναι γένος καὶ μηδέποτε προσκόψαι, ταύτης ἠξιώθησαν τῆς τιμῆς, ἐπάγει, καταστέλλων αὐτῶν τὸ φρόνημα, καί φησιν· Ὅτι μὴ μέγα ἐπὶ τῷ γένει φρονεῖτε· οὐ γὰρ διὰ τὸν Ἀβραὰμ ἐξελέγητε εἰς βασίλειον ἱεράτευμα· οἱ γὰρ ἐξ αὐτοῦ προελθόντες, διεσταλμένην εἶχον τὴν ἱερατείαν πρὸς τὴν βασιλείαν. Οὐ διὰ τὸν Ἀβραὰμ τοίνυν ἔθνος ἐστὲ ἅγιον, καὶ γένος ἐκλεκτὸν, καὶ εἰς βασίλειον ἱεράτευμα ἀφωρισμένοι· οὐδὲν γὰρ τούτων ἐχρημάτισεν Ἀβραάμ· ἀλλὰ διὰ Χριστὸν, *ὃς καὶ ἱερεὺς κατὰ τὴν τάξιν Μελχισεδὲκ ἐχρημάτισε* (α), καὶ βασιλεὺς δίκαιος καὶ σώζων, πραΰς καὶ ἐπὶ πῶλον ἐπιβεβηκὼς ὄνου (β). Ἐξ αὐτοῦ τοίνυν, τοῦ τὰ ἀμφότερα ἐσχηκότος, διὰ τοῦ ἁγίου ἀναγεννηθέντες βαπτίσματος, εἰκότως καὶ *γένος ἐκλεκτὸν*

(α) Ψαλμ. ΡΘ', 4. Ἑβρ. Ε', 6. (β) Ζαχ. Θ', 9. Ματθ. ΚΑ', 5.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χρηματίζετε, καὶ *βασίλειον ἱεράτευμα*. Τοῦτο δὲ ἐλέῳ αὐτοῦ τοῦ *ἐκ σκότους εἰς τὸ θαυμαστὸν* αὐτοῦ φῶς *καλέσαντος* ἔχετε. Διὸ διὰ τῶν τοῦ φωτὸς ἔργων ὑμῶν τοῖς ἄλλοις ἀνθρώποις ἐξαγγέλλετε τὰς ἀρετὰς αὐτοῦ. Τοῦτο μὲν οὖν, φησίν, ἐκ τῆς ἐκείνου ἔχετε φιλανθρωπίας· ἐπεὶ, τόγε εἰς ὑμᾶς ἦκον, *λαὸς ἐστὲ, οἱ ποτὲ οὐ λαὸς, καὶ ἠλεημένοι, οἱ οὐκ ἐλεημένοι*. Ἀνεπαχθέστερον δὲ τὸν λόγον ποιῶν, ἐξ ὧνπὲ πιστοῦται τὸν λόγον τοῦ ὀνειδισμοῦ (α). Ἐξαγγέλλετε τοιγαροῦν δι' ἀγαθοεργίας τὰς ἀρετὰς αὐτοῦ. Πῶς δὲ ἐξαγγέλλουσιν; Αὐτὸς ὁ Κύριος διδάσκει, δι' ὧν φησίν· *Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν, τὸν ἐν τοῖς οὐρανοῖς* (β). *Λαὸς* δὲ *εἰς περιποίησιν*, ἀντὶ τοῦ, εἰς κτῆσιν, ἤτοι, εἰς κληρονομίαν. Πάντες μὲν γὰρ κτίσμα θεοῦ· κτῆμα δὲ, μόνοι οἱ διὰ τῆς ἑαυτῶν ἀγαθοεργίας τούτου ἠξιωμένοι. *Ὅπως τὰς ἀρετὰς ἐξαγγείλητε.*] Διὰ τοῦτό, φησιν, ἐξελέγητε, ὅπως διὰ τῆς εὐπειθείας, διὰ τῶν ἀγαθῶν ὑμῶν ἔργων, κήρυκες χρηματίσητε τῆς ἀρετῆς τοῦ καλέσαντος ὑμᾶς.

11 Ἀγαπητοὶ, παρακαλῶ ὡς παροίκους καὶ παρεπι-
δήμους, ἀπέχεσθαι τῶν σαρκικῶν ἐπιθυμιῶν, αἵ-
12 τινες στρατεύονται κατὰ τῆς ψυχῆς· τὴν ἀναστροφὴν ὑμῶν ἔχοντες καλὴν ἐν τοῖς ἔθνεσιν· ἵνα, ἐν ᾧ καταλαλοῦσιν ὑμῶν ὡς κακοποιῶν, ἐκ τῶν καλῶν ἔργων ἐποπτεύσαντες, δοξάσωσι τὸν θεὸν ἐν ἡμέρᾳ ἐπισκοπῆς.

Τὸ ἑξῆς οὕτως· *Ἀγαπητοὶ, παρακαλῶ ὑμᾶς ὡς παροίκους ὄντας καὶ παρεπιδήμους τοῦ κόσμου τούτου, ἀπέχεσθαι τῶν σαρκικῶν ἐπιθυμιῶν, αἵτινες στρατεύονται κατὰ τῆς ψυχῆς ὑμῶν*. Ἔθος γάρ ἐστι τοῖς διδασκάλοις μετὰ τὸν δογματικὸν λόγον, τὸν ἠθικὸν εἰσάγειν· ὃ καὶ νῦν ὁ μακάριος οὗτος ποιεῖ.

(α) Ὡσ. Α', 9. 10. Β', 23. (β) Ματθ. Ε', 16.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀγαπητοὺς δὲ αὐτοὺς, οὐκ ἀγαπωμένους καλεῖ· διὰ πάντα γάρ εἰσιν ἐπιπόθητοι· οἱ γὰρ διά τι, *ἀγαπώμενοι* λέγονται, οὐκ *ἀγαπητοί*. Τὰς δὲ *σαρκικὰς ἐπιθυμίας στρατεύεσθαί* φησι *κατὰ τῆς ψυχῆς*· ἐπεί τοι, καὶ κατὰ τὸν μακάριον Παῦλον, *ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος* (α)· αἱ γὰρ τῆς σαρκὸς ἐπιθυμίαι, περὶ τὴν ἀπόλαυσιν στρεφόμεναι τῶν αἰσθητῶν, συνθλοῦσι τὸν λογισμὸν, καὶ ἀνδραποδώδη τὴν ψυχὴν ἀποτελοῦσι. Παρακαλῶ δέ, φησι, καὶ τοῦτο, *τὴν ἐν τοῖς ἔθνεσιν ὑμῶν ἀναστροφὴν ἔχειν καλήν*· μετείληπται γὰρ τὸ, ἔχειν, εἰς τὸ, *ἔχοντες*. *Καταλαλοῦντας* δὲ ἡμῶν εἰσάγει τοὺς ἐθνικούς. Καὶ εἴ τις βούλεται τοῦτο μαθεῖν, ἐκ τῶν Εἰρηναίῳ, τῷ Λουγδούνου τῆς Κελτικῆς ἐπισκόπῳ, περὶ Σάγκτου καὶ Βλανδίνης τῶν μαρτύρων γραφέντων μάθοι ἂν ἀκριβῶς. Ὡς δὲ διὰ βραχέων παραθέσθαι, ἔστι ταῦτα· «Χριστιανῶν γὰρ κατηχουμένων δούλους Ἕλληνες συλλαβόντες· εἶτα μαθεῖν τι παρὰ τούτων δῆθεν ἀπόῤῥητον περὶ Χριστιανῶν ἀναγκάζοντες, οἱ δοῦλοι οὗτοι, μὴ ἔχοντες πῶς τὸ τοῖς ἀναγκάζουσι καθ' ἡδονὴν ἐρεῖν, παρόσον ἤκουον τῶν δεσποτῶν, τὴν θείαν μετάληψιν αἷμα καὶ σῶμα εἶναι Χριστοῦ, αὐτοὶ νομίσαντες τῷ ὄντι αἷμα καὶ σάρκα εἶναι, τοῦτο ἐξεῖπον τοῖς ἐκζητοῦσιν. Οἱ δὲ, λαβόντες, ὡς αὐτόχρημα τοῦτο τελεῖσθαι χριστιανοῖς, καὶ δὴ τοῦτο τοῖς ἄλλοις Ἕλλησιν ἐξεπόμπευον· καὶ τοὺς μάρτυρας Σάγκτον καὶ Βλανδίναν ὁμολογῆσαι διὰ βασάνων ἠνάγκαζον. Οἷς εὐστόχως Βλανδίνα ἐπαῤῥησιάσατο, Πῶς ἂν, εἰποῦσα, τούτων ἀνάσχοιντο οἱ μηδὲ τῶν ἐφειμένων κρεῶν δι' ἄσκησιν ἀπολαύοντες (1);» *Ἡμέραν* δὲ *ἐπισκοπῆς*, τὴν κατὰ κόσμον ἐξέτασιν καλεῖ. Ἐξετάσεως γὰρ ὑπ' αὐτῶν τοῦ βίου ἡμῶν γινομένης, εἶτα πρὸς τὸ ἐναντίον τῆς ὑπολήψεως τῶν πραγμάτων εὑρισκομένων, αὐτοί τε πρὸς οἷς αἰσχύνονται ἐπανορθοῦνται, καὶ ὁ θεὸς δοξάζεται.

(α) Γαλ. Ε, 17 (1) Ἴδε καὶ Εὐσεβ. Βιβλ. Ε'. Κεφ. Α'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῆς πρὸς ἄρχοντας ὑποταγῆς καὶ φιλαδελφίας καὶ θεοσεβείας· ἐν ᾧ, περὶ δούλων ὑποταγῆς καὶ ἀνεξικάκου ὑπομονῆς διὰ Χριστόν· περὶ ὑπακοῆς γυναικῶν καὶ ὁμονοίας τῆς πρὸς τοὺς ἄνδρας, ἐπὶ σωτηρίᾳ τῇ ἐν πνεύματι, εἰς τύπον Σάρρας· περὶ τῆς ἀνδρῶν πρὸς γυναῖκας συμπεριφορᾶς· περὶ τῆς πρὸς ἅπαντας ἐπιεικοῦς ἀνεξικακίας, ἧς τύπος ἡ ἐπὶ Νῶε τοῦ θεοῦ φιλανθρωπία, ἐφ' ἡμᾶς δὲ ἡ διὰ τοῦ βαπτίσματος τοῦ Χριστοῦ συμπάθεια.

13 Ὑποτάγητε οὖν πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν
14 Κύριον· εἴτε βασιλεῖ, ὡς ὑπερέχοντι, εἴτε ἡγεμόσιν, ὡς δι' αὐτοῦ πεμπομένοις εἰς ἐκδίκησιν μὲν
15 κακοποιῶν, ἔπαινον δὲ ἀγαθοποιῶν· (ὅτι οὕτως ἐστὶ τὸ θέλημα τοῦ θεοῦ, ἀγαθοποιοῦντας φιμοῦν
16 τὴν τῶν ἀφρόνων ἀνθρώπων ἀγνωσίαν·) ὡς ἐλεύθεροι, καὶ μὴ ὡς ἐπικάλυμμα ἔχοντες τῆς κακίας
17 τὴν ἐλευθερίαν, ἀλλ' ὡς δοῦλοι θεοῦ. Πάντας τιμήσατε· τὴν ἀδελφότητα ἀγαπᾶτε· τὸν θεὸν φοβεῖσθε· τὸν βασιλέα τιμᾶτε.

Ὑποτάγητε οὖν πάσῃ ἀνθρωπίνῃ κτίσει.] *Κτίσιν ἀνθρωπίνην*, τὰς ἀρχὰς λέγει, τὰς χειροτονητὰς ὑπὸ τῶν βασιλέων· ἢ καὶ αὐτοὺς τοὺς βασιλεῖς· καθότι καὶ αὐτοὶ ὑπὸ ἀνθρώπων ἐτάχθησαν, ἤτοι, ἐτέθησαν. Οἶδε γὰρ ἡ Γραφὴ καὶ τὴν θέσιν *κτίσιν* καλεῖν, ὡς ἐν τῷ· *Ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καιρὸν ἀνθρωπον (α)· ἀντὶ γὰρ τοῦ, θήσῃ, ἤτοι, κατατάξῃ. Φησὶν οὖν· Ὑποτάγητε τοῖς κοσμικοῖς ἄρχουσιν· ὑποτάγητε *δὲ διὰ τὸν Κύριον*· τὸ δὲ, *διὰ τὸν Κύριον*, ἀντὶ τοῦ, ὡς ὁ Κύριος προσέταξε. Τί δὲ ὁ Κύριος προσέταξεν; *Ἀπόδοτε τὰ Καίσαρος, Καίσαρι, καὶ τὰ τοῦ θεοῦ, τῷ θεῷ* (β). Ὥστε ὅ,τι ἂν ἔξω προστάσσωσι τοῦ θεοῦ, παρὰ τὴν διάταξιν ὂν τοῦ θεοῦ, οὐχ ὑπακουστέον αὐτοῖς. Τοῦτο δὲ ὅλως καὶ ὁ Κύριος, καὶ ὁ τούτου μαθητὴς ἐντέλλεται, ἵνα μὴ ἔχωσι λέγειν Ἕλληνες, ὡς ἀνατροπὴν φέρει τοῦ βίου ὁ χριστιανισμὸς, καὶ ἀταξίας ἐστὶ καὶ συγχύσεως αἴτιος. Προστίθησι δὲ τὸ, *διὰ τὸν Κύριον*, καὶ διὰ τοὺς πιστούς. Εἰκὸς γάρ τινας αὐτῶν ἐρεῖν· Ὅτι τῆς τῶν οὐρανῶν ἡμᾶς βασιλείας ἀξιῶν, καὶ μέγα ἡμῖν ἀξίωμα διὰ τούτου περιτιθείς, τί πάλιν ἡμᾶς εὐτελίζει, κοσμικοῖς ἄρχουσιν ὑποτάσσων ἡμᾶς; Εἶτις οὖν ταῦτα ἐρεῖ, μαθέτω, φησὶν, ὡς οὐκ ἐμὸς ὁ λόγος τοῦ προστάγματος τούτου, ἀλλὰ τοῦ Κυρίου. Ἔδειξε δὲ καὶ αὐτὸς ὁ Πέτρος, τίσι καὶ ποίοις ἄρχουσιν ὑποτάσσεσθαι δεῖ, ὅτι τοῖς τὸ δίκαιον ἐκδικοῦσιν. Ἐπιφέρει δὲ καὶ τὴν αἰτίαν· *Ὅτι οὕτως ἐστὶ τὸ θέλημα τοῦ θεοῦ*, καὶ ὅτι τὸ περὶ τῆς ὑποταγῆς ἡμῶν, τῆς εἰς τοὺς ἄρχοντας, καλοκἀγαθίας ἐστὶ δεῖγμα, καὶ, τὸ πλέον, τοὺς ἀπίστους αἰσχύνει· ἐν ᾧ γὰρ ὡς ἀλαζόνων ἡμῶν καταλαλοῦσι, καὶ αὐθαδῶν, καὶ ἀνυποτάκτων, ὁρῶντες ἡμᾶς καὶ ταπεινοὺς καὶ πειθηνίους, ἐν οἷς δεῖ, μᾶλλον φιμοῦντο καὶ καταισχύνοιντο. *Ὡς ἐλεύθεροι.*] Τὸ ἑξῆς οὕτως· *Ὑποτάγητε ὡς ἐλεύθεροι, καὶ μὴ ὡς ἐπικάλυμμα ἔχοντες τῆς κακίας τὴν ἐλευθερίαν· ἀλλὰ καὶ ὡς δοῦλοι θεοῦ*, μὴ μόνον ἄρχοντας, ἀλλὰ καὶ *πάντας τιμήσατε, τὴν ἀδελφότητα μὲν ἀγαπῶντες, τὸν δὲ θεὸν φοβούμενοι, τὸν δὲ βασιλέα τιμῶντες*. Τὸ δὲ, *ὡς ἐλεύθεροι*, ὁ μὲν χρυσοῦς Ἰωάννης οὕτως ἀνέπτυξεν εἰπών· « Ὅτι, ἵνα μὴ λέγωσιν· Ἠλευθερώθημεν ἀπὸ

(α) Ἐφισ. Β', 15. (β) Ματθ. ΚΒ', 21.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ κόσμου, οὐρανοπολῖται γεγόναμεν, καὶ σὺ πάλιν ὑποτάσσεις ἡμᾶς τοῖς ἄρχουσι, καὶ ὑπακούειν προτρέπῃ; Τούτου χάριν, φησίν, οὕτως ὑπακούετε *ὡς ἐλεύθεροι*, τουτέστιν, ὡς πιστεύσαντες τῷ ἐλευθερώσαντι, καὶ προσάξαντι τοῦτο ποιεῖν. Οὕτω γὰρ οὐ δόξετε τῆς κατὰ γνώμην κακίας, τουτέστι, τοῦ ἀπειθοῦς καὶ ἀνηκόου ἔχειν προκάλυμμα τὴν ἐλευθερίαν, δι' ἧς ἀναίνεσθε τὴν ὑπακοήν. » Ἔστι δὲ καὶ καθ' ἑτέραν ἐπιβολὴν ἐρεῖν τι περὶ αὐτοῦ. *Ἐλεύθερός* ἐστι κατὰ Κύριον, ὁ μηδενὶ τῶν ἀτόπων ὑπείκων. Ἐπεὶ τοίνυν τὸ ἐν ὑποκρίσει διαβιοῦν, οὐκ ἐλευθέρου, ἀλλὰ πάθεσιν ὑποκειμένου, ἤτοι ἀρεσκείας, ἢ τινος ἄλλης αἰσχρᾶς ἡδονῆς· δι' ἃ καὶ μὴ τοῦτο φαίνεσθαι, ὅπερ ἐστί τις, κατασχηματίζεται, οἷς καὶ δουλεύειν ἀνέχεται· (ξένον δὲ τοῦτο, καὶ τῶν τοῦ θεοῦ θεραπόντων ἀλλότριον) προστάττει νῦν τὴν ὑποταγὴν τοῖς ἄρχουσιν ἐξ ἀληθοῦς καὶ ἀδόλου ἐνδείκνυσθαι τρόπου, ἀλλὰ μὴ δυσμενῶς ἔχοντας πρὸς αὐτούς, ὡς κατηναγκασμένην τὴν ὑπακοὴν ἐνεργεῖν· καὶ τῆς τοιαύτης ὑποκουρούσης ἡμῖν κακίας, τὸ ἄδολον δῆθεν καὶ ἁπλοῦν τοῦ τρόπου ποιεῖσθαι προκάλυμμα, φαινομένην τὴν ὑποταγὴν, ἀλλ' οὐχὶ καὶ ἐκ διαθέσεως ταύτην ἐπιτελοῦντας. *Τὸν θεὸν φοβεῖσθε.*] Σκόπει τὴν ἀκρίβειαν, πῶς, τῷ μὲν θεῷ τὸν φόβον φησὶν ἀπονέμειν· τῷ βασιλεῖ δὲ, τὴν τιμήν. Ὥστε εἰ τῷ θεῷ τὸν φόβον ἀπονεμητέον, τῷ δυναμένῳ καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι (α), οὐκ ἂν ὑπείξωμεν βασιλεῦσιν, ἐπί τι τῶν ἀτόπων παρακαλοῦσιν ἡμᾶς· ὁ γὰρ εἰς τὸν θεὸν φόβος, νικᾷν οἶδε καὶ τὴν εἰς τοὺς βασιλέας τιμήν· μᾶλλον δὲ καὶ τῆς τιμῆς αὐτοὺς ἀποστερήσει ὁ ὑπ' αὐτῶν εἰς κακὰ βιαζόμενος, κατὰ τὸν εἰπόντα ἅγιον· *Ἐξουδένωται ἐνώπιον αὐτοῦ* [πᾶς] *πονηρευόμενος* (β).

18 Οἱ οἰκέται, ὑποτασσόμενοι ἐν παντὶ φόβῳ τοῖς δεσπόταις, οὐ μόνον τοῖς ἀγαθοῖς καὶ ἐπιεικέσιν,

(α) Ματθ. Ι, 28. (β) Ψαλμ. ΙΔ', 4.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

19 ἀλλὰ καὶ τοῖς σκολιοῖς. Τοῦτο γὰρ χάρις, εἰ διὰ
συνείδησιν θεοῦ ὑποφέρει τις λύπας, πάσχων ἀδί-
20 κως. Ποῖον γὰρ κλέος, εἰ ἁμαρτάνοντες καὶ κολα-
φιζόμενοι ὑπομενεῖτε; ἀλλ' εἰ ἀγαθοποιοῦντες καὶ
πάσχοντες ὑπομενεῖτε, τοῦτο χάρις παρὰ θεῷ.
21 Εἰς τοῦτο γὰρ ἐκλήθητε· ὅτι καὶ Χριστὸς ἔπαθεν
ὑπὲρ ὑμῶν, ὑμῖν ὑπολιμπάνων ὑπογραμμόν, ἵνα
22 ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ· ὃς ἁμαρτίαν
οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι
23 αὐτοῦ· ὃς λοιδορούμενος οὐκ ἀντελοιδόρει, πάσχων
24 οὐκ ἠπείλει, παρεδίδου δὲ τῷ κρίνοντι δικαίως· ὃς
τὰς ἁμαρτίας ἡμῶν αὐτὸς ἀνήνεγκεν ἐν τῷ σώματι
αὐτοῦ ἐπὶ τὸ ξύλον, ἵνα, ταῖς ἁμαρτίαις ἀπο-
γευόμενοι, τῇ δικαιοσύνῃ ζήσωμεν· οὗ τῷ μώ-
25 λωπι αὐτοῦ ἰάθητε. Ἦτε γὰρ ὡς πρόβατα πλα-
νώμενα· ἀλλ' ἐπεστράφητε νῦν ἐπὶ τὸν ποιμένα καὶ
ἐπίσκοπον τῶν ψυχῶν ὑμῶν (α).

Οἱ οἰκέται, ὑποτασσόμενοι.] Προσυπακουστέον τὸ, ἦτε, ἵνα ᾖ· Οἱ οἰκέται ἦτε ὑποτασσόμενοι. Ὁμοίως καὶ ἐν τῷ· *Αἱ γυναῖκες* (β). *Ἐν παντὶ φόβῳ.*] Τοῦ *φόβου* πολλαχῶς γενομένου· λέγεται γὰρ *φόβος*, καὶ ὁ σὺν ἐπιστήμῃ· ὃν οὗτος νῦν *διὰ συνείδησιν* φησίν, ὃς καὶ *εὐλάβεια* καλεῖται· λέγεται φόβος καὶ ὁ παθητικὸς, τουτέστιν, ὁ διὰ κολάσεως πεῖράν τισιν ἐγγινόμενος· ὃν καὶ τὰ θηρία φοβεῖται. Λεγομένου πάλιν φόβου καὶ τοῦ *προκαταρκτικοῦ*, ὃς τοῖς τῷ Κυρίῳ προσερχομένοις ἐπακολουθεῖ, διὰ τὸ συνειδέναι ἑαυτοῖς πολλὰ ἐπὶ τιμωρίαν ἐκκαλούμενα, ὃν καὶ ἡ ἐν εὐαγγελίοις πόρνη φοβηθεῖσα προσῆλθε Χριστῷ (γ). Ἀλλὰ καὶ τοῦ *τελειωτικοῦ* φόβου πάλιν λεγομένου, ὃς πᾶσι τοῖς ἁγίοις ἀεὶ πάρεστι, δεδιόσι, μή τι ἐλλίπωσι τῶν ὧν εἰκὸς ἐνυπάρχειν τοῖς εἰς τελείαν ἀγάπην ἀναληφθεῖσι. Τοσαυταχῶς οὖν τοῦ φόβου λεγομένου, εἰ μὲν καὶ διὰ πάντων τούτων δίκαιον τοὺς δούλους

(α) Ἰσ. ΝΓ', 4—12. (β) Α' Πετρ. Γ', 1. (γ) Λουκ. Ζ', 37—48.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῖς ἰδίοις προσφέρεσθαι δε
ἐν παντὶ φόβῳ ὑποτάσσεσθ
παραινῶν νῦν. Ὅ,τε γὰρ πρ
καλῶς ἂν αὐτοὺς διαθεῖτο
πλημμέλειαν ὑποβλέπεσθαι
τοῦ μηδὲν ἀηδὲς ἐννοηθῆναι
σπότῃ. Νῦν γοῦν φόβον τὸν
σὺν ἐπιστήμῃ τοῦ ὀρθοῦ λόγ
τῷ μηδὲν ἁμαρτάνειν παρὰ
τῶν ἐπαγόμενος οἰκέταις.
ἀξιῶν, παρεγγυᾷ καταδέχε
δι' ἁμαρτίας, ἤτοι ἐνεργηθε
λασσομένους, φόβον ἔχοντ
σχοιεν, εὐγνωμόνων μὲν καὶ
θωσιν ἀ.ιονευόντων, ἀλλ' οὔ
μηδὲν ἑαυτῷ συνειδότι κακό
τὸ μέγα, τοῦτο καὶ παρ' ὀλ
παρὰ θεῷ τυγχάνον ἀποδοχῆ
ἀμιλλώμενον· ἐπεὶ καὶ αὐτὸ
τίας· ἁμαρτίαν γὰρ οὐκ ἐποί
ἡμετέρων ἔπασχεν ἁμαρτιῶν
ἤτοι, διὰ τὰς ἀνομίας τοῦ
ὁ προφήτης (β). Ἐπαινετὸν
Ἀλλὰ μὴν καὶ τοῖς ἄλλοις
κροτεῖσθαι· καὶ δῆλον ἀφ' ὧν
δὲ ἀντέθηκε τοῖς ἄλλοις φό
μόνου τούτου εἶναι τὸ ἀξιέπα
ὡς τῶν μὲν, ἐχόντων τὸ παρα
ὀργῆς· τοῦ δὲ, *μηδὲν μηδαμ*
λοιδόρει.] Ἴσως ἐρεῖ τις· Πῶ

(α) Ἡσ. ΝΓ', 9. (β) Ἡσ.

δορούμενον, μὴ ἀντιλοιδορεῖν, μηδὲ πάσχοντα ἀπειλεῖν; καίτοι ὁρῶμεν αὐτὸν, καὶ κύνας ἐνεοὺς καλοῦντα τοὺς Ἰουδαίους (α), καὶ τυφλοὺς, τοὺς Φαρισαίους (β)· καὶ τῷ Ἰούδᾳ ἀπειλοῦντα δι' ὧν φησι· *Καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος* (γ)· καὶ περὶ τῆς πόλεως, τῆς μὴ δεξαμένης τοὺς ἀποστόλους· *Ἀνεκτότερον ἔσται Σοδόμοις, ἢ τῇ πόλει ἐκείνῃ* (δ)· καί· *Ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ* (ε)· καὶ ἄλλα μυρία; Ἐροῦμεν οὖν, ὅτι οὐ τοῦτο λέγει, ὅτι οὐκ *ἐλοιδόρησεν* ὁ Κύριος, ἢ οὐκ *ἠπείλησεν*, ἀλλὰ *λοιδορούμενος οὐκ ἀντελοιδόρει*, οὐδὲ *ἐν τῷ πάσχειν ἠπείλει*· ἀλλ' εἴ τι καὶ ἐλοιδόρησεν, οὐκ ἀντεξαγόμενος τοῖς αὐτὸν λοιδοροῦσιν, ἀλλ' ἐπιτιμῶν καὶ διασύρων τοὺς ἀνεπιστρόφους. Λοιδορηθεὶς γὰρ ἐν τῷ ἀκοῦσαι ἀπὸ τῶν λοιδόρως αὐτῷ προσενεχθέντων· *Δαιμόνιον ἔχεις* (ζ)· καὶ πάλιν, ὅτι· *Ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλεις τὰ δαιμόνια* (η)· καί· *Ἰδοὺ, ἄνθρωπος φάγος καὶ οἰνοπότης* (θ)· ἆρα ἀντελοιδόρησεν αὐτοῖς, εἰπών τι κατ' αὐτῶν βλάσφημον; Οὔμενουν· ἀλλὰ τοῖς μὲν εἶπεν, ὅτι· *Εἰ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι;* τῷ δὲ, *ἄνθρωπος φάγος καὶ οἰνοπότης*, ἀντέθηκε τὴν τῶν παιδίων ἐν τῇ ἀγορᾷ πρὸς τοὺς συμπαίστορας ἀγανακτούντων παραβολὴν, ἐφ' οἷς ηὐλησάμεθα, οὐκ ὠρχήσαντο, καὶ θρηνησάντων, οὐκ ἐκόψαντο (ι). Σταυρούμενος δὲ, καὶ πάσχων κακῶς, προσηύχετο μᾶλλον ὑπὲρ τῶν κακούντων, ἀλλ' οὐκ ἠπείλει. Τῷ δὲ Ἰούδᾳ πρὸ τοῦ προδοῦναι καὶ παθεῖν τι κακὸν, ἠπείλει, ἀναστέλλων αὐτὸν τῆς πονηρᾶς ἐπιχειρήσεως. Ὡσαύτως καὶ τοῖς μὴ δεξομένοις τοὺς μαθητὰς, χεῖρόν τι παθεῖν Σοδομιτῶν ἀπεφήνατο, τὸ μὲν, ἐπὶ ξενοδοχίαν προτρέπων αὐτοὺς, τὸ δὲ, καὶ διὰ τοῦ φόβου ὑπανοίγων τῷ εὐαγγελίῳ τὴν τοῦ κηρύγματος χώραν. Ὥστε

(α) Ματθ. Ζ΄, 6. (β) Ματθ. ΚΓ΄, 16, καὶ ἑξῆς.
(γ) Ματθ. ΚΣ΄, 24. (δ) Ματθ. Ι΄. 15. (ε) Μαρκ. Θ΄, 49.
(ζ) Ἰωαν. Ζ΄, 20. Η΄, 48. (η) Ματθ. ΙΒ΄, 24. 27. (θ) Ματθ. ΙΑ΄, 19.
(ι) Ματθ. ΙΑ΄, 16—18.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

οὐκ ἐν τῷ κακῶς πάσχειν ταῦτα ἠπείλει. Καὶ ἀληθέστατος ὁ περὶ ἀνεξικακίας διὰ τὸν Κύριον τοῦ Πέτρου λόγος, μηδενὶ φάσκων ἀντεξενεχθῆναι αὐτὸν τοῖς ἐπηρεάζειν ἐπιχειροῦσιν. Τὸ μέντοι, *παρεδίδου τῷ κρίνοντι δικαίως*, τῷ θεῷ δηλονότι φησίν, *ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ* (α)· τοῦτο γὰρ τὸ δίκαιον. *Ἵνα ταῖς ἁμαρτίαις ἀπογενόμενοι*·] Ἀντὶ τοῦ, ἀποθανόντες, *τῇ δικαιοσύνῃ ζήσωμεν. Οὗ τῷ μώλωπι.*] Μαστιγωθεὶς γὰρ ὑπὸ Πιλάτου, καὶ μώλωπας ἐπὶ τοῦ σώματος ἔφερεν.

ΚΕΦ. ΙΙΙ, 1 Ὁμοίως αἱ γυναῖκες, ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν, ἵνα καὶ, εἴ τινες ἀπειθοῦσι τῷ λόγῳ, διὰ τῆς τῶν γυναικῶν ἀναστροφῆς ἄνευ λό-
2 γου κερδηθήσωνται, ἐποπτεύσαντες τὴν ἐν φόβῳ
3 ἁγνὴν ἀναστροφὴν ὑμῶν. Ὧν ἔστω οὐχ ὁ ἔξωθεν, ἐμπλοκῆς τριχῶν καὶ περιθέσεως χρυσίων, ἢ ἐνδύ-
4 σεως ἱματίων, κόσμος· ἀλλ' ὁ κρυπτὸς τῆς καρδίας ἄνθρωπος, ἐν τῷ ἀφθάρτῳ τοῦ πραέος καὶ ἡσυχίου πνεύματος, ὅ ἐστιν ἐνώπιον τοῦ θεοῦ πο-
5 λυτελές. Οὕτω γάρ ποτε καὶ αἱ ἅγιαι γυναῖκες, αἱ ἐλπίζουσαι ἐπὶ τὸν θεὸν, ἐκόσμουν ἑαυτὰς, ὑπο-
6 τασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν· ὡς Σάῤῥα ὑπήκουσε τῷ Ἀβραάμ, Κύριον αὐτὸν καλοῦσα, ἧς ἐγενήθητε τέκνα, ἀγαθοποιοῦσαι καὶ μὴ φοβούμε-
7 ναι μηδεμίαν πτόησιν. Οἱ ἄνδρες ὁμοίως, συνοικοῦντες κατὰ γνῶσιν, ὡς ἀσθενεστέρῳ σκεύει τῷ γυναικείῳ ἀπονέμοντες τιμὴν, ὡς καὶ συγκληρονόμοις (1) χάριτος ζωῆς (2), εἰς τὸ μὴ ἐγκόπτεσθαι τὰς προσευχὰς ὑμῶν.

Διὰ πάντων τούτων τὸν ἠθικὸν λόγον συμπεραινόμενος, διὰ βασιλέων, δι' ἀρχόντων, διὰ δεσποτῶν, διὰ δούλων· καὶ τοῖς μὲν βασιλεῦσι καὶ ἄρχουσιν ὑποτάσσεσθαι οἷς δεῖ, καὶ ἐν οἷς δεῖ, νομοθετήσας τοὺς ἀρχομένους, καὶ δείξας

(α) Ῥωμ. Β', 6.
(1) Παρ' ἄλλοις, συγκληρονόμοι. (2) Παρ' ἄλλοις, ζώσης.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διὰ τούτου, ὅτι καὶ αὐτοὶ οἱ ἄρχοντες ἔναυσμά τι δικαιοσύνης ἔχοντες τοὺς νόμους, ὅσα μὲν κατ' αὐτοὺς ποιήσουσιν, οὐ κατακριθήσονται· ὅσα δὲ παρὰ τούτους ἀνόμως καὶ ἀκρίτως καὶ τυραννικῶς, ἐν τούτοις καὶ ἀπολοῦνται· (ἐπὶ συμφέροντι γὰρ τῶν ἐθνῶν ὁ νόμος ἐδόθη αὐτοῖς, ὡς καὶ Παῦλος βοᾷ. Ἀλλὰ καὶ οἱ ἄρχοντες ὁμοίως τοῖς νόμοις ἐπὶ συμφέροντι ἐδόθησαν, ἀλλ' οὐχ, ὡς ἔνιοι κακῶς βούλονται, τοῦ διαβόλου εἶναι τὴν ἐξουσίαν τὴν ἐπὶ γῆς, τῷ διαβόλῳ συναγορεύοντες κατὰ τοῦτο, εἰπόντι πρὸς τὸν Κύριον· *Ταῦτα πάντα ἐμοί δέδοται, καὶ ᾧ ἂν βούλωμαι δίδωμι αὐτά* (α). Οὐ γὰρ τῇ τούτου κελεύσει βασιλεῖς καθίστανται, οἵτινες πρὸς ἐπανόρθωσιν τῶν κακῶν δέδονται, τοῦ διαβόλου μηδὲν τοιοῦτον ἐμπολιτεύεσθαι τοῖς ἀνθρώποις ἐπειγομένου. Ἐδόθησαν γὰρ ἐξουσίαι καὶ ἄρχοντες ὑπὸ θεοῦ· οἱ μέν, εἰς συντήρησιν τοῦ δικαίου, καὶ ἐπανόρθωσιν καὶ ὠφέλειαν τῶν ὑποτεταγμένων· οἱ δέ, διὰ φόβον, πρὸς τιμωρίαν καὶ ἐπίπληξιν τῶν ἁμαρτανόντων· οἱ δέ, καὶ εἰς τὸ τοὺς ἐξυβρίσαντας δίκην τὴν ἀξίαν ἀποτίσαι.) Δείξας οὖν τοῦτο, καὶ ὅτι τὸ ὑποτάσσεσθαι τούτοις ἀγαθόν, τὸ δὲ ἀπειθεῖς εἶναι, κακόν· ὡσαύτως δὲ καὶ τοὺς δούλους ὑπακούειν τοῖς κατὰ σάρκα κυρίοις νομοθετήσας, καὶ ὅτι οἱ ἀναιτίως ὑπὸ τῶν κακῶν κυρίων πάσχοντες καὶ ὑπομένοντες, οὗτοι μάλιστα τὸ εὐδόκιμον ἀποφέρονται· καὶ διὰ τούτων, τρόπον τινά, σωφρονίσας καὶ τοὺς δεσπότας διὰ τῆς διαβολῆς τῶν κακῶν δεσποτῶν· μέτεισι λοιπὸν καὶ ἐπὶ τὴν γυναικωνίτιν, καί φησι· Τὰς γυναῖκας δύο ταῦτα σπουδάζειν, *ὑποτάσσεσθαι τοῖς ἰδίοις ἀνδράσι*, καὶ κόσμου παντὸς καὶ καλλωπισμοῦ ἀλλοτρίας ἀποφαίνειν ἑαυτὰς, μιμουμένας τὰς ἁγίας γυναῖκας. Ἐπεὶ καὶ αὗται, φησι, κόσμον τοῦτον ἤδεισαν μόνον, τὸ πρὸς τοὺς ἑαυτῶν ἄνδρας πειθήνιον. Καὶ τί τὸ ἀπὸ τούτων κέρδος; Ὁ ἀπὸ τῶν ἔξω τῆς πίστεως ἀγαθὸς ζῆλος, ὃς καὶ ἀπὸ τῆς τῶν ἀρχόντων

(α) Λουκ. Δ', 6.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

παρ' ἡμῶν ὑποταγῆς ἀποτίκτεται, καὶ ἡ πρὸς θεὸν ὑπ' αὐτῶν δι' ἡμᾶς εὐχαριστία· ὃ καὶ μέγα καύχημα χριστιανῶν, οὐ βλασφημουμένου δι' ἡμᾶς, ἀλλ' εὐλογουμένου τοῦ ὀνόματος τοῦ θεοῦ καὶ παρὰ τῶν ἐθνῶν διὰ τὴν καλὴν ἀναστροφὴν ἡμῶν. Τὸ δὲ εἰπεῖν· *Ἄνευ λόγου κερδηθήσονται*, ἤτοι σχολάζοντος παντὸς λόγου καὶ πάσης ἀντιλογίας, ἢ ὡς τῆς διὰ τῶν ἔργων ἐπιδείξεως κυριωτέρας οὔσης τῆς διὰ τῶν λόγων περιεργίας· ἄφωνον γὰρ ἔργον, κρεῖσσον ἀπράκτου λόγου. *Ἀλλ' ὁ κρυπτὸς τῆς καρδίας ἄνθρωπος.*] Πᾶσα γὰρ ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως, ἔσωθεν (α). Οἶδε γὰρ καὶ οὗτος κατὰ τὸν μακάριον Δαυὶδ καὶ Παῦλον, ἕτερον τὸν ἐντὸς ἄνθρωπον παρὰ τὸν ἐκτός (β). *Οὕτω γάρ ποτε καὶ αἱ ἅγιαι γυναῖκες ἐκόσμουν ἑαυτάς.*] Ὁρᾷς, ὅτι κόσμον ἐνταῦθα τὴν ὑποταγὴν φησὶ, διὰ τοῦ εἰπεῖν· *Ἐκόσμουν ἑαυτὰς, ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν*; Εἰπὼν δὲ ἀορίστως, *τὰς ἁγίας γυναῖκας*, ἐπάγει καὶ ὡρισμένως τὴν Σάῤῥαν, καὶ, προσκλητικώτερόν τι ποιῶν, καὶ θυγατέρας αὐτάς φησι ταύτης τῆς Σάῤῥας, ἤτοι κατὰ τὴν πίστιν, ἢ καὶ κατὰ τὸ γένος. Ἀνάγκη γὰρ τὰς θυγατέρας μιμεῖσθαι τὰς ἑαυτῶν μητέρας. Μετὰ δὲ τοῦ εὐκόσμου καὶ πρέποντος χριστιανοῖς κόσμου, καὶ ἐλεήμονας αὐτὰς εἶναι παραινεῖ, μηδὲν ὑποβλεπομένας τὸν ἀπὸ τῶν ἀνδρῶν αὐτῶν διὰ τοῦτο ἐκλογισμόν· τοῦτο γὰρ τὸ, *μὴ φοβούμεναι μηδεμίαν πτόησιν*, ἐμφαίνει. Εἰκὸς γὰρ τοὺς ἄνδρας ἔσθ' ὅτε καὶ τῶν ἀναλωμάτων αὐτὰς λόγον ἀπαιτεῖν. Οὕτω μετεωρίσας τὸν λόγον, καὶ τὸ φειδωλὸν καὶ μικρόψυχον τοῦ θήλεος ἐπὶ τὸ ἐλευθεριώτερον χρῆσθαι τοῖς κατὰ τὸν οἶκον παρακαλέσας, ἐπέχει καὶ τὴν τῶν ἀνδρῶν πρὸς τὰς ἑαυτῶν γαμετὰς αὐστηρότητα, καί φησιν· *Οἱ ἄνδρες, κατὰ γνῶσιν συνοικοῦντες*, τουτέστιν, αἴσθησιν λαμβάνοντες τῆς τοῦ θήλεος κουφότητος καὶ τοῦ ἐμπαιγμοῦ ἐν πᾶσι, καὶ εἰς μικροψυχίαν εὐολίσθου, μακρόθυμοι γίνεσθε πρὸς αὐτὰς, μὴ λό-

(α) Ψαλμ. ΜΔ', 14. (β) Ἐφεσ. Δ', 22. 24.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γον ἀπαιτοῦντες πικρῶς τῆς κατὰ τὴν οἰκίαν αὐταῖς εἰς ταμιείαν παρακατατεθέντων. Τοῦτο δὲ, ὡς ἔφθημεν εἰρηκότες, διὰ τὸ ἐλευθερίως αὐτὰς περὶ τὴν εἰς τοὺς πένητας ἐπίδοσιν διαγινομένας, μὴ ἀκριβεῖς εἶναι ἐξεταστὰς τοὺς ἄνδρας παραινεῖ. Ἐμοὶ δὲ δοκεῖ καὶ βαθύτερόν τι διὰ τούτων εἰσάγειν, καὶ σεμνότερον Παύλου αἰνίττεσθαι ἐπὶ τῆς γαμικῆς χρήσεως. Παῦλος μὲν γὰρ ἀναφανδὸν βοᾷ· *Μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου*, καὶ ἑξῆς (α)· οὗτος δὲ σεμνότερον, ὡς ἔφημεν, *γνῶσιν*, εἰπὼν, καὶ διὰ τούτου αἰνιξάμενος τὸ πρᾶγμα, παραινεῖ, ὡς εὐκολωτέρῳ καὶ πρὸς τοῦτο τῷ γυναικείῳ φύλῳ, μὴ ἐπιτιμητικῶς μετὰ σφοδρότητος ποιεῖσθαι τὴν ἀπ' αὐτῶν ἀπόστασιν· ἀλλὰ πρῶτον μὲν ὡς ἀσθενεστέραις συγγνωμονικῶς αὐταῖς χρῆσθαι· εἶτα πείθειν, μετά τινος φειδοῦς τὴν τοῦ τοιούτου καταδέχεσθαι ἀποχήν· (τοῦτο γὰρ βούλεται δηλοῦν, (τὴν φειδώ, φημι,) διὰ τοῦ εἰπεῖν, *ἀπονέμοντες τιμήν*· τιμὴ γὰρ εἰ μή τις περί τι ἐνορᾶται, οὐδὲ φειδὼς ἐπακολουθεῖ.) Εἶτ' οὖν ὡς *ἀσθενεστέραις*, ἢ καὶ ὡς *συγκληρονόμοις χάριτος ζωῆς*, οὕτως αὐταῖς χρῆσθαι περὶ τὰ τοιαῦτα τῶν ὁμιλιῶν δεῖ. Καὶ ὅτι οὐ κακῶς ταύτῃ τῇ ἐννοίᾳ ἐχρησάμεθα, τὸ ἐπιφερόμενον δηλοῖ, *εἰς τὸ μὴ ἐγκόπτεσθαι*, φάσκον, *τὰς προσευχὰς ὑμῶν*. Τίνα γὰρ ἐγκοπὴν φέρει προσευχῆς, ἀνδρὸς πρὸς γυναῖκα αὐστηρία; Πολλὴν μὲν οὖν καὶ προσέχειαν καὶ σπουδὴν ἡ πρὸς ταύτην ἐν καιρῷ προσευχῆς ὀλιγωρία. Ἐμοὶ μὲν οὖν οὕτω δοκεῖ περὶ τούτου· ᾧ δὲ τὸ ἄμεινον κριθείη, οὐ φθόνος ἐμοί.

8 Τὸ δὲ τέλος, πάντες ὁμόφρονες, συμπαθεῖς, φιλά-
9 δελφοι, εὔσπλαγχνοι, φιλόφρονες· μὴ ἀποδιδόντες κακὸν ἀντὶ κακοῦ, λοιδορίαν ἀντὶ λοιδορίας, τοὐναντίον δὲ, εὐλογοῦντες· εἰδότες, ὅτι εἰς τοῦτο
10 ἐκλήθητε, ἵνα εὐλογίαν κληρονομήσητε. « Ὁ γὰρ θέλων ζωὴν ἀγαπᾷν, καὶ ἰδεῖν ἡμέρας ἀγαθὰς,

(α) Α' Κορ. Ζ', 5.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παυσάτω τὴν γλῶσσαν αὐτοῦ ἀπὸ κακοῦ, καὶ χεί-
11 λη αὐτοῦ τοῦ μὴ λαλῆσαι δόλον· ἐκκλινάτω ἀπὸ
κακοῦ, καὶ ποιησάτω ἀγαθόν· ζητησάτω εἰρήνην,
12 καὶ διωξάτω αὐτήν. Ὅτι οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ
δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν· πρόσω-
13 πον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακά (α).» Καὶ τίς
ὁ κακώσων ὑμᾶς, ἐὰν τοῦ ἀγαθοῦ μιμηταὶ γένη-
14 σθε; ἀλλ' εἰ καὶ πάσχοιτε διὰ δικαιοσύνην, μακά-
ριοι. Τὸν δὲ φόβον αὐτῶν μὴ φοβηθῆτε, μηδὲ ταρα-
15 χθῆτε· Κύριον δὲ τὸν θεὸν ἁγιάσατε ἐν ταῖς καρ-
δίαις ὑμῶν (β). Ἕτοιμοι δὲ ἀεὶ πρὸς ἀπολογίαν
παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν
16 ἐλπίδος μετὰ πραΰτητος καὶ φόβου· συνείδησιν
ἔχοντες ἀγαθήν, ἵνα, ἐν ᾧ καταλαλῶσιν ὑμῶν ὡς
κακοποιῶν, καταισχυνθῶσιν οἱ ἐπηρεάζοντες ὑμῶν
τὴν ἀγαθὴν ἐν Χριστῷ ἀναστροφήν.

Τὸ ἑξῆς μετὰ τῆς προειρημένης κατασκευῆς, οὕτω· *Τὸ δὲ τέλος*, ἤτοι, τὸ συνεκτικώτατον, *πάντες ὁμόφρονες ἔσεσθε*, καὶ ἑξῆς· *εἰδότες, ὅτι εἰς τοῦτο ἐκλήθητε, εἰς τὸ εὐλογεῖν*, τουτέστι, πάντας εὖ λέγειν. *Εὐλογεῖτε* γὰρ καὶ Παῦλος φησὶ, *τοὺς διώκοντας ὑμᾶς* (γ). Τοῦτο δὲ ποιοῦντες, *κληρονομήσετε* ὄνομα παρὰ πάντων ἀκούειν, τὸ, *Οἱ εὐλογοῦντες αὐτὸν κληρονομήσουσι γῆν* (δ). Διότι οὐ δίκαιον τὸν τῆς αἰωνίου ζωῆς ἀντεχόμενον, διὰ τῆς γλώσσης τινὰ βλασφημεῖν. Διὰ τοῦτο καὶ Δαυὶδ παραινεῖ, τὴν γλῶσαν καθαρὰν ἔχειν λοιδορίας τοὺς θέλοντας ἐπεράστως διακεῖσθαι πρὸς τὴν ὄντως ζωὴν (ε), καὶ ἑξῆς. Οὕτω γὰρ παρεσκευασμένοι, ἕξετε τὸν παντοδύναμον καὶ παντεπόπτην εὐήκοον καὶ ἡμέρως ἐπιβλέποντα, ἀλλ' οὐχὶ καὶ ὀργίλως, ὥσπερ πρὸς τοὺς κακοποιούς. Εἰ δὲ τοῦτο, τίς ὁ δυνάμενος κακῶσαι ὑμᾶς; Εἰ δὲ καὶ θλῖψις ἐπενεχθείη ὑμῖν, τοῖς τοῦ ἀγαθοῦ ἐργάταις καὶ μιμηταῖς, μὴ ὀλιγωρεῖτε· χαίρετε δὲ, πρῶτον μὲν, ὅτι οὐ κακὰ ταῦτα· ἔπειτα δὲ, ὅτι

(α) Ψαλμ. ΑΓ', 13—17. (β) Ἡσ. Η', 12.
(γ) Ῥωμ. ΙΒ', 14. (δ) Ψαλμ. Δς', 21. (ε) Ψαλμ. ΑΓ', 14.

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ μακάριοι διὰ ταῦτα, ἀλλ' οὐχὶ ἄθλιοι. Διὸ ἐν ταῖς καρδίαις ὑμῶν τὸν Θεὸν ἁγιάζοντες, τὸν ἀνθρώπινον φόβον μὴ φοβεῖσθε, μηδὲ ταράσσεσθε. *Ἕσεσθε δὲ ἕτοιμοι καὶ πρὸς ἀπολογίαν ἀεὶ, παντὶ τῷ ἐπερωτῶντι ὑμᾶς περὶ τῆς καθ' ὑμᾶς ἐλπίδος ἀποδοῦναι λόγον.* Ἀποδοῦναι δὲ μετὰ τοῦ καὶ πρᾶξιν ἐπιδείκνυσθαι ἀγαθήν. Πρᾴως γὰρ τοῦτο καὶ μετ' ἐπιεικείας ποιοῦντες, τότε ἑαυτοῖς συνειδέναι πιστώσεσθε ἀγαθὰ, καὶ τοὺς πονηρὰς περὶ ὑμῶν ἔχοντας ὑπολήψεις καταισχυνεῖτε. *Συνείδησιν ἔχοντες ἀγαθήν.*] Τουτέστιν, ἀγαθὰ ἑαυτοῖς συνειδότες, ἀλλ' οὐ κακά· ὥσπερ οἱ βλασφημοῦντες ὑμᾶς βούλονται. *Οἱ ἐπηρεάζοντες.*] Ἀντὶ τοῦ, Οἱ λογοπραγοῦντες, οἱ πικρῶς ἐξετάζοντες.—ΑΔΔΩΣ. Ἀποσχόμενος τῶν κατ' ἄνδρα νουθετημάτων καὶ κατὰ γυναῖκα, κοινὴν ποιεῖται λοιπὸν τὴν παράκλησιν πρὸς ἅπαντας, ἄνδρας, γυναῖκας, γέροντας, παρθενικότας, ἡβῶντας, βασιλεῖς, ἄρχοντας, ἀρχομένους, πολιτευομένους, ξένους, ἀστοὺς, πλουσίους, πένητας· διὸ ἐπάγει· *Τὸ δὲ τέλος*, ἀντὶ τοῦ· Τί χρὴ ἰδιολογεῖσθαι; ἁπλῶς πᾶσι φημί· τοῦτο γὰρ *τέλος*· καὶ πρὸς τοῦτο πᾶσιν ὁ σκοπὸς ἀφορᾷ τῆς σωτηρίας, καὶ οὗτος νόμος πᾶσιν ἀγάπης· ἐξ οὗ φύεται πᾶσα ἀρετὴ, ἡ ταπεινοφροσύνη, ἡ συμπάθεια, ἡ εὐσπλαγχνία, καὶ αἱ ἄλλαι ὁμοίως ἀρεταὶ, ἃς κατηρίθμησεν· ὧν ἡ μὲν *ὁμοφροσύνη* ἐστὶ σύνευσις περί τι μετὰ σπουδῆς ἀδιάφορος· *συμπάθεια* δὲ, ὁ πρὸς τοὺς κακῶς πάσχοντας ὡς καὶ ἐφ' ἑαυτοῖς ἔλεος· *φιλαδελφία* δὲ, ἡ ὡς ἐπ' ἀδελφοῖς ὀφειλομένη πρὸς τοὺς πέλας διάθεσις· *εὐσπλαγχνία* δὲ, ἡ ἀπὸ ψυχῆς ἐπ' ἀγαθοποιΐᾳ τῶν ὁμογενῶν κίνησις· *φιλοφροσύνη* δὲ, ἡ πρὸς πάντας ἡμερότης καὶ προσήνεια· ἥτις καὶ πρὸς ὁμοήθεις ἂν γένοιτο καὶ φίλους· *ταπείνωσις* δὲ, ἤτοι ταπεινοφροσύνη, τὸ, ἑτέρου ὀνειδίζοντος, φέρειν, τὸ ἐπιγινώσκειν τὸ ἁμάρτημα, τὸ φέρειν τὰς κατηγορίας, ὃ καὶ εὐγνωμοσύνη ἂν εἴη· *λοιδορία* δὲ, ἡ ἐκ πονηρᾶς συνηθείας ἀνάδοτος περὶ τὸ καταλαλεῖν φιλοτιμία. Ταύταις οὖν, φησι, ταῖς προειρημέναις κοσμούμενοι ἀρεταῖς,

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

πρὸς οἷς οὐχ ἁλώσιμοι κακίᾳ ἀποφανθείητε, ἔτι καὶ ζηλωτοὶ ἔσεσθε, τῇ θείᾳ κατευθυνόμενοι βιοτῇ· ὁ γὰρ ὑπὸ πάντων εὐλογούμενος, καὶ ζηλωτὸς δήπου. Εἰς ἀπαραλόγιστον δὲ ἐκφέρων τὸν τῆς νουθεσίας αὐτοῦ λόγον, καὶ ἀπὸ τοῦ Δαυὶδ τὸ πιστὸν αὐτῷ προσποριζει, καί φησιν· *Ὁ γὰρ θέλων ζωὴν ἀγαπᾷν*· τουτέστιν, Ὁ πρὸς τὴν ὄντως ζωὴν μεταστοιχειῶν ἑαυτὸν, καὶ ἐπέραστον αὐτὴν ἀποφῆναι σπουδάζων· (πρὸς τοῦτο γὰρ ἀπονεύει τὸ, *θέλων ἀγαπᾷν*· οἱονεὶ, ποθεινὴν καὶ περιμάχητον ἀνθρώποις ποιεῖν·) ἐχέσθω τούτων ἀνεπιστρόφως, ὧν καὶ ὁ προφητικὸς λόγος συναίρηταί μοι· *Καὶ ἰδεῖν ἡμέρας*, οὐχὶ κακὰς, ἀλλὰ *ἀγαθάς*· αἱ γὰρ τοῦ αἰῶνος τούτου ἡμέραι, κατὰ τὸν Πατριάρχην Ἰακὼβ, μικραὶ καὶ πονηραὶ (α)· *παυσάτω*, καὶ τὰ ἑξῆς. Συμπεραναμένος δὲ τὴν προφητικὴν χρῆσιν, ἐπεὶ ἐν αὐτῇ τὸ, *Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους*, ἔγκειται, καὶ τὸ, *Πρόσωπον Κυρίου ἐπὶ τοὺς ποιοῦντας κακὰ*, τούτοις ἐπιφέρει, ὅτι· Εἰ οὕτω διαβιώητε, εὐμενῆ ἕξετε τὸν θεὸν καὶ εὐήκοον. Οὗ γενομένου, τίς, αὐτοῦ πρὸς ὑμῶν γεγονότος, κακωτικῶς ὑμῖν ἐπενεχθείη; πάντα γὰρ ἐν χειρὶ αὐτοῦ· θάνατος γὰρ καὶ ζωὴ ἐν χειρὶ Κυρίου (β). Πλὴν, ἐπειδὴ τισὶν αἱ περιστάσεις, αἱ διὰ τὴν πίστιν, κακὰ ἐδόκουν, ἐπανορθούμενος ταῦτα ὁ μακάριος Πέτρος, φησί· Μὴ λογίζεσθε ταῦτα κακὰ, εἰ μὴ καὶ μακαρισμοῦ ἄξια· ὁ γὰρ ἐξ ἀνθρώπων ἐπαρτώμενος φόβος, οὐδενὸς λόγου ἄξιος, ἀλλ' ἐφήμερος ἐξ ἐφημέρων. Εἰ γὰρ *ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν, ἐπὶ δὲ τοὺς ποιοῦντας κακὰ τὸ πρόσωπον αὐτοῦ*, ἀπώλειαν ἐπαπειλοῦν τοῖς κακοῖς· πάντως, εἰ κακὰ ταῦτα, οὐκ ἂν ὁ τῶν ἀγαθῶν ταμίας ὑμᾶς τοὺς ἀγαπωμένους αὐτῷ κακοῖς ἀντημείβετο· τὰ γὰρ κακὰ, τοῖς κακοῖς καταπέμπει. Ὥστε οὐ κακαὶ αἱ διὰ τὴν εὐσέβειαν θλίψεις. *Κύριον δὲ τὸν θεὸν ἁγιάσατε ἐν ταῖς καρδίαις ὑμῶν.*] *Ἁγιάζειν τὸν Κύριον*

(α) Γεν. ΜΖ', 9. (β) Σιρ. ΙΑ', 14.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐν ταῖς καρδίαις μετὰ Ἡσαΐου διακελεύεται· τουτέστι, Μὴ τοῖς φαινομένοις μεγαλαυχεῖσθε, ἀλλ' ἐν τῷ κρυπτῷ τῆς καρδίας ὑμῶν ταμείῳ τὸν ἁγιασμὸν ἐνεργήσαντες τοῦ Κυρίου· ὃς ἐν τῷ ἀπὸ τῶν μιασμάτων, ἤτοι, τῶν πονηρῶν ἐθῶν ἀφορισμῷ τῶν ἐθνῶν περιγίνεται· οὕτως αὐτὸν ἁγιάσατε. Ἁγιάζεται δὲ, ἀπὸ τῆς καλῆς ὑμῶν ἀναστροφῆς δοξαζόντων αὐτὸν τῶν ἄλλων ἀνθρώπων, ὡς καὶ αὐτὸς ὁ Θεάνθρωπος παραγγέλλει διὰ τοῦ· *Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως εἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν, τὸν ἐν τοῖς οὐρανοῖς* (α). *Ἕτοιμοι δὲ ἀεὶ πρὸς ἀπολογίαν.*] Τὸ, ἕτοιμοι, πρὸς τὸ ἀνωτέρω συνυπακούεται τὸ, *Πάντες ὁμόφρονες ἔσεσθε*· τοῦτο γὰρ τὸ, ἔσεσθε, ἀπὸ κοινοῦ καὶ τούτῳ ἀποδίδοται, ἵνα ᾖ, *Ἔσεσθε ἀεὶ ἕτοιμοι*. Βούλεται δὲ, παρασκευάσθαι ἀεὶ τὸν πιστὸν ἄνθρωπον περὶ τὸν τῆς πίστεως λόγον, ὡς, ἐν παντὶ καιρῷ ἀπαιτουμένους ἡμᾶς τὸν περὶ αὐτῆς λόγον, εὐχερῶς ἀποκρίνεσθαι· ἀποκρινομένους δὲ, μετὰ *πραΰτητος καὶ φόβου* τοῦτο ποιεῖν, ὡς καὶ αὐτοῦ τοῦ θεοῦ παρόντος· οὐδεὶς γὰρ, τοῦ Κυρίου αὐτοῦ παρόντος, εὐγνώμων δοῦλος ἀπαυθαδιάσαιτο. Καὶ τὸ ἀπὸ τούτου κέρδος ἐπάγει, τὴν ἀπὸ τῶν ἀπίστων περὶ ἡμᾶς ἐπιγνωμοσύνην τε καὶ εὐγνωμοσύνην. Ἐπιστατέον δὲ, ὡς οὐκ ἐναντία ταῦτα τοῖς ὑπὸ τοῦ Κυρίου εἰρημένοις· εἰ ὁ μὲν, Μὴ μεριμνᾶν φησιν, ἐπὶ τὰς ἀρχὰς προσαγομένους καὶ τὰς ἐξουσίας, τί ἀπολογηθῶμεν (β)· Πέτρος δὲ πρὸς τοῦτο παρεσκευάσθαι νῦν παραγγέλλει. Τὰ μὲν γὰρ ὑπὸ Κυρίου, περὶ μαρτυρίου εἴρηται· οἷς καὶ δοθήσεσθαί φησι δύναμιν καὶ λόγον κρείττονα σοφίας ἀνθρωπίνης, καὶ τῶν περιεστώτων φόβων ἀφρόντιστον· τὸ δὲ ὑπὸ τοῦ Πέτρου, περὶ διδασκαλίας εἴρηται· τὸ γὰρ ἄνευ συνέσεως καὶ ἐξετάσεως δοκεῖν τι εἰδέναι, μέμψιν φέρει· *γνῶσις γὰρ ἀσυνέτων, ἀνεξέταστοι λόγοι* (γ). Ἄλλως τε, καὶ ἐπειδὴ πολλὰ κατηγόρουν

(α) Ματθ. Ε΄, 16. (β) Ματθ. Ι, 19. Λευκ. ΚΑ΄, 14.
(γ) Σιρ. ΚΑ΄, 18.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

ἡμῶν ἀθέμιτα, ἀλλὰ καὶ τὰς ἐλπίδας ἡμῶν κενὰς ἀπεφαίνοντο, περὶ τούτων λελογισμένας φέρειν τὰς ἀποκρίσεις φησὶν, ἔχοντας καὶ τὸν βίον συνέπαινον· ὃ δὴ καὶ *συνείδησιν* καλεῖ.

17 Κρεῖττον γὰρ ἀγαθοποιοῦντας, εἰ θέλοι τὸ θέλημα
18 τοῦ θεοῦ, πάσχειν, ἢ κακοποιοῦντας· ὅτι καὶ Χριστὸς ἅπαξ περὶ ἁμαρτιῶν ἔπαθε, δίκαιος ὑπὲρ ἀδίκων, ἵνα ἡμᾶς προσαγάγῃ τῷ θεῷ,

Η αἰτιολογία αὕτη, οὐ πρὸς τὰ προσεχῶς εἰρημένα, ἀλλὰ πρὸς τὰ μικρὸν ἀνωτέρω, δηλονότι πρὸς τά· *Αλλ' εἰ καὶ πάσχοιτε διὰ δικαιοσύνην, μακάριοι ἐστέ· διότι κρεῖττον ἀγαθοποιοῦντας πάσχειν κακῶς, ἢ κακοποιοῦντας.* Ἤ, εἴ τις πρὸς τὸ προσεχῶς τὴν αἰτιολογίαν βούλοιτο ἀποδιδόναι, τὸ, *ἀγαθοποιοῦντας*, οὐχὶ πρὸς ἕτερον χρὴ λαμβάνειν εὐεργετικῶς, ἀλλ' ἀπολύτως, ἀντὶ τοῦ, ἀγαθὰ ἐργαζομένους. Ὡσαύτως καὶ τὸ, *κακοποιοῦντας*. Προστίθησι δὲ καὶ τὸ, *Εἰ θέλοι τὸ θέλημα τοῦ θεοῦ*, δεικνὺς, ὅτι οὐδὲν ἄνευ τῆς τοῦ θεοῦ ῥοπῆς εἰς ἡμᾶς γίνεται, ἀλλ' ἢ διὰ ἁμαρτιῶν κουρισμὸν, ἢ διὰ ἀνάῤῥησιν καὶ δόξαν ἡμῶν, ἢ καὶ εἰς ἑτέρων σωτηρίαν. Τοῦτο δὲ διττόν· ἢ γὰρ κακοῦταί τις δίκαιος πρὸς σωφρονισμὸν ἑτέρων ἁμαρτωλῶν, καθὼς εἴρηται· *Εἰ ὁ δίκαιος μόλις σώζεται, ὁ ἁμαρτωλὸς ποῦ φανεῖται* (α); Καὶ τοῦτο δὲ διττὴν ἐμφαίνει τὴν ὠφέλειαν· τῷ μὲν πάσχοντι δικαίῳ, εἰς προσθήκην δικαιοσύνης διὰ τῆς ὑπομονῆς· τῷ δὲ ἁμαρτωλῷ, πρὸς ἐπιστροφὴν, καθὼς εἴπομεν. Ἢ οὖν διὰ ταῦτα πάσχει δίκαιος, ἤτοι πρὸς δόξαν οἰκείαν, ἢ καὶ δι' ἑτέρων σωτηρίαν, καθὼς καὶ ὁ Χριστός. Καὶ τούτου χάριν καὶ Πέτρος προστίθησι νῦν τὸ τοῦ Χριστοῦ ὑπόδειγμα, *Ὅτι καὶ Χριστὸς ἅπαξ ἔπαθεν*, οὐχὶ περὶ ἁμαρτιῶν οἰκείων ἔπαθεν, ἀλλὰ περὶ τῶν ἡμετέρων. Διὸ καὶ ἐπάγει, *Δίκαιος ὑπὲρ ἀδίκων*. Αὐτὸς γὰρ ὁ Χριστὸς, ὡς ἀνωτέρω διὰ τοῦ προφήτου ἀπέδειξεν, *ἁμαρτίαν οὐκ ἐποίησε* (β). Δεικνὺς δὲ καὶ τὸ τοῦ

(α) Α' Πετρ. Δ', 18. (β) Α' Πετρ. Β', 22. Ἡσ. ΝΓ', 9.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παθόντος δραστήριόν τε καὶ δυνατὸν, ἐπιφέρει τὸ, ἅπαξ. Τοσαύτη γάρ, φησιν, ὑπῆρξεν ἡ τοῦ παθόντος δύναμις ὑπὲρ τῶν ἀνθρώπων, ὥστε, εἰ καὶ πολλὰ τὰ ἁμαρτήματα τούτων κατελαμβάνετο, ἓν μόνον ἀρκέσαι πάθος τοῦ Κυρίου πᾶσαν ἀναμβλῆναι τὴν δύναμιν τῶν ἡμετέρων ἁμαρτημάτων. Ἐπεὶ οὖν ὑπὲρ τῆς ἡμῶν πρὸς τὸν θεὸν καὶ πατέρα αὐτοῦ προσαγωγῆς ἔπαθεν, ἔδειξεν, ὅτι οὐ πάντως πάντες οἱ πάσχοντες δι' ἁμαρτίας πάσχουσι. Καὶ ἐπειδὴ διπλοῦς ὁ Χριστὸς, θεὸς καὶ ἄνθρωπος, διπλῆν καὶ τὴν χάριν ἡμῖν παρέσχε παθών. Ἀποθανὼν γὰρ ὡς ἄνθρωπος, ἀπήλλαξεν ἡμᾶς τοῦ θανάτου καὶ τῆς φθορᾶς, τὴν ἀνάστασιν ἡμῖν ἐγκαινίσας, καὶ δοὺς διὰ τοῦ ἑαυτοῦ ὑποδείγματος, ὡς οὐκέτι οἱ ἀποθνήσκοντες ἀνέλπιστον ἀναστάσεως ὑπέρχονται θάνατον· ζωοποιηθεὶς δὲ, τουτέστιν, ἀναστὰς ἐκ νεκρῶν τῇ τῆς θεότητος δυνάμει· (ἀνέστη γὰρ ἐκ νεκρῶν, οὐχ ὡς ἄνθρωπος, ἀλλ' ὡς θεός·) συνεζωποίησε τοὺς ἐν τῷ ᾅδῃ πάντας συναναστήσας ἑαυτῷ. *Πολλὰ γὰρ σώματα, κατὰ τὸν θεῖον εὐαγγελιστὴν, τῶν κεκοιμημένων ἁγίων ἠγέρθη, καὶ ἐνεφανίσθησαν πολλοῖς* (α).

19 Θανατωθεὶς μέν σαρκὶ, ζωοποιηθεὶς δὲ πνεύματι· ἐν ᾧ καὶ τοῖς ἐν φυλακῇ πνεύμασι πορευθεὶς ἐκήρυξεν,

Θανατωθεὶς μὲν σαρκί.] Θανατωθεὶς μὲν τῇ φύσει τῆς σαρκὸς, τουτέστι, τῇ ἀνθρωπίνῃ. **Ζωοποιηθεὶς δὲ πνεύματι.**] Τουτέστιν, Ἀναστὰς δὲ τῇ δυνάμει τῆς θεότητος· τὸ γὰρ, *πνεύματι*, τὸ, θεὸς, βούλεται παριστᾶν, ὡς αὐτὴ τῆς θεολογίας ἡ πηγὴ καὶ σοφία ἡμᾶς ἐμυσταγώγησεν· ὥσπερ καὶ τὸ, *σαρκὶ*, τὸ, ἄνθρωπος. Τοῦ μὲν πρώτου ὁ εὐαγγελιστὴς μάρτυς, *Πνεῦμα*, λέγων, ὁ θεὸς, ἐν οἷς πρὸς τὴν Σαμαρεῖτιν εἰσάγει διαλεγόμενον τὸν Χριστὸν, τὴν ἀληθῆ σοφίαν (β)· τοῦ δὲ δευτέρου, πᾶσα ἡ θεία Γραφή. Ἐκ τούτου δὲ σαφὲς, ὅτι διπλοῦς ὁ Χριστὸς, οὐ τῇ ὑποστάσει, ἀλλὰ τῇ φύσει. **Ἐν ᾧ.**] Τοῦτο τὸ,

(α) Ματθ. ΚΖ'. 52. 53. (β) Ἰωαν. Δ'. 24.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐν ᾧ, ἀντὶ τοῦ, Διό, κεῖται αἰτιολογικῶς. Εἰπὼν γὰρ, ὅτ
ὑπὲρ τῶν ἀδίκων ἡμῶν ἀπέθανε, καὶ ἐκ τούτου δοὺς ἔμφασιν
ὅτι ὑπὲρ τῆς σωτηρίας ἁπάντων τῶν ἀνθρώπων τὸν θάνατο
ὑπέστη, λέγει λοιπόν· Διὸ καὶ τοῖς ἐν ᾅδῃ κατεχομένοις ἐκήρυξεν
Ἀλλὰ τῷ λόγῳ μέχρι τούτου προβὰς καὶ δείξας, προκειμένο
λοιπόν, πῶς ἀποθανὼν ὠφέλησε τοὺς προκεκοιμημένους, ἅμ
δὲ καὶ ζητήσεως πολλῆς οὔσης, Εἰ ἐπὶ σωτηρίᾳ πάντων ἀνθρώ
πων ἡ ἐνανθρώπησις τοῦ Κυρίου, παίας ἔτυχον σωτηρίας ο
προθανόντες; λύει ἀμφότερα δι' ἑνός, καί φησιν, ὅτι ὁ το
Κυρίου θάνατος ἀμφότερα ταῦτα εἰργάσατο, ἐλπίδα ἀναστά
σεως διὰ τοῦ αὐτὸν ἀναστῆναι, καὶ σωτηρίαν πάλιν τῶν προ
κεκοιμημένων. Οἱ γὰρ ἔργοις ἀγαθοῖς τὸν ἑαυτῶν κατὰ τὸ
τῆς ζωῆς αὐτῶν χρόνον περιανθίσαντες βίον, ὡς εἰ καὶ τότ
τῷ κόσμῳ ἐπεδήμησε Χριστὸς, μὴ ἂν ἀπολειφθῆναι τοῦ ζωο
ποιοῦντος αὐτοὺς κηρύγματος, οὗτοι καὶ τότε διὰ τῆς εἰς ᾅδο
τοῦ Κυρίου καθόδου τῆς σωτηρίας ἔτυχον, ὡς καὶ Γρηγορί
τῷ θείῳ δοκεῖ. Φησὶ γὰρ οὗτος· «Ἁπλῶς σώζει πάντας Χριστὸ
ἐπιφανείς; δηλονότι ἐν τῷ ᾅδῃ· ἢ κἀκεῖ τοὺς πιεύσαντας (1);
Διὰ γὰρ τοῦ, *τοὺς πιστεύσαντας*, σημαίνει τοὺς οὕτω πο
ρεσκευακότας ἑαυτοὺς, ὡς, εἰ καὶ τότε παρεγένετο, πιστεύσοντας
Καὶ οὐ μέμψεως τοῦτο· οὐ γὰρ ἀποκληρωτικῶς ἡ σωτηρία
ἐπεὶ καὶ τοῖς ζῶσι πᾶσι γενόμενος, οὐ πάντας σώζει, εἰ μ
μόνον τοὺς πιστεύσαντας. Ἀλλὰ γὰρ καὶ τῆς ἑκάστου προαιρέ
σεως ἔργον ἦν τὸ, λογικὸν γενόμενον, μὴ ἀναισθήτως ἔχειν τῆ
τοῦ πεποιηκότος ἀγαθοδότου μεγαλοδωρεᾶς, ἀλλ' ἐπάξιον ἑαυ
τὸν παρέχειν τῆς τοῦ δεδωκότος ἀγαθότητος.

20 Ἀπειθήσασί ποτε, ὅτε ἀπεξεδέχετο ἡ τοῦ θεοῦ μα
κροθυμία ἐν ἡμέραις Νῶε, κατασκευαζομένης κι

(1) Γρηγ. Ναζ. Λογ. ΜΒ'. Σελ. 693. Εκδ. Κολων. ἐν ἔτει 1690. Ἰδοὺ ὅλ
τὸ χωρίον τοῦ ἁγίου Πατρός· «Ἂν εἰς ᾅδου κατίῃ, συγκάτελθε· γνῶθι καὶ τὰ ἐκε
σε τοῦ Χριστοῦ μυστήρια· τίς ἡ οἰκονομία τῆς διπλῆς καταβάσεως; τίς ὁ λόγος
Ἁπλῶς σώζει πάντας ἐπιφανείς, ἢ κἀκεῖ τοὺς πιστεύσαντας;»

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βωτοῦ, εἰς ἣν ὀλίγαι (τοῦτ' ἔστιν ὀκτὼ) ψυχαὶ διεσώθησαν δι' ὕδατος.

Ἀπειθήσασί ποτε.] Τὸ, *ἀπειθήσασιν*, ἔθηκε, λύων ἀντίθεσίν τινα. Εἰκὸς γάρ τινα ἐρεῖν· Καὶ τίνος ἄλλου κηρύξαντος πρὸ Χριστοῦ, εἶτα ἀπειθήσαντες κατεκρίθησαν; ἤτοι, κατακρίσεως ἄξιοι γεγόνασιν οἱ πρὸ τοῦ Χριστοῦ; Καὶ ἔχων τοῦτο ἑτοίμως, ὡς καὶ Παῦλος, ἀπὸ τῶν ἐνεσπαρμένων ἡμῖν λογικῶν δυνάμεων ἀπελέγξαι, ὅτι κριτικοὶ καλοῦ καὶ κακοῦ γεγονότες, εἶτα μὴ τὸ ἀγαθὸν ἐργασάμενοι, ἄξιοι κατακρίσεως οἱ τοιοῦτοι, οὐ τοῦτο ποιεῖ. Διὰ τί; Ὅτι κρείττονος λόγου τοῦτο, καὶ φιλοσόφου ἐχόμενον λογισμοῦ, ἢ κατὰ Ἰουδαίων διάνοιαν. Ἀπὸ δὲ τῆς Γραφῆς τὴν ἀπείθειαν πιστοῦται· καὶ οὐκ ἀπὸ τῶν χρόνων τῶν προφητῶν, ἀλλ' ἀπ' αὐτῆς σχεδὸν τῆς κοσμογονίας. Ἀφ' οὗ παρίστησιν, ὡς ἐξ ἀρχῆς ἐκηρύσσετο ἀνθρώποις ἡ σωτηρία, παρεωρᾶτο δὲ τῇ πρὸς τὰ μάταια καὶ ἀπολαυστικὰ αὐτῶν ἀποκλίσει. Ἀναριθμήτων γὰρ ὄντων ἀνθρώπων καὶ κατ' ἐκεῖνο καιροῦ, μόνοι ὀκτὼ ἄνθρωποι, πεισθέντες τοῖς κηρυσσομένοις διὰ τῆς κατασκευῆς τῆς κιβωτοῦ, ἐσώθησαν.

21 Ὃ (1) καὶ ἡμᾶς ἀντίτυπον νῦν σώζει βάπτισμα, (οὐ σαρκὸς ἀπόθεσις ῥύπου, ἀλλὰ συνειδήσεως ἀγαθῆς ἐπερώτημα εἰς θεὸν,) δι' ἀναστάσεως Ἰη-
22 σοῦ Χριστοῦ· ὃς ἐστιν ἐν δεξιᾷ τοῦ θεοῦ, πορευθεὶς εἰς οὐρανὸν, ὑποταγέντων αὐτῷ ἀγγέλων καὶ ἐξουσιῶν καὶ δυνάμεων.

Τὸ ἑξῆς οὕτως· *Ὃ ἀντίτυπον καὶ ἡμᾶς σώζει νῦν βάπτισμα, οὐ σαρκὸς ῥύπου ὂν ἀπόθεσις, ἀλλὰ συνειδήσεως ἀγαθῆς, τῆς εἰς θεὸν, ἤτοι, κατὰ θεὸν, ἐπερώτημα.* Ἐπειδὴ δὲ ἐν ὕδατι ἡ σωτηρία, εὐθέτως τοῦτο ἐπὶ τοῦ ἁγίου λαμβάνει βαπτίσματος, καί φησιν· ὅτι τὸ ὕδωρ ἐκεῖνο τὸ βάπτισμα ὑμῶν ὑπηνίσσετο· ἐπεὶ καὶ τοῦτο ἐναποπνίγει τοὺς ἀπειθοῦν-

(1) Παρ' ἄλλοις, ᾧ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τας δαίμονας· σώζει δὲ τοὺς πιστῶς προσιόντας τῇ κιβωτῷ, ἤτοι τῇ ἐκκλησίᾳ. Ἅμα δέ φησιν, ὅτι, ὥσπερ τὸ ὕδωρ ἀποκλύζει τὸν ῥύπον, οὕτω καὶ τὸ βάπτισμα. Ἀλλ' *οὐ σαρκὸς ῥύπου ἀπόθεσιν ἀπεργάζεται*· συμβολικῶς δὲ τὴν τῆς ψυχικῆς κηλίδος παρίστησιν ἀπόκλυσιν. Ἔστι δὲ καὶ οἷον τις ἀρραβὼν καὶ ἐνέχυρον καὶ ἀπόδειξις τῆς πρὸς θεὸν *ἀγαθῆς συνειδήσεως*. Οἱ γὰρ συνειδότες ἑαυτοῖς ἀγαθὰ, τουτέστιν, οἱ βίου ἀντεχόμενοι ἀμώμου, καὶ τοῦτο ἐκ παντὸς ἐπιζητοῦντες, καὶ οἷον ἐρωτῶντες· (τοῦτο γὰρ τοῖς ζητοῦσί τι ἐπακολουθεῖ, λέγω δὲ τὸ ἐρωτᾷν·) οὗτοι καὶ τῷ ἁγίῳ προστρέχουσι βαπτίσματι. Καὶ τίς, φησι, τοῦτο παρέχει τὸ ἐπιζητεῖν καὶ ἐπερωτᾷν τὸ θεῖον βάπτισμα; Ἡ ἀνάστασις τοῦ Χριστοῦ. Πρὸ μὲν γὰρ τῆς ἀναστάσεως αὐτοῦ καὶ τοῦ πάθους ἀποφαίνεται τό· *Ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος* (α)· μετὰ δὲ τὴν ἀνάστασιν, τὸ βαπτίζειν πάντα τὰ προσιόντα ἔθνη εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος (β). *Ὑποταγέντων αὐτῷ ἀγγέλων καὶ ἐξουσιῶν καὶ δυνάμεων.*] *Αὐτῷ*. Τίνι; Τῷ ἡνωμένῳ αὐτῷ ἀνθρώπῳ δηλονότι.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ ἀποθέσεως φαύλων πράξεων, καὶ ἐπαναλήψεως τῶν ἐν πνεύματι καρπῶν, κατὰ τὴν διαφορὰν τῶν χαρισμάτων.

ΚΕΦ. IV, 1 Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκὶ, καὶ ὑμεῖς τὴν αὐτὴν ἔννοιαν ὁπλίσασθε, (ὅτι ὁ
2 παθὼν ἐν σαρκὶ πέπαυται ἁμαρτίας,) εἰς τὸ μηκέτι ἀνθρώπων ἐπιθυμίαις, ἀλλὰ θελήματι θεοῦ τὸν

(α) Ἰωαν. Γ', 5. (β) Ματθ. ΚΗ', 19.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

3 ἐπίλοιπον ἐν σαρκὶ βιῶσαι χρόνον. Ἀρκετὸς γὰρ ἡ-
μῖν ὁ παρεληλυθὼς χρόνος τοῦ βίου, τὸ θέλημα τῶν
ἐθνῶν κατεργάσασθαι, πεπορευμένους ἐν ἀσελγείαις,
ἐπιθυμίαις, οἰνοφλυγίαις, κώμοις, πότοις, καὶ ἀθε-
4 μίτοις εἰδωλολατρείαις· ἐν ᾧ ξενίζονται, μὴ συν-
τρεχόντων ὑμῶν εἰς τὴν αὐτὴν τῆς ἀσωτείας ἀνά-
5 χυσιν, βλασφημοῦντες· οἳ ἀποδώσουσι λόγον τῷ
ἑτοίμως ἔχοντι κρῖναι ζῶντας καὶ νεκρούς.

Τὸ ἑξῆς οὕτω· *Χριστοῦ οὖν παθόντος σαρκὶ, καὶ ὑμεῖς κατὰ τὴν αὐτὴν ἔννοιαν ὁπλίσασθε*, ἤτοι, εὐτρεπίσασθε· ἀπεθάνετε γὰρ καὶ ὑμεῖς, τῷ κόσμῳ δηλονότι· *ὁ δὲ παθὼν ἐν σαρκὶ, πέπαυται ἁμαρτίας, καὶ ἑξῆς. Τὴν αὐτὴν ἔννοιαν.*] Ἀντὶ τοῦ, *κατὰ τὴν αὐτὴν ἔννοιαν*, κατὰ τὸν αὐτὸν σκοπόν· ἐλλειπτικῶς γὰρ τῆς Κατὰ προθέσεως εἴρηται. Ἐπεὶ δὲ τὸν τῆς οἰκονομίας λόγον διῆλθε, λέγω δὲ τὴν εἰς ᾅδου πορείαν τοῦ Κυρίου, καὶ τίνος χάριν κἀκεῖ πεπόρευται, ὅτι ἐπὶ σωτηρίᾳ καὶ τῶν ἐν ᾅδου, πάλιν ἑτέραν ἀφορμὴν ἀπὸ τοῦ θανάτου λαμβάνει τοῦ Κυρίου εἰς παράκλησιν ἀρετῆς, καί φησιν, ὅτι· Εἰ ἀπέθανε Χριστὸς ὑπὲρ ἡμῶν σαρκί· (οὐ γὰρ καὶ τῇ ἀθανάτῳ αὐτοῦ καὶ θείᾳ φύσει·) πάντως καὶ ὑμεῖς, ἀντιδιδόντες αὐτῷ τὸ ἀποθανεῖν δι' αὐτὸν τῇ ἁμαρτίᾳ, οὐκέτι ἀνθρωπίναις ἐπιθυμίαις ἀλώσεσθε, ἀλλὰ κατὰ τὸ θέλημα μόνον τοῦ θεοῦ τὸν ἐπίλοιπον χρόνον ζήσεσθε τὸν ἐν τῇ σαρκί. *Ὁ παθὼν ἐν σαρκί.*] Ἀντὶ τοῦ, ὁ ἀποθανών, ὅμοια Παύλῳ λέγων· *Εἰ συναπεθάνομεν, καὶ συζήσομεν αὐτῷ* (α)· καί· *Νεκροὶ μὲν ἐσόμεθα τῇ ἁμαρτίᾳ, ζῶντες δὲ τῷ θεῷ* (β). *Ἀρκετὸς γὰρ ἡμῖν.*] Ὥσπερ εἰ ἔλεγεν· Τί δὲ; οὐκ ἠρκέσθητε τοσοῦτον χρόνον ταῖς τοῦ βίου συνεξεταζόμενοι ἡδυπαθείαις; ἢ οὐχ ὁμοίως τοῖς ἔθνεσιν ἀσελγῶς ἐβιώσατε; Καὶ τίνα τὰ ἀσελγῆ, κατ' εἶδος ἐπάγει αὐτὰ, ἐντρέπων αὐτούς. *Οἰνοφλυγίαις.*] Ταῖς ἐπὶ τὸν οἶνον ἀκρατέσιν ὁρμαῖς. *Ἐν ᾧ ξενί-*

(α) Β' Τιμ. Β', 11. (β) Ῥωμ. Ϛ', 11.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ζονται.] Τὸ, *ἐν ᾧ*, ἀντὶ τοῦ, Διό, κεῖται, ὥσπερ καὶ ἄνω, ὅτε ἔλεγεν· *Ἐν ᾧ καὶ τοῖς ἐν φυλακῇ πνεύμασι.* Τὸ δέ, *ξενίζονται*, ἀντὶ τοῦ, θαυμάζουσι, κεῖται. Ὃ δὲ λέγει τοιοῦτό ἐστι· Καθάπαξ ἀπειπάμενοι τῶν ἐθνικῶν ἐπιτηδευμάτων, ἐν οἷς ἐζήσατέ ποτε, τοῦ ἐπανῃρημένου ὑμῖν σεμνοῦ βίου ἔχεσθε. Οὕτω γὰρ ἂν καὶ αὐτοὶ οἱ ἐθνικοὶ θαυμάσωνται ὑμᾶς, μὴ συντρέχοντας αὐτοῖς εἰς τὴν ὁμοίαν αὐτοῖς τῆς ἀσεβείας *ἀράχυσιν*, ἤτοι, σύγχυσιν. Διὸ καὶ μετὰ τοῦ θαυμάζειν καὶ ἐξαπορεῖσθαι τῇ μεταβολῇ ὑμῶν, οὐ μόνον καταισχύνονται, ἀλλὰ καὶ *βλασφημοῦσι*, τουτέστι, σκώπτουσιν ὑμᾶς· βδέλυγμα γὰρ ἁμαρτωλῷ θεοσέβεια (α). Οὗτοι δὲ καὶ οὐδὲ ἀτιμώρητον ἕξουσι τὴν τοιαύτην βλασφημίαν· ἀλλ' *ἀποδώσουσι λόγον* τῷ ἐπ' αὐτῷ τούτῳ ἀμεταθέτως καὶ ἑδραίως καθεδουμένῳ τῶν πάντων κριτῇ· τοῦτο γὰρ τὸ *ἕτοιμον* σημαίνει ἐνταῦθα, ὡς καὶ τό· *Ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύϊ αὐτοῦ* (β)· καὶ ἐν τῷ· *Ἕτοιμος ὁ θρόνος σου* (γ). Τῷ οὖν ἀμεταθέτως καὶ βεβαίως κρίνοντι ζῶντας καὶ νεκροὺς δώσουσι λόγον οἱ χλευάζοντες ὑμᾶς. Πῶς δὲ ζώντων καὶ νεκρῶν κριτὴς, ἑξῆς δηλώσει ὁ ταῦτα γράφων. *Οἳ ἀποδώσουσι λόγον.*] Τὸ ἑξῆς οὕτως· Οὗτοι, *οἱ βλασφημοῦντες ὑμᾶς*, *ἀποδώσουσι λόγον* τῷ πάντας κρινοῦντι *ζῶντας καὶ νεκρούς*. Κρίνονται γὰρ καὶ νεκροί· καὶ δῆλον ἀπὸ τῆς τοῦ Κυρίου εἰς τὸν ᾅδην παρουσίας. Κἀκεῖ γὰρ ἐπιδημήσας, ἐν τῷ κατὰ τὸν σταυρὸν δηλονότι θανάτῳ αὐτοῦ, ἐκήρυξεν, ὥσπερ καὶ ἐπὶ τῆς γῆς τοῖς ζῶσιν. Ἐκήρυξε δὲ οὐ λόγῳ, ἀλλὰ πράγματι. Καὶ ὥσπερ ἐν τῷ κόσμῳ παραγενόμενος, τοῖς μὲν ἐπεγνωκέναι ἑτοίμως ἔχουσιν αὐτὸν, εἰς δικαίωμα παραγέγονε· τοῖς δ' ἀγνοήσασιν, εἰς κατάκρισιν· οὕτω καὶ τοῖς ἐν ᾅδῃ, τοῖς μὲν κατὰ σάρκα ζήσασιν ἀνθρωπίνως, εἰς κρίμα παρεγένετο· τοῖς δὲ κατὰ

(α) Σιρ. Ά, 25. (β) Ψαλμ. ΞΔ', 7.
(γ) Ψαλμ. ϟΒ', 2.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πνεῦμα ζήσασι, τουτέστι, κατὰ πνευματικὸν καὶ ἐνάρετον βίον, εἰς δόξαν καὶ σωτηρίαν. Ὥστε καὶ ζώντων καὶ νεκρῶν δικαίως ἂν κριτὴς λέγοιτο.

6 Εἰς τοῦτο γὰρ καὶ νεκροῖς εὐηγγελίσθη, ἵνα κριθῶσι μὲν κατὰ ἀνθρώπους σαρκί, ζῶσι δὲ κατὰ θεὸν πνεύματι.

Οἱ μὲν παλαιοὶ τῶν Πατέρων τοῦτο τὸ, *Καὶ νεκροῖς εὐηγγελίσθη*, ὡς περικοπὴν ἐξηγήσαντο, οὐδὲν φροντίσαντες τῆς συνεχείας τῶν ἄνω· οὐδ' ὅτι αἰτιολογικῶς εἰρημένον δεῖ πρὸς τὰ πρὸ αὐτοῦ ἀναφέρεσθαι· τοῦτο γὰρ ὀφείλει τὸ κατ' αἰτίαν λεγόμενον ἔχειν. Ἀλλ', ὡς εἴρηται, ὡς περικοπὴν αὐτὸ ἐξηγήσαντο οὕτω· *Νεκροὺς* γὰρ ἔφασαν διττῶς λέγειν τὴν θείαν Γραφήν· ἢ τοὺς ταῖς ἁμαρτίαις ἐναποθανόντας, οἳ οὐδὲ ζωὴν ποτε εἶδοιεν, ἢ τοὺς τῷ θανάτῳ τοῦ Χριστοῦ συμμορφωθέντας, καὶ ἀποθανόντας μὲν *τῷ κόσμῳ*, τουτέστι, ταῖς κοσμικαῖς ἐπιθυμίαις, ζῶντας δὲ μόνῳ Χριστῷ, ὡς καὶ Παῦλός φησιν· *Ὁ δὲ νῦν ζῶ ἐν σαρκί, ἐν πίστει ζῶ, τῇ τοῦ υἱοῦ τοῦ θεοῦ* (α). Φασὶν οὖν, ὅτι οἱ οὕτως ἀποθανόντες Χριστῷ, τῇ σαρκὶ ἑαυτοὺς κατακρίνουσιν ἐπὶ τῇ προτέρᾳ ἀμελεῖ ἑαυτῶν καὶ ῥᾳθύμῳ ζωῇ· τοῦτο δὲ, ζῆν αὐτοὺς ἐστὶ *πνεύματι*, ἤτοι, τῇ κατὰ Χριστὸν ζωῇ· ἡ γὰρ τῶν προτέρων κατάγνωσις, εὐθυμοτέρους αὐτοὺς περὶ τὰ νῦν καὶ μετὰ χεῖρας ποιεῖ. Κἀκεῖνοι μὲν οὕτως. Εἰ δὲ καὶ καλῶς ἔχειν ταῦτά τις ἐρεῖ, ἀλλ' οὔπω καὶ τοῦ παντὸς τὸ εἰρημένον ἐξέχεται. Εἰρημένου γὰρ ἀνωτέρω περὶ τῶν ἐν τῷ ᾅδῃ, ὅτι *κἀκείνοις τοῖς ἐν φυλακῇ πνεύμασιν ἐκήρυξε*, πρὸς τοῦτο δίκαιον ἀναφέρειν καὶ τὸν παρόντα μετὰ αἰτίας εἰσαγόμενον λόγον, καὶ μὴ ὡς νῦν μόνον εἰρημένον ἐπισκοπεῖν. Ὅθεν ἐροῦμεν, ὡς, ἐπειδὴ προσεχῶς ἄγαν εἶπε, *τῷ ἑτοίμως ἔχοντι κρῖναι ζῶντας καὶ νεκρούς*, τὸ δὲ ἀνθυποφερόμενον τούτοις ἦν, Καὶ ποῦ ζῶντες, ποῦ δὲ νεκροὶ κρίνονται;

(α) Γαλ. Β', 20.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπιφέρει τοῦ λόγου τὴν πίστιν, ἀφ' ὧν ἀνωτέρω εἰρήκει, ὅτι καὶ *τοῖς ἐν φυλακῇ πνεύμασιν ἐκήρυξε*· καὶ τὸ κήρυγμα τοῦτο *εἰς κρίσιν* ἐγένετο τούτοις, ἤτοι, εἰς κατάκρισιν, τῶν μὲν ἑαυτοῖς συνειδότων χρηστὸν βίον τῇ τοῦ φανέντος ἐκεῖσε χρηστότητι συναπτομένων, εὐθύς· τῶν δὲ πονηρόν, αὐτόθεν αἰσχύνης πληρουμένων, καὶ τὴν ἑαυτῶν καταδίκην ἐκδεχομένων. Τοῦτο μὲν οὖν τὸ κριτὴν εἶναι καὶ *νεκρῶν* τὸν Κύριον βεβαιοῖ. *Ζώντων* δέ· ἐλθόντος γὰρ τοῦ Κυρίου εἰς τὸν κόσμον κατὰ τὴν φθαρτὴν ζωὴν, τὴν παρουσίαν ἐσχήκασιν ἄνθρωποι τούτου κατάκρισιν, τῶν μὲν ἀγαθῶν, προσδραμόντων αὐτῷ καὶ μαθητευθέντων, τῶν δὲ μιαρῶν, ἀποσεισαμένων καὶ ἑκοντὶ μυσάντων πρὸς τὴν ἀλήθειαν· ὃ καὶ αὐτὸ τούτων κατάκρισις. Διὸ καὶ ὁ Κύριός φησιν· *Εἰς κρίμα ἐγὼ ἐλήλυθα εἰς τὸν κόσμον τοῦτον* (α), τουτέστιν, εἰς κατάκριμα. Οὕτως οὖν καὶ ζώντων κριτὴς ὁ Κύριος καὶ νεκρῶν· καὶ ἡ αἰτιολογία ἐπ' ἀκεραίῳ τῷ λόγῳ, ἀλλ' οὐκ ἐπὶ μέρους ταχθήσεται. Ἔστι τοίνυν τὸ, *Ἵνα κριθῶσι μὲν κατὰ ἀνθρώπους σαρκὶ, ζῶσι δὲ κατὰ θεὸν πνεύματι*, οὕτω· Τοῦ Κυρίου τοῖς ἐν τῷ ᾅδῃ φοιτήσαντος, οἱ μὲν ἐν τῷ κόσμῳ σαρκικῶς ζήσαντες, κατεκρίθησαν· οἱ δὲ πνευματικῶς, ἔζησαν, ἢ τῇ μετὰ τοῦ Κυρίου ἀναβιώσει· (πολλὰ γὰρ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη (β)·) ἢ τῇ εὐελπιστίᾳ. Τὸ δὲ, *κριθῶσι*, καὶ, *ζήσωσι*, κατὰ ἀντιχρονίαν εἴληπται, μέλλοντος δηλονότι, ἀντὶ τοῦ παρωχημένου· ὃ τῇ θείᾳ Γραφῇ σύνηθες· ἀντὶ τοῦ, ἔζησαν, καὶ, ἐκρίθησαν.

7 Πάντων δὲ τὸ τέλος ἤγγικε. Σωφρονίσατε οὖν,
8 καὶ νήψατε εἰς τὰς προσευχάς. Πρὸ πάντων δὲ τὴν εἰς ἑαυτοὺς ἀγάπην ἐκτενῆ ἔχοντες· ὅτι ἡ ἀγάπη
9 καλύψει πλῆθος ἁμαρτιῶν· φιλόξενοι εἰς ἀλλήλους
10 ἄνευ γογγυσμῶν· ἕκαστος καθὼς ἔλαβε χάρισμα,

(α) Ἰωαν. Θ', 39. (β) Ματθ. ΚΖ', 52.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰς ἑαυτοὺς αὐτὸ διακονοῦντες, ὡς καλοὶ οἰκονό-
11 μοι ποικίλης χάριτος θεοῦ. Εἴ τις λαλεῖ, ὡς λόγια θεοῦ· εἴ τις διακονεῖ, ὡς ἐξ ἰσχύος, ἧς χορηγεῖ ὁ θεός· ἵνα ἐν πᾶσι δοξάζηται ὁ θεὸς διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἐστὶν ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάντων τὸ τέλος ἤγγικε.] Τουτέστι, καὶ τῶν κατὰ ζωὴν δικαιωθέντων, καὶ τὸν κατὰ τὸν ᾅδην· ἐν γὰρ τῇ δευτέρᾳ παρουσίᾳ τὸ ἀποκείμενον ἑκάστῳ τελεσθήσεται. Εἰ δέ τις τὸ ἐν τῷ ᾅδῃ τοῦ Κυρίου κήρυγμα ἀθετεῖ, φάσκων μηδὲν τοῖς τεθνεῶσι δύνασθαι τοῦτο λυσιτελεῖν, διὰ τό· *Ἐν τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι*, κατὰ τὸν προφήτην Δαυὶδ (α)· οὗτος καὶ τὸ κήρυγμα τὸ ἐν τῷ ᾅδῃ παχέως ἐπακούει, καὶ τὴν *ἐξομολόγησιν*, οὐκ αἶνον θεοῦ, ἀλλ' ἐξαγόρευσιν λογίζεται, μὴ κατανοῶν κατὰ τίνα ἔννοιαν εἴρηται τό· *Οὐχ οἱ νεκροὶ αἰνέσουσί σε, Κύριε* (6). Ἔστι δὲ τὸ, *Ἐν τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι*, τοιοῦτον· *Ἐξομολόγησίς* ἐστιν εὐχαριστία πρὸς θεὸν, ἐφ' οἷς τις δυσχερῶν ἀπηλλάγη. Ἐπεὶ οὖν ἐν τῷ παρόντι βίῳ πάντα τὰ πρακτὰ συντελεῖται ἐνεργούμενα· (ἀποθανοῦσι γὰρ πάντα ἀργά·) εἰκότως ὡς μή τινος τούτων ἐνεργουμένου, ὑπὲρ ὧν τις ἀπαλλαγεὶς ἐξομολογήσεται, εἴρηται τὸ, *Ἐν τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι*. — *Τὸ τέλος*, ἀντὶ τοῦ, ἡ συμπλήρωσις, ἡ συντέλεια· ἢ, τέλος φησὶν ἠγγικέναι τῶν πάντων προφητῶν· τοῦτο δὲ ἀληθεῖ λόγῳ, ὁ Χριστός· ἡ πάντων γὰρ τελειότης, αὐτός ἐστιν· ἀλλ' οὐχ ὡς Ἕλληνες ληροῦσιν, οἱ μὲν τὴν ἡδονὴν φάσκοντες *τέλος*, ὡς Ἐπίκουρος· οἱ δὲ, τὴν ἐπιστήμην, ἤτοι θεωρίαν ἢ ἀρετήν. Ἐπεὶ τοίνυν ἡ πάντων τελειότης, ὁ Χριστὸς, παραγέγονε, καὶ αὐτοὶ ταύτῃ τῇ τελειότητι, φησὶ, συμμορφούμενοι, ἀνελλιπεῖς ἑαυτοὺς ἐν παντὶ δείξατε, ἐν σωφροσύνῃ, ἐν νήψει προσευχῶν· (νηφόντων γὰρ

(α) Ψαλμ. ϛ', 6. (6) Ψαλμ. ΡΙΓ', 25.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡ προσευχὴ, τουτέστι, γρηγορούντων, ἀλλ' οὐ κάρῳ κατεχομένων τῶν ἀπὸ τῆς τῶν κοσμικῶν μέθης·) ἐν τῇ *πρὸς ἀλλήλους ἀγάπῃ*. Ταύτην δὲ Παῦλος μὲν *πλήρωμά* φησιν εἶναι *νόμου* (α)· οὗτος δὲ, ἁμαρτίας δυναμένην καλύπτειν· ὁ γὰρ εἰς τὸν πλησίον ἔλεος, τὸν θεὸν ἡμῖν ἵλεων ποιεῖ· ὃς ἔλεος οὐκ ἂν εἰς δέον προβαίνῃ, εἰ μὴ ἐκ πολλῆς ἀγάπης. *Ἀγάπην* δὲ *ἐκτενῆ*, τὴν διαρκῆ λέγει, τὴν ἐπὶ πολὺ διατείνουσαν. Εἰπὼν δὲ, *ἀγάπην*, ἐπάγει καὶ τὰ τῇ ἀγάπῃ ἑπακολουθοῦντα, τὴν *φιλοξενίαν*, ἣν *ἄνευ γογγυσμῶν* ἐκτελεῖν κελεύει· τοῦτο γὰρ τῆς ἀληθοῦς ἀγάπης· ἀλλὰ καὶ τῶν εὐπορουμένων ἑκάστῳ χαρισμάτων τῷ μὴ ἔχοντι ἀδελφῷ κοινωνεῖν· οἷον, ὁ λόγον ἔχων διδασκαλικόν· (τοῦτο γὰρ τὸ, *ὡς λόγια θεοῦ*, βούλεται δηλοῦν·) τῷ χρῄζοντι τούτου· ὁ χορηγίαν τροφῶν κεκτημένος, τῷ μὴ ἔχοντι ἐπιδιδόναι, *μὴ* μικροψύχως, ἀλλ' ὡς ἡ δύναμις παρέχει τῆς ἀπὸ τοῦ θεοῦ χορηγίας. Ταῦτα δέ, φησι, παραινῶ, *ἵνα ἐν πᾶσιν*, ἤτοι, ἔθνεσιν, ἢ καὶ τοῖς ἐγγὺς ὑμῶν, δοξάζηται ὁ θεός.

ΚΕΦΑΛΑΙΟΝ ς'.

Ὅτι κοινωνίᾳ τῇ πρὸς Χριστὸν κρατεῖν χρεὼν τῶν φυσικῶν παθῶν· ἐλπίδι δὲ τῇ εἰς αὐτὸν φέρειν τὰς παρ' ἑτέρων βλάβας.

12 Ἀγαπητοὶ, μὴ ξενίζεσθε τῇ ἐν ὑμῖν πυρώσει, πρὸς πειρασμὸν ὑμῖν γινομένῃ, ὡς ξένου ὑμῖν συμβαί-
13 νοντος· ἀλλὰ, καθὸ κοινωνεῖτε τοῖς Χριστοῦ παθήμασι, χαίρετε, ἵνα καὶ ἐν τῇ ἀποκαλύψει τῆς δόξης αὐτοῦ χαρῆτε ἀγαλλιώμενοι.

Οὕτω δὲ περὶ τούτων διαταξάμενος, ἐπεί τινας ἑώρα διὰ τὰς

(α) Ῥωμ. ΙΓ', 10.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπαγομένας αὐτοῖς θλίψεις σκανδαλιζομένους, ἅτε ἐν τῷ νόμῳ τοῖς δουλεύουσι τῷ Κυρίῳ ἐπαγγελίας ἀνενοχλήτου βίου κειμένης· καὶ ἄνω μὲν διὰ βραχέων, ἡνίκα τοῖς δούλοις ἐνομοθέτει, τὴν περὶ τούτου παράκλησιν ἐποιήσατο· νῦν δὲ διεξοδικώτερον τῷ λόγῳ κέχρηται, καί φησιν· *Ἀγαπητοί*, εὐθὺς διὰ τοῦ ὀνόματος σημαίνων, ὡς οὐ μισουμένοις, ἀλλ' ὡς ἄγαν ἀγαπωμένοις ταῦτα συμβαίνει. *Μὴ ξενίζεσθε* δὲ, ἀντὶ τοῦ, Μὴ θαυμάζετε, μὴ ξένον θεοῦ φίλων ἡγεῖσθε. Εἶτα καὶ *πύρωσιν* τὰς θλίψεις εἰπὼν, ἐνέφηνεν, ὡς διὰ δοκιμασίαν ἐπάγονται αὐτοῖς αὗται· ἡ δὲ δοκιμασία περισπούδαστον τὸ δοκιμαζόμενον ἀποτελεῖ, ὡς καὶ τὸν χρυσὸν καὶ τὸν ἄργυρον. Τούτοις δὲ τὸ μακαριώτερον τούτων ἁπάντων ἐπενέγκας, τὰ τοὺς ταῦτα πάσχοντας ἐναμίλλους εἶναι τῷ διδασκάλῳ Χριστῷ, καὶ μετὰ τούτου νῦν ἀτιμουμένους, ἵνα καὶ συνδοξασθῶσιν αὐτῷ κατὰ τὸν μέλλοντα αἰῶνα, τὸ πᾶν ἐν τούτοις κατηνύσατο τοῦ σκοποῦ.

14 Εἰ ὀνειδίζεσθε ἐν ὀνόματι Χριστοῦ, μακάριοι· ὅτι τὸ
τῆς δόξης καὶ τὸ τοῦ θεοῦ πνεῦμα ἐφ' ὑμᾶς ἀνα-
παύεται· κατὰ μὲν αὐτοὺς βλασφημεῖται, κατὰ δὲ
15 ὑμᾶς δοξάζεται. Μὴ γάρ τις ὑμῶν πασχέτω ὡς φο-
νεύς, ἢ κλέπτης, ἢ κακοποιὸς, ἢ ὡς ἀλλοτριοεπί-
16 σκοπος· εἰ δὲ ὡς χριστιανός, μὴ αἰσχυνέσθω, δο-
17 ξαζέτω δὲ τὸν θεὸν ἐν τῷ μέρει τούτῳ. Ὅτι ὁ καιρὸς
τοῦ ἄρξασθαι τὸ κρίμα ἀπὸ τοῦ οἴκου τοῦ θεοῦ· εἰ
δὲ πρῶτον ἀφ' ἡμῶν, τί τὸ τέλος τῶν ἀπειθούντων
18 τῷ τοῦ θεοῦ εὐαγγελίῳ; καὶ εἰ ὁ δίκαιος μόλις
σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται (α);
19 Ὥστε καὶ οἱ πάσχοντες κατὰ τὸ θέλημα τοῦ θεοῦ,
ὡς πιστῷ κτίστῃ παρατιθέσθωσαν τὰς ψυχὰς αὐ-
τῶν ἐν ἀγαθοποιΐᾳ.

Ἐν *ὀνόματι Χριστοῦ.*] Ἐν τῷ χριστιανοὶ λέγεσθαι, καλεῖσθαι. *Κατὰ μὲν αὐτοὺς βλασφημεῖται.*] Προσυπακουστέον τὸ, δ·

(α) Παροιμ. ΙΑ'. 31.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἵνα ἦ· Ὁ πνεῦμα θεοῦ, κατὰ μὲν τοὺς ἀσεβεῖς δοκεῖ βλασφ
μεῖσθαι, κατὰ δὲ ὑμᾶς δοξάζεται. Πῶς; Ὅτι ψευδῶς ὑμ
κατηγορούντων αὐτῶν, ἐκείνοις μὲν καταχεῖται αἰσχύνη, ὑ
δὲ δόξα. Ἢ ὡς ἀλλοτριοεπίσκοπος.] Ἀλλοτριοεπίσκοπ
ὁ τὰ ἀλλότρια περιεργαζόμενος, ἵνα ἀφορμὴν λοιδορίας ἔ
τοῦτο δὲ μιαρᾶς καὶ πανούργου καὶ κακούργου καὶ ῥᾳδίας
πρὸς πᾶν ἑτοίμης κακὸν ψυχῆς. Ὅτι ὁ καιρὸς τοῦ ἄρξασ
τὸ κρίμα ἀπὸ τοῦ οἴκου τοῦ θεοῦ.] Κρίμα νῦν, οὐ τὸ κα
κριμα, ἀλλὰ τὴν ἐξέτασιν λέγει, τὴν ἔρευναν, τὸν ἐκλογισμ
Ἢ, κρίμα, ἐνταῦθα τὸν ἐτασμὸν, τὰς θλίψεις λέγει, τὰς
τῶν ἀσεβῶν ἐπενεχθείσας τοῖς πιστοῖς· ὧν καὶ ὁ Κύριος
κατήγγειλε τὴν ἐπαγωγὴν εἰρηκώς· Παραδώσουσιν ὑμᾶς εἰς
ἕδρια, καὶ ἐξῆς (α). Ἐναγωνίους δὲ αὐτοὺς καὶ ἐμφόβους π
τῆς ῥᾳθυμίας αὐτοὺς καὶ τοῦ ἀναπεπτωκότος βίου ἀπανισ
διὸ καὶ ἐπιφέρει· Εἰ δὲ πρῶτον ἀφ' ἡμῶν, ὄντων οἴκων θ
ἡ ἐξέτασις τῶν βεβιωμένων ἄρξεται, τί χρὴ τέλος νομίζειν
ἀπειθησάντων; Ἄρχεται δὲ πρῶτον ἀπὸ τοῦ οἴκου τοῦ θεοῦ· κ
γὰρ τὸν ἡμέτερον μέγαν Βασίλειον, φυσικῶς τοῖς οἰκειοτα
ἡμῶν χαλεπαίνομεν, ὅταν εἰς ἡμᾶς ἐξαμαρτάνωσιν. Οἰκει
τοι δὲ τῷ θεῷ οὐκ ἄλλοι, ἢ οἱ πιστοί, οἱ συμπληροῦντες α
τὸν οἶκον, ἤτοι τὴν ἐκκλησίαν. Διὸ καὶ ὁ σωτὴρ ἔλεγεν·
πρῶτον τοῖς ἐκ δεξιῶν (β). Εἶτα, ὥσπερ παραμυθούμενος
τοὺς, ἐπιφέρει· Εἰ οὖν ὑμῶν, οὕτως αὐτῷ οἰκειοτάτων ὄν
οὐ ῥᾳδεται, ἐννοήσατε, τί ἔσται τέλος τοῖς ἀσεβέσι.
πιστοῦται τοῦτο ἀπὸ τῆς Γραφῆς· Εἰ ὁ δίκαιος, λεγο
μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται; Τ
τον δὲ τὸ ἀπὸ τῆς Γραφῆς βούλεται σημαίνειν· Εἰ ὁ δί
κόπῳ καὶ μόχθῳ τῆς σωτηρίας τυγχάνει· (διαστὴ γάρ
ἡ βασιλεία τοῦ θεοῦ (γ), καὶ διὰ πολλῶν θλίψεών τις
τυγχάνει (δ)·) οἱ ἄνετον βίον καὶ ἀπολαυστικὸν ζῶντες,

(α) Ματθ. Ι', 17. (β) Ματθ. ΚΕ', 34
(γ) Ματθ. ΙΑ', 12. (δ) Πρᾶξ. ΙΔ', 22.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τεύξονται; Κατὰ τὸν μέλλοντα δὲ αἰῶνα τὸ περὶ τῶν ἀσεβῶν ἀκουστέον. Ὧδέ, φησιν, εἰ τοῦτ' ἐστὶ, διὰ τοῦτο καὶ ἡμεῖς, πάσχοντες κατὰ τὸ θέλημα τοῦ θεοῦ, μὴ ῥᾳθυμῶμεν, ἀλλ' ὡς *πιστῷ κτίστῃ παρατιθώμεθα τὰς ψυχὰς ἡμῶν ἐν ἀγαθοποιΐᾳ*. *Κατὰ τὸ θέλημα* δὲ *τοῦ θεοῦ* εἶπεν, ἢ ὅτι οὐκ ἔξω τῆς τοῦ θεοῦ προνοίας τὰ ἡμέτερα πάθη, δηλῶν, ἀλλ' οἷον δοκίμιον ταῦτα ὑπ' ἐκείνου ἡμῖν βραβευόμενα, ἢ ὅτι ὡς ὑπὲρ τοῦ θελήματος τοῦ θεοῦ πάσχοντες, αὐτῷ παραχωρῶμεν καὶ τὴν ἔκβασιν. *Πιστὸς* γὰρ οὗτος, τουτέστιν, ἀσφαλὴς καὶ ἀψευδὴς κατὰ τὰς ἐπαγγελίας αὐτοῦ, καὶ οὐκ ἐάσει ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα (α). Πῶς δὲ δεῖ θεῷ παρατιθέναι ἑαυτάς; *Ἐν ἀγαθοποιΐᾳ*, φησί. Τί δὲ τοῦτο; Τὸ ἐν ταπεινοφροσύνῃ ἀνατιθέναι ἑαυτὸν, μὴ μέγα ἐφ' οἷς πάσχει τις φρονῶν· ἀλλ' ὅσῳ μείζω δοκεῖ πάσχειν, τοσούτῳ τοῦ ἀχρεῖον λογίζεσθαι ἑαυτὸν μὴ ἀφιστάμενος, καὶ τό· *Δίκαιος εἶ ἐπὶ πᾶσιν οἷς ἐποίησας ἡμῖν*, ἐπιλέγων. *Ἀσεβὴς* δὲ καὶ *ἁμαρτωλὸς* ταύτῃ διαφέρουσιν. *Ἀσεβὴς* μὲν γὰρ, ὁ ἔξω πάντη θεοῦ· *ἁμαρτωλὸς* δὲ, ὁ θεοῦ μὲν ὅσον δή τι ἀντεχόμενος, ἄλλως δὲ καταφρονῶν καὶ παραβαίνων αὐτοῦ τοὺς νόμους. Δύναται δὲ ὁ αὐτὸς καὶ *ἀσεβὴς* καὶ *ἁμαρτωλὸς* εἶναι· ὁ γὰρ τὴν ἀνομίαν ἐργαζόμενος, πάντως καὶ ἀσεβεῖ, μὴ τὸν θεὸν ἐν τῷ ἁμαρτάνειν εἶναι λογιζόμενος.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Παραίνεσις πρεσβυτέρων περὶ ἐπισκοπῆς τοῦ ποιμνίου· ἐν ᾧ, περὶ κοινῆς πάντων πρὸς ἕκαστον ταπεινοφροσύνης, εἰς νίκην τὴν κατὰ τοῦ διαβόλου.

ΚΕΦ. V, 1 Πρεσβυτέρους τοὺς ἐν ὑμῖν παρακαλῶ,

(α) Α' Κορ. Ι', 13.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὁ συμπρεσβύτερος καὶ μάρτυς τῶν τοῦ Χρ
στοῦ παθημάτων, ὁ καὶ τῆς μελλούσης ἀποκα
2 λύπτεσθαι δόξης κοινωνός· Ποιμάνατε τὸ
ὑμῖν ποίμνιον τοῦ θεοῦ (1), ἐπισκοποῦντες μ
ἀναγκαστῶς, ἀλλ' ἑκουσίως· μηδὲ αἰσχροκερδῶ
3 ἀλλὰ προθύμως· μηδ' ὡς κατακυριεύοντες τῶ
4 κλήρων, ἀλλὰ τύποι γινόμενοι τοῦ ποιμνίου· κ
φανερωθέντος τοῦ ἀρχιποίμενος, κομιεῖσθε τ
5 ἀμαράντινον τῆς δόξης στέφανον. Ὁμοίως νεώτ
ροι, ὑποτάγητε πρεσβυτέροις· πάντες δὲ, ἀλλήλο
ὑποτασσόμενοι, τὴν ταπεινοφροσύνην ἐγκομβώσασθ
ὅτι ὁ θεὸς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς
δίδωσι χάριν (α).

Περὶ ταπεινοφροσύνης προκειμένου αὐτῷ διαλαβεῖν, ἣν καὶ π
ανεκρούσατο, *ἐναγαθοποιΐᾳ*, εἰπὼν, *συμπρεσβύτερον* ἑαυτὸν κ
λεῖ· σημαίνειν δὲ βούλεται αὐτῷ τοῦτο, ἤτοι τὴν ἡλικίαν,
τὴν τοῦ ἐπισκόπου τιμήν· *πρεσβυτέρους* γὰρ καὶ τοὺς ἐπισκ
πους καὶ ἡ τῶν Πράξεων βίβλος οἶδε λεγομένους (β). Εἶτ
βουλόμενος τὸ ὑπερέχον ἑαυτοῦ παραστῆσαι, καὶ ὅτι ταπει
φροσύνης ἕνεκεν συμπρεσβύτερον ἑαυτὸν λέγει, ἐπάγει τὸ ἀξίω
ἑαυτοῦ, τὸ, *Μάρτυς τῶν τοῦ Χριστοῦ παθημάτων*· τοῦ
βουλόμενος διὰ τούτων σημαίνειν, ὅτι, εἰ ἐγὼ, ὁ τῶν τοι
των θεαμάτων ὑμῖν ὑφηγητὴς, οὐκ ἀπαξιῶ συμπρεσβύτε
ἑμαυτὸν καλεῖν, οὐδὲ ὑμεῖς δίκαιοι κατεπαίρεσθαι τῶν
ὑμᾶς τελούντων. Διὰ τοῦτο καὶ ὁ Χριστὸς, ὁ τούτου καθ
γητὴς, ταπεινοφροσύνην διδάσκων, τό· *Εἰ οὖν ἐγὼ, ὁ Κ
ριος καὶ ὁ διδάσκαλος, ἔνιψα ὑμῶν τοὺς πόδας* (γ), προ
ρει. Τὸ δὲ, *Κοινωνὸς τῆς μελλούσης ἀποκαλύπτεσθαι δόξ*
προστίθησιν, ἵνα παραστήσῃ τὸ τῆς ταπεινοφροσύνης ἐξαίρετ
ὡς καὶ Παῦλός φησιν· *Ὅταν ὁ Χριστὸς φανερωθῇ, τότε*
ἡμεῖς σὺν αὐτῷ φανερωθησόμεθα (δ). *Ἐπισκοποῦντες*

(1) Παρ' ἄλλοις, τοῦ Χριστοῦ. (α) Παροιμ. Γ', 34.
(β) Πράξ. Κ', 27. 28. (γ) Ἰωαν. ΙΓ', 14. (δ) Κολ. Γ',

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀναγκαστῶς.] *Μὴ ἀναγκαστῶς* δὲ οὗτος ποιμανεῖ, ὃς τύπον ἑαυτὸν ἀγαθοεργίας τοῖς ὑφ' ἑαυτὸν προτιθεὶς, τοὺς μαθητευομένους ἔχει πρὸς ζῆλον τοῦ διδασκάλου κατεπειγομένους ἀλλήλων. *Μὴ αἰσχροκερδῶς* δὲ, ὁ μὴ δι' ἀλαζονείας προϊὼν καὶ κατεπαιρόμενος τῶν ὑποκειμένων, ἀλλ' ἐν ταπεινώσει διαζῶν, εὐτέλειαν ἔχει συμπάρεδρον τὴν μηδεμιᾶς προσδεομένην δαπάνης ἱματίων πολυτελῶν, ἢ τραπέζης Συβαριτικῆς, ἃ τὴν ἀλαζονείαν περικροτοῦντα, καὶ τὴν ἀπὸ τῆς αἰσχροκερδείας χορηγίαν ἐπιζητεῖ. *Μηδ' ὡς κατακυριεύοντες τῶν κλήρων.*] *Κλῆρον*, τὸ ἱερὸν σύστημα καλεῖ, ὥσπερ καὶ νῦν ἡμεῖς. Προσθεὶς δὲ τὸ, *τύποι γινόμενοι τοῦ ποιμνίου*, τὸ ἀναγκαστικῶς μὴ ποιμαίνειν τὸ ποίμνιον ἐξηγεῖται. Ἐν δὲ τῷ, *καὶ φανερωθέντος τοῦ ἀρχιποίμενος*, ὁ, Καὶ, σύνδεσμος αἰτιολογικῶς κεῖται, ἀντὶ τοῦ, Ἵνα γάρ· οἷον· *Ἵνα, φανερωθέντος τοῦ ἀρχιποίμενος, κομισῆσθε τὸν ἀμαράντινον στέφανον*· ὡς καὶ ἐπὶ τοῦ· *Καὶ ἴδε ἐπὶ τοὺς δούλους σου, καὶ ἐπὶ τὰ ἔργα σου*, ἐν ΠΘ' ψαλμῷ. Ἐκεῖ γὰρ ἀντὶ τοῦ, Διὸ, κεῖται. *Ἐγκομβώσασθε* δὲ, ἀντὶ τοῦ, ἐνειλήσασθε, περιβάλεσθε· ἢ ἀναβάλεσθε, ἀναζείλασθε.

6 Ταπεινώθητε οὖν ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ θεοῦ,
7 ἵνα ὑμᾶς ὑψώσῃ ἐν καιρῷ· πᾶσαν τὴν μέριμναν ὑμῶν ἐπιῤῥίψαντες ἐπ' αὐτὸν, ὅτι αὐτῷ μέλει περὶ
8 ὑμῶν. Νήψατε, γρηγορήσατε· ὅτι ὁ ἀντίδικος ὑμῶν διάβολος, ὡς λέων ὠρυόμενος περιπατεῖ, ζητῶν,
9 τίνα καταπίῃ· ᾧ ἀντίστητε στερεοὶ τῇ πίστει, εἰδότες, τὰ αὐτὰ τῶν παθημάτων τῇ ἐν κόσμῳ ὑμῶν ἀδελφότητι ἐπιτελεῖσθαι.

Ἵνα ὑμᾶς ὑψώσῃ ἐν καιρῷ.] *Καιρὸν*, τὸν ἐπιτήδειόν φησιν, ὃς καὶ ὁ Δαυΐδ· *Ὁ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ* (α). Πρόσκειται δὲ τὸ, *ἐν καιρῷ*· πρὸς γὰρ τὴν ἐν τῷ μέλλοντι αἰῶνι ὕψωσιν παρακέμπεται, ἥτις καὶ μόνη ὕψωσις,

(α) Ψαλμ. Α', 3.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὡς ἀναλλοίωτος καὶ διαιωνίζουσα· ἡ γὰρ ἐνταῦθα ὕψωσις, οὐκ ἀσφαλὴς, οὐδὲ βεβαία· ἀλλ' ἔφεδρον εἰσαεὶ τὴν ταπείνωσιν κεκτημένη, θᾶττον ἢ ὑψωθῆναι ταπεινοῦται· τῆς δὲ ταπεινώσεως, τῆς τὸ ὕψος περιποιούσης, καὶ αὐτὸς ὁ Κύριος ἐχέγγυος πάροχος. Φησὶ γάρ· *Πᾶς ὁ ὑψῶν ἑαυτὸν, ταπεινωθήσεται· καὶ ὁ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται* (α)· καὶ· *Ὁ ἐθέλων πρῶτος ἐν ὑμῖν εἶναι, ἔστω πάντων ἔσχατος* (β). Ἠνίξατο δὲ διὰ τοῦ, *ἐν καιρῷ*, ὡς ἔφημεν, καὶ τὸ εἰς τὸν μέλλοντα ἐπαγγέλλεσθαι τὴν ἀπὸ τῆς ταπεινώσεως ὕψωσιν· ὁ γὰρ τῶν ἀναλλοιώτων καιρὸς, ἐν τῷ μέλλοντι καὶ ἀφθάρτῳ αἰῶνι· οὐδὲν γὰρ ὁ ἄφθαρτος ἐπίκηρον ἔχει. Εἶτα τὸ δέος ὑφαιρούμενος τὸ ἀπὸ τῆς ταπεινώσεως· (ἴσως γάρ τινας εὐλαβῶς ἔχειν ἑώρα, μὴ, ταπεινώσαντες ἑαυτοὺς κατὰ τὸν παρόντα βίον, πάθοιέν τι κακόν·) φησί· Μὴ δέδιθι, πᾶσαν τὴν μέριμνάν σου ἐπὶ Κύριον ἐπιρρίψας· ἀσφαλεῖ γὰρ φροντιστῇ ἑαυτὸν ἀναθέμενος ἔσῃ· τούτῳ γὰρ μέλει, ἤτοι, φροντὶς ἀπόκειται τούτων ἁπάντων. *Νήψατε, γρηγορήσατε.*] Τοῖς νοητῶς ὑπνοῦν εἰωθόσι· (τοῦτο δέ ἐστι τὸ περὶ τὰ μάταια κεχηνέναι·) καὶ ἀπὸ τούτων τὸ νηφάλιον καταβαρύνουσι τῶν ψυχῶν, τὸ πονηρὸν καὶ παγχάλεπον τῆς ἀπογνώσεως ἐπιπηδᾷ θηρίον. Τοῦτο οὖν ἀσφαλιζόμενος ὁ Χριστοῦ μαθητὴς, ἐγρηγορέναι ἀεὶ παραινεῖ, καὶ φυλάττεσθαι τὸν τῶν ζιζανίων σπορέα (γ), μήπως καθεύδουσιν ἡμῖν, ἤτοι ἀμελῶς καὶ ῥᾳθύμως διαβιοῦσι, λάθοι πονηροὺς ἐπισπείρας λογισμοὺς, καὶ τῆς ὄντως ἀποβουκολήσας ζωῆς. Οὐ γὰρ παύεται, φησιν, *ὡς λέων ὠρυόμενος* περιέρχεσθαι, *ζητῶν, τίνα καταπίῃ*· ᾧ καὶ αὐτοὶ διὰ τοῦ στερρροῦ τῆς ψυχῆς παραστήματος ἀντίστητε. Περὶ τῆς τοιαύτης δὲ ἀνενδότου ἐπιβουλῆς, καὶ τῆς ἐπιμελοῦς αὐτοῦ καθ' ἡμῶν πανουργίας τὴν αἰτίαν παρατιθέμενος καὶ Ἰουστῖνος ὁ ἅγιος μάρτυς, φησίν· « Ὡς ὁ διάβολος

(α) Λουκ. ιδ', 11. ιη', 4.
(β) Μαρκ. ί, 44. Ματθ. κ', 16.
(γ) Ματθ. ιγ', 25.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πρὸ τῆς τοῦ Κυρίου παρουσίας οὐκ ἤδει τρανῶς οὕτω τῆς ἑαυτοῦ τιμωρίας τὴν δύναμιν, τῶν θείων προφητῶν αἰνιγματωδῶς ταύτην διαγορευσάντων, ὡς ὁ Ἡσαΐας, ὑπὸ προσώπῳ τοῦ Ἀσσυρίου πᾶσαν τὴν κατὰ τὸν διάβολον δραματουργίαν ἐκτραγῳδῶν ἐπεκάλυψεν (α)· ἐν οἷς δὲ, τοῦ Κυρίου παραγενομένου, τῷ διαβόλῳ σαφῶς ἀποκεῖσθαι καὶ ἡτοιμᾶσθαι τὸ αἰώνιον πῦρ καὶ τοῖς ἀγγέλοις αὐτοῦ ἤκουσεν (β)· οὐ παύεται τοῖς πιστοῖς ἐπιβουλεύειν, πολλοὺς ἔχειν βουλόμενος τῆς ἑαυτοῦ κοινωνοὺς ἀποστάσεως, ὡς ἂν μὴ μόνος αἰσχύνοιτο ταύτῃ ἐνεχόμενος, ψυχρᾷ ταύτῃ καὶ βασκάνῳ παραμυθίᾳ περικροτούμενος.» *Εἰδότες, τὰ αὐτὰ τῶν παθημάτων.*] Πολλαῖς, ὡς ἔοικε, ταῖς διὰ Χριστὸν θλίψεσι κατείχοντο οὗτοι, πρὸς οὓς ὁ Πέτρος γράφει. Διὸ καὶ ἄνω καὶ κάτω τῆς ἐπιστολῆς τοῦτο παραμυθεῖται· ἐκεῖ μὲν, διὰ τοῦ κοινωνοὺς αὐτοὺς γίνεσθαι τῶν τοῦ Κυρίου πάσχοντας παθημάτων, καὶ τῆς ἀποκαλυπτομένης δόξης κληρονόμους· ἐνταῦθα δὲ, διὰ τοῦ μὴ μόνους πάσχειν, ἀλλὰ καὶ πάντας τοὺς κατὰ κόσμον πιστούς· συνελαφρίζει δὲ τὸ βάρος ἡ τῶν ἐπικοινωνούντων συγχέρεια.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Εὐχὴ ὑπὲρ τελειώσεως τῶν πιστευόντων.

10 Ὁ δὲ θεὸς πάσης χάριτος, ὁ καλέσας ἡμᾶς εἰς
τὴν αἰώνιον αὐτοῦ δόξαν ἐν Χριστῷ Ἰησοῦ, ὀλίγον
παθόντας, αὐτὸς καταρτίσαι ὑμᾶς, στηρίξαι, σθε-
11 νώσαι, θεμελιώσαι. Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς
12 τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Διὰ Σιλουανοῦ
ὑμῖν τοῦ πιστοῦ ἀδελφοῦ, ὡς λογίζομαι, δι' ὀλίγων ἔγραψα, παρακαλῶν καὶ ἐπιμαρτυρῶν ταύτην εἶναι ἀληθῆ χάριν τοῦ θεοῦ, εἰς ἣν ἑστήκατε.

(α) Ἡσ. Κεφ. ΙΔ'. (β) Ματθ. ΚΕ', 41.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

13 Ἀσπάζεται ὑμᾶς ἡ ἐν Βαβυλῶνι συνεκλεκτὴ, καὶ
14 Μάρκος ὁ υἱός μου. Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἀγάπης. Εἰρήνη ὑμῖν πᾶσι τοῖς ἐν Χριστῷ Ἰησοῦ. Ἀμήν.

Καὶ ἀρχόμενος τῆς ἐπιστολῆς, τὸν πατέρα ἔλεγε διὰ τοῦ υἱοῦ ἐλεῆσαι ἡμᾶς· καὶ νῦν ταύτην τελειῶν, τὸν αὐτὸν πατέρα εἰς τὴν αἰώνιον δόξαν καλέσαι διὰ τοῦ υἱοῦ διδάσκει· τοῦτο γὰρ αὐτοῖς σκοπὸς, τὸ μυστήριον κηρύξαι, εἰ καὶ μετὰ παραινέσεως τοῦτο ποιοῦσι. *Διὰ Σιλουανοῦ.*] Πιστὸς ὑπερβαλλόντως ὁ Σιλουανὸς οὗτος, καὶ περὶ τὸ κήρυγμα εὐθύμως ἀγωνιζόμενος, εἴγε καὶ Παῦλος αὐτοῦ μνημονεύει, καὶ συνεργὸν αὐτὸν μετὰ Τιμοθέου ἐν ταῖς ἐπιστολαῖς παραλαμβάνει, *Παῦλος*, λέγων, *καὶ Σιλουανὸς, καὶ Τιμόθεος* (α). *Βαβυλῶνα* δὲ τροπικώτερον τὴν Ῥώμην ὀνομάζει διὰ τὸ περιφανὲς, ᾧ καὶ ἡ Βαβυλὼν πολλῷ χρόνῳ ἔσχηκε. *Συνεκλεκτὴν* δὲ, τὴν ἐν αὐτῇ τῇ Ῥώμῃ συστᾶσαν ἐκκλησίαν καλεῖ. *Μάρκον* δὲ, τὸν εὐαγγελιστὴν λέγει, ὃν καὶ υἱὸν κατὰ πνεῦμα ἀποκαλεῖ, ἀλλ' οὐ κατὰ σάρκα. Τούτῳ δὲ καὶ τὸ εὐαγγέλιον γράψαι ἐπέτρεψε (ι). Τινὲς δὲ ὅμως τῶν πρὸ ἡμῶν ἐτόλμησαν καὶ σαρκικὸν υἱὸν ἀποφῆναι τοῦτον δὴ τὸν Μάρκον τοῦ θείου Πέτρου, τεκμηρίῳ χρησάμενοι τῷ ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων εἰρημένῳ Λουκᾷ. Φησὶ γὰρ τοῦτον τὸν Πέτρον, δι' ἀγγέλου θεοῦ τῆς φυλακῆς ἐκβληθέντα παραδόξως, ᾗ κατέκλεισεν αὐτὸν Ἡρῴδης, τοῦ χρηματισμοῦ τοῦ ἀγγέλου ἀφεθέντα, εἰς τὴν οἰκίαν ὁρμῆσαι τῆς μητρὸς Ἰωάννου, τοῦ ἐπικαλουμένου Μάρκου (β), ὡς εἰς τὴν ἑαυτοῦ οἰκίαν ἐπανελθόντα καὶ τὴν νομίμην σύζυγον. Τοῦ Παύλου δὲ, *Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι*, γράφοντος, *ἁγίῳ* (γ), οὗτος, *Ἐν φιλήματι*, φησιν, *ἀγάπης*, ταὐτὸν ἐκείνῳ λέγων. Ἐπίσταται γὰρ καὶ Παῦλος

(α) Α' Θεσ. Α', 1. Β' Θεσ. Α', 1. Κεφ. ΙΕ'. (β) Πραξ. ιβ', 12. (ι) Εὐσεβ. Ἐκκλ. Ἱς. βιβλ. Β'. (γ) Ῥωμ. ΙϚ', 16. Β' Κορ. ΙΓ', 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν κατὰ Χριστὸν ἀγάπην, μείζω πασῶν οὖσαν τῶν ἀρετῶν (α), καὶ αὐτοῦ τοῦ κατὰ Χριστὸν μαρτυρίου. Ἐκεῖνος μὲν οὖν, *φίλημα ἅγιον*, τὸ ἀφωρισμένον ἐν θεῷ λέγει· οὗτος δὲ, *ἀγάπης φίλημα*, τῆς ὄντως ἀγάπης, ἣν καὶ Παῦλος ἐξύμνησε. Διὸ καὶ ἐπάγει· *Εἰρήνη ὑμῖν πᾶσι τοῖς ἐν Χριστῷ Ἰησοῦ*, οὐ τῆς κοινῆς εἰρήνης λέγων, τῆς κατὰ ἀνθρώπους, ἥτις δι' ἐμπάθειαν ἀνθρώποις σπουδάζεται δόξης ἕνεκα ματαίας καὶ ἀπολαύσεως ἡδονῶν, πρὸς ἃς οἱ ἀπὸ τῶν πολέμων σχολάζοντες ἐπιδιδόασιν ἑαυτούς· ἀλλ' εἰρήνης αὐτοὺς τυχεῖν ἐπεύχεται, ἧς αὐτοὺς καὶ ὁ διδάσκαλος Χριστὸς, πρὸς πάθος χωρῶν, ἠξίωσε, φάσκων· *Εἰρήνην ἀφίημι ὑμῖν* (β)· καὶ ἐπαγαγὼν τὸ διάφορον, *Οὐ καθὼς ὁ κόσμος δίδωσιν, ἐγὼ δίδωμι ὑμῖν*. Οὐ γὰρ δι' ἐμπάθειαν εἰρηνευτέον, ἀλλὰ διὰ τὸ συνδεδεμένους ὑμᾶς τῇ ἀγάπῃ, οὕτω τὰς ἀπὸ τῶν ἀντιπάλων ἀπεκδέχεσθαι βολάς. Πανταχοῦ δὲ ὥσπερ σφραγῖδα ἐπιτιθέντες οἱ τοῦ Κυρίου μαθηταὶ τὴν ἐπὶ τέλει εὐχὴν, τὸ γνήσιον τῆς αὐτῶν ἁγιότητος ἐπιφέρουσιν.

(α) Α' Κορ. ΙΓ', 13. (β) Ἰωαν. ΙΔ', 27.

ΤΕΛΟΣ,

ΣΥΝ ΘΕΩ, ΤΗΣ ΠΕΤΡΟΥ ΠΡΩΤΗΣ ΚΑΘΟΛΙΚΗΣ ΕΠΙΣΤΟΛΗΣ.

Ἐγράφη ἀπὸ Ῥώμης.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Η
ΔΕΥΤΕΡΑ
ΠΕΤΡΟΥ ΚΑΘΟΛΙΚΗ
ΕΠΙΣΤΟΛΗ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ

ΠΕΤΡΟΥ ΚΑΘΟΛΙΚΗΣ

ΔΕΥΤΕΡΑΣ ΕΠΙΣΤΟΛΗΣ.

ΤΑΥΤΗΝ πάλιν ὁ αὐτὸς ὁ Πέτρος ἐπιστέλλει τοῖς ἤδη πιστεύσασιν. Ἔστι δὲ ἡ ἐπιστολὴ, ὑπόμνησις τῶν πρώτων. Εἰδὼς γὰρ, ταχεῖαν αὐτοῦ ἔσεσθαι τὴν ἀνάλυσιν τοῦ σώματος, ἐσπούδασε πάντας ὑπομνῆσαι, περὶ ὧν κατηχήθησαν, τὴν διδασκαλίαν. Καὶ πρῶτον μέν, περὶ τῆς πίστεως ἐξηγεῖται, δεικνὺς αὐτὴν ἀπὸ τῶν προφητῶν εὐηγγελίσθαι, καὶ ὅτι αἱ περὶ τοῦ σωτῆρος προφητεῖαι οὐκ εἰσὶν ἀνθρώπιναι, ἀλλὰ παρὰ θεοῦ ἐλαλήθησαν. Ἔπειτα παραγγέλλει, μὴ προσέχειν τοῖς ἀπατῶσιν, λέγων, ἔσεσθαι αὐτῶν ἀπώλειαν, ὥσπερ καὶ τῶν παραβάντων ἀγγέλων γέγονε. Προμηνύει δὲ ἐν τῇ ἐπιστολῇ, ἡμέρας ἔσεσθαι, ἐν αἷς ἐμπαίκται περιπατήσουσι, καὶ θελήσουσιν, ἀπατᾷν τινὰς, λέγοντες, μάτην λέγεσθαι παρ' ἡμῶν τὴν παρουσίαν τοῦ Σωτῆρος, διὰ τὸ ἀεὶ λέγεσθαι καὶ μήπω παραγενέσθαι. Ἀπὸ τούτων οὖν καὶ μάλιστα ἀπέχεσθαι παραγγέλλει, διδάσκων, μὴ ὀλιγωρεῖν ἐν τοῖς χρόνοις· πάντα γὰρ τὸν χρόνον μηδὲν εἶναι ἐνώπιον Κυρίου, διὰ τὸ καὶ τὴν μίαν ἡμέραν, ὡς χίλια ἔτη εἶναι, καὶ τὰ χίλια ἔτη, ὡς ἡμέραν μίαν. Ἔσεσθαι δὲ ταχέως τὴν ἡμέραν τοῦ Κυρίου διαβεβαιοῦται, καὶ ἀποδείκνυσι, καὶ ἐντέλλεται, ἑτοίμους εἶναι πάντας εἰς αὐτὴν ἐν ἔργοις ἀγαθοῖς· καὶ ἀγαπᾷ τὰ ὑπὸ τοῦ ἀποστόλου Παύλου γραφέντα, καὶ μὴ προσέχειν τοῖς διαβάλλουσιν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτὰ, διὰ τὸ καὶ πάσας τὰς θείας Γραφὰς διαβάλλειν αὐτούς. Ὑπομνήσας οὖν καὶ διδάξας πάντας, προειδέναι τὰ πράγματα, παραινεῖ, μὴ ἐκπίπτειν τοῦ σκοποῦ τῆς πίστεως. Καὶ οὕτω τελειοῖ τὴν ἐπιστολήν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΕΤΡΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η

ΚΑΘΟΛΙΚΗ ΔΕΥΤΕΡΑ

ΕΠΙΣΤΟΛΗ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ κλήσεως, τῆς ἐν πίστει, ἔργοις βεβαιουμένης τοῖς τῆς ἀρετῆς, ἐλπίδι τῶν μελλόντων ἀγαθῶν.

ΚΕΦ. Ι, 1 ΣΥΜΕΩΝ Πέτρος, δοῦλος καὶ ἀπόστολος Ἰησοῦ Χριστοῦ, τοῖς ἰσότιμον ἡμῖν λαχοῦσι πίστιν ἐν δικαιοσύνῃ τοῦ θεοῦ ἡμῶν καὶ σωτῆρος
2 Ἰησοῦ Χριστοῦ· χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη ἐν ἐπιγνώσει τοῦ θεοῦ, καὶ Ἰησοῦ Χριστοῦ, τοῦ Κυρίου ἡμῶν.

Συμεών.] Γράφεται καὶ *Σίμων*. Τοῦ γὰρ Συμεὼν, τὸ Σίμων ὑποκορισμός ἐστιν, ὡς καὶ τοῦ Μητρόδωρος, τὸ Μητρᾶς, καὶ τοῦ Μηνόδωρος, τὸ Μηνᾶς, καὶ τοῦ Θεοδόσιος, τὸ Θευδᾶς. Αὐτίκα δὲ ἐκ προοιμίων ἀνίστησι τὰ φρονήματα τῶν πιστευσάντων καὶ τὰς ψυχὰς, εἰς τὴν ἴσην αὐτοὺς διεγείρων περὶ τὸ κήρυγμα σπουδὴν τοῖς ἀποστόλοις· οἱ γὰρ ἰσότιμον χάρισμα λαχόντες, οὐκ ἂν δίκαιοι ὑστερεῖν τινὸς τούτων, ὧν ἴσοι πεφήνασι. Πανταχοῦ δὲ τῇ εἰρήνῃ αὐτοὺς περικροτεῖ, ἀλλ' οὐ τῇ τοῦ κόσμου, τῇ δὲ ἐν τῇ ἐπιγνώσει τοῦ θεοῦ. Αὕτη γὰρ μόνη εἰρήνη, ὡς τῆς προσκρούσεως ἡμᾶς ἀπαλλάττουσα καὶ τῆς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἔχθρας τῆς πρὸς τὸν θεόν. Διὸ καὶ ὁ Χριστὸς ταύτην ἡμῖν παρέσχεν, ἀναστὰς ἐκ νεκρῶν, καὶ ἀπιὼν πρὸς τὸν πατέρα, *Εἰρήνη ὑμῖν* (α), ἔφη. Καὶ ἐν ταῖς ἐκκλησίαις ἡμεῖς, τὸν ἄγγελον τῆς εἰρήνης ἡμῖν εὐχόμεθα δοθῆναι. Καὶ ὁ ἱερεὺς πολλάκις ταύτην παρέχει τῷ λαῷ ἀπὸ τοῦ ἁγίου θυσιαστηρίου. Καὶ ἡμεῖς ἐν ταῖς πρὸς ἀλλήλους προσρήσεσι ταύτῃ κεχρήμεθα· ὅτι αὕτη μήτηρ πάντων τῶν ἀγαθῶν, καὶ ὑπόστασις τῆς χαρᾶς ἡμῶν. Διὸ καὶ ὁ Κύριος, φοιτῶντας τοὺς ἑαυτοῦ μαθητὰς εἰς τὰς οἰκίας, ταύτην παρέχειν πρώτην ἐθέσπισε (β). *Ἐν ἐπιγνώσει τοῦ θεοῦ.*] Τὸ ἑξῆς οὕτως· *Ὑμῖν, τοῖς ἐν ἐπιγνώσει τοῦ θεοῦ καὶ Ἰησοῦ Χριστοῦ, τοῦ Κυρίου ἡμῶν, ἰσότιμον ἡμῖν πίστιν λαχοῦσι διὰ τῆς δικαιοσύνης τοῦ θεοῦ ἡμῶν, χάρις καὶ εἰρήνη πληθυνθείη.* Ἢ τὸ ἑξῆς οὕτως· Ἐν ἐπιγνώσει τοῦ θεοῦ καὶ Ἰησοῦ, τοῦ Κυρίου ἡμῶν· ἥτις ἐπίγνωσις διὰ τῆς θείας αὐτοῦ δυνάμεως πάντα τὰ πρὸς ζωὴν καὶ εὐσέβειαν ἐδωρήσατο, αὐτήν τε τὴν ἐπίγνωσιν τοῦ καλέσαντος ἡμᾶς διὰ δόξης καὶ ἀρετῆς· δι' ἧς δόξης καὶ ἀρετῆς τὰ τίμια καὶ μέγιστα ἐπαγγέλματα ἐδόθη· ἵνα γένησθε θείας κοινωνοὶ φύσεως, ἐν τῷ ἀποφυγεῖν τῆς κοσμικῆς ἐπιθυμίας τὴν φθοράν. Ἀλλὰ καὶ αὐτὸ τοῦτο, ἤτοι εἰς αὐτὸ τοῦτο σπουδὴν πᾶσαν παρεισενέγκαντες, ἐπιχορηγήσατε ἐν τῇ πίστει τὴν ἀρετήν, ἐν τῇ ἀρετῇ τὴν γνῶσιν, ἐν τῇ γνώσει τὴν ἐγκράτειαν, ἐν ταύτῃ τὴν ὑπομονήν, ἐν τῇ ὑπομονῇ τὴν εὐσέβειαν, ἐν ταύτῃ τὴν φιλαδελφίαν, ἐν τῇ φιλαδελφίᾳ τὴν ἀγάπην.

3 Ὡς πάντα ἡμῖν τῆς θείας δυνάμεως αὐτοῦ τὰ
πρὸς ζωὴν καὶ εὐσέβειαν δεδωρημένης, διὰ τῆς
ἐπιγνώσεως τοῦ καλέσαντος ἡμᾶς διὰ δόξης καὶ
4 ἀρετῆς· (δι' ὧν τὰ τίμια ἡμῖν καὶ μέγιστα ἐπαγ-
γέλματα δεδώρηται, ἵνα διὰ τούτων γένησθε θείας
κοινωνοὶ φύσεως, ἀποφυγόντες τῆς ἐν κόσμῳ ἐν
5 ἐπιθυμίᾳ φθορᾶς·) καὶ αὐτὸ τοῦτο δὲ σπουδὴν πᾶ-

(α) Ἰωαν. Κ', 19. (β) Ματθ. Θ', 1 καὶ Λουκ. Ι', 5.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σαν παρεισενέγκαντες, ἐπιχορηγήσατε ἐν τῇ πίσει
6 ὑμῶν τὴν ἀρετὴν, ἐν δὲ τῇ ἀρετῇ τὴν γνῶσιν, ἐν
δὲ τῇ γνώσει τὴν ἐγκράτειαν, ἐν δὲ τῇ ἐγκρατείᾳ
7 τὴν ὑπομονὴν, ἐν δὲ τῇ ὑπομονῇ τὴν εὐσέβειαν, ἐν
δὲ τῇ εὐσεβείᾳ τὸν φιλαδελφίαν, ἐν δὲ τῇ φιλαδελ-
8 φίᾳ τὴν ἀγάπην. Ταῦτα γὰρ ὑμῖν ὑπάρχοντα καὶ
πλεονάζοντα, οὐκ ἀργοὺς οὐδὲ ἀκάρπους καθίστη-
σιν εἰς τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπί-
9 γνωσιν· ᾧ γὰρ μὴ πάρεστι ταῦτα, τυφλός ἐστι,
μυωπάζων, λήθην λαβὼν τοῦ καθαρισμοῦ τῶν πά-
λαι αὐτοῦ ἁμαρτιῶν.

Ὡς *πάντα ἡμῖν.*] Τὸ ἑξῆς οὕτω· *Χάρις ὑμῖν καὶ εἰρήνη, ὡς πάντα τὰ πρὸς ζωὴν καὶ εὐσέβειαν ἐν τῇ ἐπιγνώσει τοῦ θεοῦ, καὶ Ἰησοῦ Χριστοῦ, τοῦ Κυρίου ἡμῶν, διὰ τῆς θείας αὐτοῦ δυνάμεως, τῆς χάριτος ταύτης ὑμῖν δωρησαμένης αὐτοῦ τὴν ἐπίγνωσιν, τὴν δόξαν, τὴν ἀρετήν· δι' ὧν τὰ μέγιστα ἐπαγγέλματα ἐδωρήθη· ἵνα, ἀποφυγόντες τὴν κοσμικὴν φθορὰν, τὴν δι' ἐπιθυμίας ἐγγινομένην, γένησθε κοινωνοὶ τῆς θείας φύσεως.* Διὰ μακροῦ μὲν ἀποδέδοται· ἔστι δὲ ἡ διάνοια αὕτη· Ὡς μυρία λαβόντες ἀγαθὰ διὰ τῆς ἐπιφανείας Χριστοῦ, δι' ὧν δυνάμεθα καὶ θείας φύσεως γενέσθαι κοινωνοὶ, καὶ πρὸς ζωὴν καὶ εὐσέβειαν ἀναχθῆναι, ὀφείλομεν πολιτεύεσθαι οὕτως, ὡς ἐπιχορηγεῖν τῇ πίστει τὴν ἀρετὴν, καὶ διὰ τῆς ἀρετῆς βαδίζειν εἰς τὴν κατ' εὐσέβειαν προκοπὴν, ἕως εἰς τὸ τέλειον τῶν ἀγαθῶν, ὅ ἐστιν ἡ ἀγάπη, ἔλθωμεν. Θείας δὲ κοινωνοὶ φύσεως γεγόναμεν διὰ τῆς τοῦ Κυρίου καὶ θεοῦ ἐπιδημίας, ἀπαρχὴν τῆς ἡμετέρας φύσεως ἐν ἑαυτῷ ὑποστήσαντός τε καὶ ἁγιάσαντος τῇ προσλήψει. Εἰ δὲ ἡ ἀπαρχὴ ἁγία, καὶ τὸ φύραμα (α)· φύραμα δὲ τῆς ἀπαρχῆς οὐκ ἄλλο, ἢ οἱ ἐξ ὧν ἡ ἀπαρχή. *Φθορὰν* δὲ, τὴν ἀπὸ τῆς κοσμικῆς ἐπιθυμίας φησὶν, ὡς ἐκ φθαρτῶν τε καὶ περὶ φθαρτὰ συγκειμέ-

(α) Ῥωμ. ιά', 16.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νης. Ἵνα διὰ τούτων γένησθε θείας κοινωνοὶ φύσεως, ἀποφυγόντες.] Τὸ ἑξῆς οὕτως· Ἵνα, ἀπαλλαγέντες τῆς ἐν κόσμῳ φθορᾶς, τῆς ἐν ἐπιθυμίᾳ σαρκικῇ τελουμένης, γένησθε θείας φύσεως κοινωνοί· τὸ γὰρ, ἀποφυγόντες, ἀντὶ τοῦ, ἀπαλλαγέντες, ἐστί. Καὶ αὐτὸ τοῦτο δὲ, καὶ ἑξῆς.] Βαθμοὺς τῆς προκοπῆς ἐπίσταται, πρώτην τὴν πίστιν, ἥτις θεμέλιός ἐστι τῶν ἀγαθῶν καὶ κρηπίς. Εἶτα δεύτερον βαθμὸν, τὴν ἀρετὴν, ἤτοι τὰ ἔργα· χωρὶς γὰρ τούτων ἡ πίστις νεκρὰ, ὡς Ἰάκωβός φησιν (α). Ἐπὶ τούτοις ἡ γνῶσις. Τίς δὲ αὕτη; Ἡ τῶν τοῦ θεοῦ ἀποκρύφων μυστηρίων εἴδησις, ἥτις οὐ τῷ τυχόντι παραγίνεται, ἀλλὰ τῷ δι' ἔργων κρειττόνων τὴν ἕξιν γεγυμνασμένῳ. Ἐπὶ τούτοις ἡ ἐγκράτεια. Δεῖ γὰρ καὶ ταύτης τῷ πρὸς μέτρον ἀφικομένῳ, ὡς ἂν μὴ ἐξυβρίζοι τῷ μεγέθει τῆς δωρεᾶς. Ἐπειδὴ δὲ οὐκ ἔστιν ἐπὶ μικρὸν χρώμενον τῇ ἐγκρατείᾳ βεβαίαν κεκτῆσθαι τὴν δωρεάν· (φιλοῦσι γὰρ ἀεὶ τὰ πάθη, τοῦ καταγγάντος ἐλευθεριάσαντα, ἐπὶ τὸ χεῖρον προάγεσθαι·) ἡ ὑπομονὴ ἐπεισελθοῦσα, τὸ πᾶν κατειργάσατο, καὶ τὴν εὐσέβειαν προεξένησε, τελειωτέραν τὴν εἰς θεὸν ἀπεργασαμένη πεποίθησιν. Διὸ καὶ τῇ εὐσεβείᾳ ἡ φιλαδελφία προσεπορίσθη, οὐκ ἂν ἐπιγενομένη εἰ μὴ τῆς εὐσεβείας τὸ περὶ πάντα εὐγνωμονικὸν παρέσχεν ἐπίβασιν. Καὶ ἐπὶ πᾶσι, τὸ πάντων ἀγαθῶν πλήρωμα, ἡ ἀγάπη, ὡς Παῦλῳ (β) καὶ τῇ ἀληθείᾳ δοκεῖ. Αὕτη γὰρ καὶ τὸν τοῦ θεοῦ υἱὸν, καὶ τὸν τούτου πατέρα ἐξεβιάσατο, τὸν μὲν, τὸν ἀγαπητὸν αὐτοῦ υἱὸν δοῦναι· τὸν δὲ υἱὸν, τὸ αἷμα αὐτοῦ ὑπὲρ ἡμῶν ἐκχέαι. Τιῦτα γὰρ ὑμῖν ὑπάρχοντα.] Ταῦτα. Ποῖα; Ἡ πίστις, ἡ ἀρετὴ, ἡ γνῶσις, ἡ ἐγκράτεια, ἡ ὑπομονὴ, ἡ εὐσέβεια, ἡ φιλαδελφία, ἡ ἀγάπη· ἅτινα οὐ μόνον παρεῖναι δεῖ, ἀλλὰ καὶ πλεονάζειν. Εἰ γὰρ ἡ παρουσία αὐτῶν ὠφελεῖ, πολλῷ μᾶλλον ἡ περιουσία. Τίς δὲ ἡ ἐξ αὐτῶν ὠφέλεια; Τὸ παῤῥησίαν ἔχειν εἰς τὴν τοῦ

(α) Ἰακ. Β', 17. (β) Ῥωμ. Π', 10. Κολ. Γ', 14.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κυρίου δευτέραν παρουσίαν. Τῷ γὰρ μὴ ἔχοντι ταῦτα, ἐν δόξῃ τοῦ κριτοῦ παραγινομένου, καὶ ὡς ἡλίου ἀπαστράπτοντος, τύφλωσις ἐπακολουθεῖ, ὅπουγε, καὶ εἰ ἔρρωτο τὴν ὄψιν, οὐδ' οὕτως ἐνῆν αὐτῷ ἀπαθῶς ἐνορᾶν τὸ ὑπέρλαμπρον, πεφυκότος ἀεὶ τοῦ ἄγαν τῷ φωτὶ ἀποσίλβοντος, ἀμαυροῦν τοὺς ἀσθενεῖς ὀφθαλμοὺς τῶν πρὸς αὐτὸ τούτους ἐπερειδόντων. *Τυφλός ἐστι, μυωπάζων.*] *Μυωπάζειν*, τὸ τυφλώττειν εἴρηται, ἀπὸ τῶν ὑπὸ τὴν γῆν μυῶν, τυφλῶν εἰς ἅπαν διατελούντων. *Λήθην λαβὼν τοῦ καθαρισμοῦ τῶν πάλαι αὐτοῦ ἁμαρτιῶν.*] Τοῦτο ὅμοιον τῷ ὑπὸ τοῦ μακαρίου Ἰακώβου εἰρημένῳ· *Ὅτι, εἴ τις ἀκροατὴς λόγου ἐστὶ, καὶ οὐ ποιητὴς, οὗτος ἔοικεν ἀνδρὶ κατανοοῦντι τὸ πρόσωπον τῆς γενέσεως αὐτοῦ ἐν ἐσόπτρῳ. Κατενόησε γὰρ ἑαυτὸν, καὶ ἀπελήλυθε, καὶ εὐθέως ἐπελάθετο, ὁποῖος ἦν* (α). Καὶ γὰρ καὶ οὗτος, ἐπιγνοὺς ἑαυτὸν διὰ τοῦ καθαρθῆναι τῷ ἁγίῳ βαπτίσματι, ὅτι πλήθους ἁμαρτιῶν ἐξεπλύθη, δέον εἰδέναι, ὅτι καθαρθεὶς καὶ ἁγιότητα ἔλαβε, νήφειν, ἵνα διαπαντὸς τηρῇ τὸν ἁγιασμὸν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον, ὁ δὲ ἐπελάθετο.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Παραγγελία εἰς ὑπόμνησιν τῆς διδασκαλίας μετὰ τὴν ἀνάλυσιν αὐτοῦ, καὶ ὅπως ἐν ὄρει Θαβὼρ τῆς τοῦ θεοῦ περὶ τοῦ υἱοῦ ἐπήκουσε φωνῆς.

10 Διὸ μᾶλλον, ἀδελφοὶ, σπουδάσατε, βεβαίαν ὑμῶν
τὴν κλῆσιν καὶ ἐκλογὴν ποιεῖσθαι· ταῦτα γὰρ
11 ποιοῦντες οὐ μὴ πταίσητέ ποτε. Οὕτω γὰρ πλου-

(α) Ἰακ. Α', 23. 24.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σίως ἐπιχορηγηθήσεται ὑμῖν ἡ εἴσοδος εἰς τὴν αἰώνιον βασιλείαν τοῦ Κυρίου ἡμῶν καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ. Διὸ οὐκ ἀμελήσω, ἀεὶ ὑμᾶς ὑπομιμνήσκειν περὶ τούτων, καίπερ εἰδότας, καὶ ἐστηριγμένους ἐν τῇ παρούσῃ ἀληθείᾳ. Δίκαιον δὲ ἡγοῦμαι, ἐφ' ὅσον εἰμὶ ἐν τούτῳ τῷ σκηνώματι, διεγείρειν ὑμᾶς ἐν ὑπομνήσει· εἰδὼς, ὅτι ταχινή ἐστιν ἡ ἀπόθεσις τοῦ σκηνώματός μου, καθὼς καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐδήλωσέ μοι. Σπουδάσω δὲ καὶ ἑκάστοτε, ἔχειν ὑμᾶς μετὰ τὴν ἐμὴν ἔξοδον, τὴν τούτων μνήμην ποιεῖσθαι.

Διό, φησι, *μᾶλλον, ἀδελφοί μου, σπουδάσατε*, μόνιμον καὶ ἀμετακίνητον δεικνύντες *τὴν κλῆσιν ὑμῶν καὶ ἐκλογὴν*, τουτέστι, τὸν κατηχητικὸν λόγον, ὃν παρὰ τὴν ἐκλογὴν ὑμῶν καὶ τὴν κλῆσιν *ἠκούσατε*, ἀνεπίληπτοι εἶναι· ἵνα μὴ, ὡς ἐπιλελησμένοι τῆς δωρεᾶς τοῦ θεοῦ, κριθῆτε, ἀλλὰ μείνητε βεβαίαν τὴν κλῆσιν ὑμῶν ἔχοντες. *Ταῦτα γὰρ ποιοῦντες.*] *Ταῦτα.* Ποῖα; Τὰ προειρημένα· οἷον τὴν ἀρετὴν, τὴν γνῶσιν, τὴν ἐγκράτειαν, καὶ τὰ ἑξῆς τούτων. Σκόπει δὲ, πῶς πρότερον ἀπὸ τῶν φοβερῶν προτρεψάμενος τοῦ ῥήματος τοῦ κριτοῦ, νῦν καὶ ἀπὸ τῶν ἀγαθῶν προτρέπεται, τῆς εἰσόδου δηλαδὴ τῆς εἰς τὴν αἰώνιον βασιλείαν τοῦ Κυρίου. *Καίπερ εἰδότας.*] Ἵνα μὴ δόξωσι, συνεχῶς ἀναμιμνησκόμενοι περὶ τῶν αὐτῶν, ὡς ἐν ἀργίᾳ εἶναι κατεγνωσμένοι, καὶ λυπηθῶσι, τούτου χάριν ἐπήγαγε τὸ, *Καίπερ εἰδότας, καὶ ἐστηριγμένους ἐν τῇ παρούσῃ ἀληθείᾳ.* Αἰτίαν δὲ ἀποδιδοὺς τῆς συνεχοῦς ὑπομνήσεως, ἐπήγαγε τὸ, Εἰδέναι, ταχεῖαν ἔσεσθαι τὴν ἀπὸ τοῦ σώματος αὐτοῦ τούτου ἀπαλλαγήν. Τὸ δὲ ἐπιφερόμενον, λέγω δὲ τό· *Σπουδάσω δὲ*, καὶ ἑξῆς, ἐν ὑπερβατῷ τινες ἀκούοντες, οἷον· *Σπουδάσω δὲ καὶ μετὰ τὴν ἐμὴν ἔξοδον, ἔχειν ὑμᾶς ἑκάστοτε*, τουτέστι, καθ' ἑκάστην καὶ διηνεκῶς, *τὴν τούτων μνήμην*, βούλονται παρισᾶν ἀπὸ τούτου, ὅτι καὶ μετὰ θάνατον οἱ ἅγιοι μέμνηνται τῶν τῇδε, καὶ πρεσβεύουσιν ὑπὲρ τῶν ζώντων, ὥσπερ οὐκ ἔξω πί-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

στεως ἐναργοῦς ὁσημέραι τοῦτο γινόμενον ὁρώντων τῶν ἐπικαλουμένων τὴν θείαν αὐτῶν χάριν. Καὶ τοῦτο μὲν οὕτως ἐκεῖνοι. Ἄλλοι δὲ ἁπλῶς μεταχειριζόμενοι τὸ ῥητὸν, οὕτω νοοῦσι· *Σπουδάσω δὲ καὶ ἑκάστοτε, ἔχειν ὑμᾶς μετὰ τὴν ἐμὴν ἔξοδον, τὴν τούτων μνήμην ποιεῖσθαι·* τουτέστι· Μὴ θαυμάζετε, μηδὲ βαρὺ ἡγεῖσθε τὴν ἐνδελεχῆ περὶ τῶν αὐτῶν ὑμῖν καταγγελίαν. Οὐ γὰρ κατάγνωσιν ὑμῶν ἀμαθίας ἔχων τοῦτο ποιῶ, ἀλλὰ τῇ συνεχείᾳ τῆς περὶ τούτων διδασκαλίας ἔμμονον καὶ ἀμετακίνητον ὑμῖν ἐργάζομαι τὴν τούτων ἀντίληψιν, ὡς ἂν, τούτοις βεβαιωθέντες, ἔχητε καὶ μετὰ τὴν ἐμὴν ἀποβίωσιν ἔνηχα καὶ ἀνεξάλειπτα τὰ περὶ τούτων διδάγματα.

16 Οὐ γὰρ σεσοφισμένοις μύθοις ἐξακολουθήσαντες ἐγνωρίσαμεν ὑμῖν τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δύναμιν καὶ παρουσίαν, ἀλλ' ἐπόπται γε-
17 νηθέντες τῆς ἐκείνου μεγαλειότητος. Λαβὼν γὰρ παρὰ θεοῦ πατρὸς τιμὴν καὶ δόξαν, φωνῆς ἐνεχθείσης αὐτῷ τοιᾶσδε ὑπὸ τῆς μεγαλοπρεποῦς δόξης· «Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, εἰς ὃν ἐγὼ εὐδό-
18 κησα (α).» Καὶ ταύτην τὴν φωνὴν ἡμεῖς ἠκούσαμεν ἐξ οὐρανοῦ ἐνεχθεῖσαν, σὺν αὐτῷ ὄντες ἐν τῷ ὄρει
19 τῷ ἁγίῳ. Καὶ ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον· ᾧ καλῶς ποιεῖτε προσέχοντες, ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τόπῳ, ἕως οὗ ἡμέρα διαυγάσῃ,
20 καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν· τοῦτο πρῶτον γινώσκοντες, ὅτι πᾶσα προφητεία γραφῆς,
21 ἰδίας ἐπιλύσεως οὐ γίνεται. Οὐ γὰρ θελήματι ἀνθρώπου ἠνέχθη ποτὲ προφητεία, ἀλλ' ὑπὸ Πνεύματος ἁγίου φερόμενοι ἐλάλησαν ἅγιοι (1) θεοῦ ἄνθρωποι.

Εἰπὼν, περισπουδάστως ἔχειν αὐτοὺς ὀφείλειν, δηλονότι εἰς τὰ ὑπ' αὐτοῦ εὐαγγελισθέντα αὐτοῖς, καὶ περὶ τούτου πολὺν κατατείνας τὸν λόγον, καὶ πολλάκις, καίπερ εἰδότας καὶ ἀκη-

(α) Ματθ. ιζ'. 5. (1) Παρ' ἄλλοις, οἱ ἅγιοι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κούτας διαφόρως, νῦν τὸ πιστωτικὸν αὐτῶν ἐπιφέρει, καὶ φησιν· Ὅτι οὐ μάτην τὴν περὶ αὐτὰ ἐπιμέλειαν ἐπιδείκνυμαι, ἀλλὰ τὸ καίριον αὐτῶν ἐπιστάμενος καὶ ἀληθέστατον, κατὰ τοσοῦτον αὐτοῦ περιέχομαι. Καὶ τί τοῦτο; Τὸ μὴ σοφίᾳ ἀνθρωπίνῃ χρησαμένους εἰς ὑμᾶς, καὶ κεκαλλιεπημένοις λόγοις καταγοητεύσαντας ὑμῶν τὴν ἀκοήν, *γνωρίσαι ὑμῖν τὴν τοῦ Κυρίου δύναμιν καὶ παρουσίαν*, ὃ ποιοῦσιν Ἕλληνες καὶ αἱρετικοί· Ἕλληνες μέν, τῇ καλλιλεξίᾳ χρώμενοι καὶ ἐξαπατῶντες· αἱρετικοὶ δὲ, τοῖς πλάσμασιν, ὡς οἱ ἀπὸ Οὐαλεντίνου, *βυθοὺς* καὶ *σιγὴν* τερατολογοῦντες· εἰκὸς γὰρ αὐτοὺς καὶ ἤδη ἄρχεσθαι ὑποφυομένους. Οὐδὲν οὖν τοιοῦτον κατανοεῖν ἐστὶν ἐν ἡμῖν· λιτῷ γὰρ πεποιήμεθα λόγῳ τὴν πρὸς ὑμᾶς διδασκαλίαν, ὃ καὶ Παῦλος πρὸς Κορινθίους φησί (α)· καὶ ἅπερ ἐξ αὐτοψίας ἔχομεν, οἱ ἐν τῷ ὄρει τῷ ἁγίῳ συναναβάντες αὐτῷ. Λέγει δὲ τὴν ἐν τῇ μεταμορφώσει δειχθεῖσαν αὐτοῖς ὑπὸ τοῦ μονογενοῦς δόξαν, καὶ τὴν φωνὴν, ἣν ὑπὸ τοῦ πατρὸς ἐξ οὐρανοῦ ἐνεχθεῖσαν διὰ τὸν Κύριον ἤκουσαν (β). *Λαβὼν γὰρ παρὰ θεοῦ πατρός.*] Τοῦτο ἡ ἀντὶ ὁριστικοῦ ῥήματος ἔταξε, *λαβὼν*, ἀντὶ τοῦ, ἔλαβεν· ἐπεὶ μὴ κατὰ τὸ ἀκόλουθον τῆς μετοχῆς, κατὰ τὸν τῆς τοῦ λόγου συντάξεως κανόνα, εἰς ὁριστικὸν ῥῆμα ἡ ἀπόδοσις φέρεται· ἢ, εἰ μὴ τοῦτο, βούλεταί δέ τις ἐνταῦθα λαμβάνειν ὡς μετοχὴν κυρίως τὸ, *λαβὼν*, ἀναγκαίως εἰς ἀσυνταξίαν ὁ λόγος ἐξολισθήσει· ἀντὶ δὲ τῆς μετοχῆς, τοῦ ὁριστικοῦ λαμβανομένου, ἀκόλουθον τὸ ἐπιφερόμενον ἔσται· οἷον· *Ἔλαβε γὰρ παρὰ θεοῦ πατρὸς τιμὴν καὶ δόξαν. Φωνῆς ἐνεχθείσης αὐτῷ.*] Οὐχ ὅτι περὶ τῆς ἐνεχθείσης φωνῆς ὑπὸ τοῦ πατρὸς ἄνωθέν ἐστί τις προφητεία, ἀλλ' ὅτι ἀπὸ τῆς τοῦ πατρὸς ἄνωθεν φωνῆς τὴν υἱότητα μαρτυρησάσης, ἠδράσθημεν πᾶσαν τὴν διὰ τῶν προφητῶν χρησμῳδίαν, ἀναντιῤῥήτως ἐπὶ τὸν ὑπὸ τοῦ πατρὸς μαρτυρούμενον φέρεσθαι. *Οὗτός ἐστιν ὁ υἱός μου.*] Τρὶς γέγονεν ἡ ἀπὸ τοῦ πατρὸς τῷ

(α) Α' Κορ. Β', Ι', καὶ ἑξῆς.
(β) Ματθ. ΙΖ', 1—5. Μαρκ. Θ', 2—7. Λευκ. Θ', 28—35.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

υἱῷ μαρτυρία, ἐπὶ τοῦ βαπτίσματος (α), ἐν τῷ πάθει, τό· *Καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω* (β)· καὶ ἐπὶ τοῦ ὄρους. *Καὶ ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον.*] Ἐπεί, φησι, διὰ τῶν πραγμάτων καὶ τῆς πείρας ἔγνωμεν τὰ ὑπὸ τῶν προφητῶν προκατηγγελμένα, βεβαιοτέραν κρίνομεν διὰ τούτων τὴν προφητείαν αὐτῶν· τοῖς λόγοις γὰρ ἐπηκολούθησαν τὰ πράγματα. *Ὃ καλῶς ποιεῖτε προσέχοντες*, καὶ ἑξῆς.] Διὸ καὶ ὑμεῖς *καλῶς ποιεῖτε, προσέχοντες τῇ προφητείᾳ*, ἤτοι, τοῖς ὑπὸ τῶν προφητῶν προλελαλημένοις, κἂν εἰ ἀμυδρῶς ὑπ' αὐτῶν ἐλέχθη τότε, καὶ κατὰ τὴν εἰκόνα τοῦ ἐν ζοφώδει τόπῳ καιομένου λύχνου· τοιοῦτον γὰρ ὁ *αὐχμηρὸς τόπος* τῇ τοῦ ἡλίου ὑπεκκαιόμενος θάλψει, καὶ τῆς τὸν ἀέρα εἰδοποιούσης νοτίδος ἀποστερούμενος· ἀφ' οὗ, τὸν διακονοῦντα τῇ τοῦ ἡλίου ἀκτῖνι ἀέρα τὴν ἑαυτοῦ κινδυνεύοντα ἰδιότητα ἀπολέσαι, ἀνάγκη νόθον παρέχειν ἑαυτὸν διάκονον τῷ ἡλίῳ, καὶ ὡς διὰ νόθου ὀχήματος τὴν ἀκτῖνα φερομένην, ἀμυδρὰν τὴν ἑαυτῆς ἐπιφαίνειν λαμπρότητα. *Προσέχοντες* δὲ τούτοις, τοῖς οὕτως ἀσαφῶς ὑπὸ τῶν προφητῶν εἰρημένοις, οὐκ ἀστοχήσετε τῆς ἐλπίδος· τῶν πραγμάτων γὰρ κατὰ τὸν ἴδιον καιρὸν παραγινομένων, ἃ καὶ *ἡμέραν* ἐκάλεσε, σοφῶς ἄγαν τῇ τροπῇ ἐπιμείνας· (εἶπε γὰρ *λύχνον*, καὶ *τόπον αὐχμηρὸν*, ἤτοι, ζοφώδη καὶ σκοτεινόν, ὅπερ καὶ ἡ νύξ ἐστι· νυκτὶ δὲ πάσῃ ἡμέρα ἐπακολουθεῖ.) Ἡμέρας οὖν, φησί, παραγενομένης, τῆς τῶν πραγμάτων, λέγω, παρουσίας, ἕξετε τὸν φωσφόρον ἀνατέλλοντα ἐν ταῖς καρδίαις ὑμῶν· (τουτέστι, τὴν τοῦ Χριστοῦ γνῶσιν, ἤτοι, τὴν παρουσίαν αὐτοῦ, τὴν προκατηγγελμένην ὑπὸ τῶν προφητῶν·) καὶ ὡς φῶς ἀληθὲς τὰς καρδίας ὑμῶν ἐλλαμπρύνοντα. *Τοῦτο πρῶτον γινώσκοντες*, καὶ τὰ ἑξῆς.] Ἦδεσαν οἱ προφῆται καὶ ἃ ἐμπνέονται ὑπὸ τοῦ προφητικοῦ πνεύματος, καὶ περὶ ὧν, οὐ μέντοι καὶ ἀκριβῶς, καὶ ὡς καθέκαστα ἐπε-

(α) Ματθ. Γ'. 17. (β) Ἰωαν. ΙΒ', 28.

Δημόσια Κεντρική Βιβλιοθήκη Πάτρας

τελέσθη. Διὸ καὶ συνιέντες, ἐπεθύμουν ἰδεῖν τὴν τούτων ἔκβασιν, ὡς καὶ ὁ Κύριός φησιν (α). Εἶτα ἐπάγει ἐπεξηγούμενος, διὰ τί οἱ προφῆται τὰ ὑπ' αὐτῶν εἰρημένα οὐχ ἡρμήνευσαν, ἅμα δὲ καὶ διακρίνει τὴν ἀληθῆ προφητείαν τῆς δαιμονιώδους καὶ πλαστῆς, ἥτις καὶ ἐν τοῖς αἱρετικοῖς ἐνεργοῦσα καταλαμβάνεται· καί φησιν· *Ὅτι πᾶσα προφητεία γραφῆς, ἰδίας ἐπιλύσεως οὐ γίνεται. Οὐ γὰρ θελήματι ἀνθρώπου ἠνέχθη ποτὲ προφητεία.*] Τοῦτ' ἔστιν, ὅτι λαμβάνουσι μὲν ἀπὸ θεοῦ οἱ προφῆται τὴν προφητείαν, ἀλλ' οὐχ ὡς ἐκεῖνοι βούλονται, ἀλλ' ὡς τὸ κινοῦν αὐτοὺς θεῖον ἐνεργεῖ Πνεῦμα. Καὶ ᾔδεσαν μὲν καὶ συνίεσαν τὸν καταπεμπόμενον αὐτοῖς προφητικὸν λόγον, οὐ μέντοι καὶ τὴν ἐπίλυσιν αὐτοῦ ἐποιοῦντο. Καὶ ὅτι οἱ ἀπὸ θείου ἐνεργούμενοι Πνεύματος προφῆται ᾔδεσαν, ὡς ἀπὸ θεοῦ καταπέμπεται ὁ λόγος αὐτοῖς, δῆλον ἀφ' ὧν ἑκόντες ὑπούργουν, καὶ ὃ ἂν ἤθελον ἐλάλουν, ὃ δὲ μὴ ἤθελον, ἐσιώπων· ὡς Ἰωνᾶς ὁ προφήτης παραιτούμενος τὸ κήρυγμα τῆς Νινευὶ (β), καὶ ὁ Βαλαὰμ, παραγγελλόμενος λαλῆσαι τὰ ὑποβαλλόμενα αὐτῷ (γ)· οὐ μὴν καὶ οἱ ψευδοπροφῆται, ἢ τὰ Ἑλλήνων μαντεῖα· οὐ γὰρ ᾔδεσαν ἐν τῷ ἐνεργεῖσθαι, ἀλλὰ μανίᾳ γινόμενοι παράφοροι, ἠγνόουν, ὃ ἔπασχον, ὡς οἱ μεθύοντες. Οἱ μέντοι ἅγιοι προφῆται, οἱ παλαιοί, φημι, καίπερ εἰδότες, οὐ χρείαν εἶχον ἑρμηνεύειν τὰ ὑπ' αὐτῶν, ἀλλ' ἑτέροις διεκόνουν ταῦτα· (ἡμῖν γάρ.) Ἅμα δὲ καὶ ἵνα λανθάνῃ ἡ τοῦ Κυρίου παρουσία, καὶ μὴ ἐπιβουλεύηται πρὸς τῶν ἀσεβῶν· ἐπιβουλευομένη μὲν γὰρ ἠδύνατο καὶ διαδιδράσκειν διὰ τῆς ἀνυπερβλήτου τοῦ θεοῦ δυνάμεως· ἀλλ' εἰκὸς ἐνίοτε, διὰ παραδόξων τῆς ἀποφυγῆς τελουμένης, ὡς τερατῶδες ἔδοξε τὸ τελούμενον τῇ ἐνανθρωπήσεως. Καὶ ὅτι ἀληθὲς τοῦτο, δῆλον ἀπὸ τῶν ἐν τῇ Νέᾳ προφητῶν, οἳ καὶ ἡρμήνευον ἑαυτοὺς προφητεύοντες, εἰ καὶ μὴ πάντες, ὡς Παῦλος ὁ θεῖος ἐν τῇ πρὸς Κορινθίους πρώτῃ φησίν (δ)·

(α) Λουκ. ιʹ, 24. (β) Ἰωνᾶ Κεφ. Αʹ.
(γ) Ἀριθ. Κεφ. ΚΒʹ. (δ) Αʹ Κορ. Κεφ. ΙΔʹ.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

οὐ γὰρ ἦν τινὸς τοιούτου ὑποψία ἐν τῇ Νέᾳ. Ἀλλὰ καὶ ὅτι οὐκ ἐξιστάμενοι οἱ προφῆται ἐχρησμῴδουν, δῆλον ἐκ τούτου· ὅτι ἐξ ἑνὸς πνεύματος προεφήτευον οἱ ἐν τῇ Παλαιᾷ καὶ ἐν τῇ Νέᾳ· φησὶ δὲ ὁ Παῦλος· *Ἐὰν δὲ ἀποκαλυφθῇ ἄλλῳ καθημένῳ, ὁ πρῶτος σιγάτω* (α). Σαφὲς γὰρ ἐκ τούτου, ὅτι ἐν τῷ κατὰ φύσιν ἱστάμενοι οἱ προφῆται καὶ συνιέντες, ἐκόντες προεφήτευον· διὸ καί, ἄλλου ἀνισταμένου, τοῦ ἐμπνευσθέντος, ὁ πρῶτος λαλῶν, σιγᾷν ἐπιτρέπεται· ὅπερ οὐκ ἂν ἐπὶ μαινομένων εὕροι τις. Πῶς γὰρ σιωπήσει ὁ μηδ' ὅ,τι δρᾷ ἐπιστάμενος; Καὶ Πνεύματος δὲ εἶναι ἐνέργειαν ἁγίου ἐν τοῖς προφήταις, ὁ αὐτὸς Παῦλός φησιν, οὕτω λέγων· *Ὧ μὲν δίδοται λόγος σοφίας, ᾧ δὲ προφητείας* (β)· ἀλλὰ καὶ οὗτος διὰ τῶν προκειμένων.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Πρόρρησις ἀπατηλῆς ἐπαναστάσεως αἱρετικῶν, ἀσεβείας τε αὐτῶν, καὶ μελλούσης κολάσεως.

Κεφ. II, 1 Ἐγένοντο δὲ καὶ ψευδοπροφῆται ἐν τῷ λαῷ, ὡς καὶ ἐν ὑμῖν ἔσονται ψευδοδιδάσκαλοι, οἵτινες παρεισάξουσιν αἱρέσεις ἀπωλείας, καὶ τὸν ἀγοράσαντα αὐτοὺς δεσπότην ἀρνούμενοι, ἐπάγοντες
2 ἑαυτοῖς ταχινὴν ἀπώλειαν· (καὶ πολλοὶ ἐξακολουθήσουσιν αὐτῶν ταῖς ἀσελγείαις, δι' οὓς ἡ ὁδὸς
3 τῆς ἀληθείας βλασφημηθήσεται·) καὶ ἐν πλεονεξίᾳ πλαστοῖς λόγοις ὑμᾶς ἐμπορεύσονται· οἷς τὸ κρίμα ἔκπαλαι οὐκ ἀργεῖ, καὶ ἡ ἀπώλεια αὐτῶν οὐ νυστάζει.

Ψευδοδιδασκάλους μέν, τοὺς ἀπὸ Νικολάου καὶ Κηρίνθου φησί· τοῦ δὲ τῆς προφητείας ὀνόματος κοινῶς καὶ κατὰ τῶν

(α) Α' Κορ. ΙΔ', 30. (β) Α' Κορ. ΙΒ', 8. 10.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

προφητῶν καὶ κατὰ τῶν ψευδοπροφητῶν φερομένου, ἀσφαλίζεται νῦν αὐτοὺς, μὴ τοῖς ψευδοπροφήταις προσέχειν. Καὶ τί τὸ διαστέλλον, Παῦλος ἐδίδαξε, λέγων· *Ὅτι οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ* (α). Ἄρχεται δὲ ἐντεῦθεν τῆς καταδρομῆς τῆς τῶν Νικολαϊτῶν αἱρέσεως, διττὴν λέγων τὴν κακίαν αὐτῶν. Εἰσὶ γὰρ περὶ μὲν τὰ δόγματα ἀσεβέστατοι· ὃ διὰ τῆς εἰς τὸν δεσπότην Χριστὸν βλασφημίας αὐτῶν ἀπέδειξαν· περὶ δὲ τὸν βίον, ἀσελγέστατοι. Καὶ τοῦτο δὲ νῦν μὲν διὰ τῆς αἰσχροκερδείας παριστᾷ, μικρὸν δὲ ὕστερον προβὰς, τρανότερον προενέγκει. *Πλεονεξίαν* γὰρ εἰπὼν νῦν, τὴν αἰσχροκέρδειαν αὐτῶν ἐσήμανεν· ἡ γὰρ πλεονεξία ποτὲ μὲν τὴν ἀδικίαν σημαίνει, ποτὲ δὲ τὸ κέρδος ἁπλῶς. Ὅθεν οἰκείως τὸ, *ἐμπορεύσονται*, προσέθηκεν. Ἀλλοτριῶν δὲ αὐτοὺς παντελῶς τῆς θείας διδασκαλίας, *πλαστοῖς* εἶπεν αὐτοὺς *λόγοις* χρωμένους. Ἀλλ' ἔξουσί, φησι, τῆς ἀσεβείας τὰ ὀψώνια, θάνατον. Τὸ δὲ, *ἔκπαλαι*, τῆς προγνώσεως τοῦ θεοῦ ἐστι σημαντικόν· καὶ ὥσπερ τοῖς ἀγαθοῖς προγνωστικῶς ἡτοίμασε τὰ ἀγαθά· οὕτω καὶ τοῖς πονηροῖς, τὸν κατάλληλον αὐτοῖς τόπον· *τὸ γὰρ κρίμα ἔκπαλαι οὐκ ἀργεῖ*. *Οἵτινες*, καὶ τὰ ἑξῆς.] Τὸ ἑξῆς· Οἵτινες, ἐπάγοντες ἑαυτοῖς ταχινὴν ἀπώλειαν, παρεισάξουσιν αἱρέσεις ἀπωλείας, καὶ τὸν ἀγοράσαντα αὐτοὺς δεσπότην ἀρνούμενοι, καὶ ἐν πλεονεξίᾳ πλαστοῖς ὑμᾶς λόγοις ἐμπορευόμενοι.

4 Εἰ γὰρ ὁ θεὸς ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφείσατο, ἀλλὰ σειραῖς ζόφου ταρταρώσας παρέδωκεν
5 εἰς κρίσιν τηρουμένους· καὶ ἀρχαίου κόσμου οὐκ ἐφείσατο, ἀλλὰ ὄγδοον Νῶε δικαιοσύνης κήρυκα
6 ἐφύλαξε, κατακλυσμὸν κόσμῳ ἀσεβῶν ἐπάξας· καὶ πόλεις Σοδόμων καὶ Γομόρρας τεφρώσας καταστροφῇ κατέκρινεν, ὑπόδειγμα μελλόντων ἀσεβεῖν
7 τεθεικώς· καὶ δίκαιον Λὼτ καταπονούμενον ὑπὸ

(α) Α' Κορ. ΙΒ', 3.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

8 τῆς τῶν ἀθέσμων ἐν ἀσελγείᾳ ἀναστροφῆς ἐῤῥύσατο· (βλέμματι γὰρ καὶ ἀκοῇ ὁ δίκαιος, ἐγκατοικῶν ἐν
9 αὐτοῖς, ἡμέραν ἐξ ἡμέρας ψυχὴν δικαίαν ἀνόμοις ἔργοις ἐβασάνιζεν·) οἶδε Κύριος εὐσεβεῖς ἐκ πειρασμοῦ ῥύεσθαι, ἀδίκους δὲ εἰς ἡμέραν κρίσεως κολαζομένους τηρεῖν·

Εἰ γὰρ ὁ Θεὸς ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφείσατο, οὐδὲ κόσμου ἀρχαίου, ἀλλὰ καὶ πόλεις Σοδόμων καὶ Γομόῤῥας κατέκρινε, καταστροφῇ τεφρώσας, καὶ εἰς ὑπόδειγμα πάντων τῶν μετ' αὐτοὺς μελλόντων ἀσεβεῖν τέθεικε· Νῶε δὲ δικαιοσύνης κήρυκα, κατακλυσμὸν κόσμῳ ἀσεβῶν ἐπάξας, ἐφύλαξεν· ἀλλὰ καὶ τὸν Λὼτ καταπονούμενον ὑπὸ τῶν ἀσεβῶν, ὅτε τοὺς ἐπιξενωθέντας δηλονότι ἀγγέλους οἱ ἐν Σοδόμοις ἐζήτουν, καὶ δὴ καὶ πρὸς ζῆλον τῶν ἀσεβῶν αὐτῶν πράξεων ἡμέραν ἐξ ἡμέρας παρακαλούμενον, εἶτα βασανίζοντα τὴν ἑαυτοῦ ψυχὴν διὰ τῆς τούτων ἀποχῆς καὶ ἐγκρατείας, ἐῤῥύσατο· οὐ πολλῷ μᾶλλον καὶ κατὰ τὸν νῦν καιρὸν καὶ αὐτοὺς ἀπωλείᾳ παραδώσει, ὡς τοὺς παραβάτας ἀγγέλους, καὶ τοὺς ἐπὶ τοῦ κατακλυσμοῦ, καὶ ἔτι Σοδομηνούς; ὑμᾶς δὲ τοὺς μετὰ τούτων ἐν τῷ κόσμῳ παροικοῦντας οὐχὶ σώσει, ὡς τὸν Νῶε καὶ τὸν Λὼτ, τοὺς συσκηνοῦντας τότε τοῖς παρανόμοις; Οὕτω πάντως ποιήσει· οὐδεὶς ἀντερεῖ. *Οἶδε γὰρ Κύριος εὐσεβεῖς ἐκ πειρασμῶν ῥύεσθαι, κακοὺς δὲ εἰς ἡμέραν κρίσεως κολασθησομένους τηρεῖν.* Σκόπει δὲ, ὅτι τὸ περὶ τῶν κακοποιῶν προθεὶς ἄνω παράδειγμα, νῦν τὸ τῶν δικαίων προτάττει· καὶ διὰ τούτου ψυχαγωγῶν τοὺς ζηλωτὰς τῶν δικαίων, ὡς προτιμότεροι τῶν ἀσεβῶν εἶναι. Διὸ καὶ ὁ Χριστὸς πρῶτον τὰ γέρα τοῖς δικαίοις δίδωσι, τοῖς ἐκ δεξιῶν προβάτοις, εἶτα τοῖς ἐξ ἀριστερῶν ἐριφίοις τὰς τιμωρίας (α)· καθότι καὶ τὰ τερπνὰ τῶν σκυθρωπῶν προτιμᾶται.—ΑΛΛΩΣ. *Ἀγγέλων*

(α) Ματθ. ΚΕ', 32—46.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἁμαρτησάντων οὐκ ἐφείσατο, καὶ ἑξῆς.] Ἐκ τῶν προτετιμ
μένων ἡ ἐπιχείρησις. Φησὶ γάρ· Εἰ οὗτοι, οἱ διὰ τὸ τῆς οὐσί
ἀκήρατον ἄγγελοι τίμιοι παρὰ θεῷ καταθέντες, ἁμαρτήσα
τες, συγγνώμης οὐκ ἔτυχον, οὐδὲ οἱ προσεχεῖς τῆς αὐτ
πλάσεως ἄνθρωποι· πολλῷ μᾶλλον οὐδὲ τούτων ἁμαρτησά
των φείσεται. Διὰ δὲ τῶν *σειρῶν τοῦ ζόφου*, τὸ ἄφυκτ
καὶ ἀδιάδραστον τῆς κατακρίσεως σημαίνει· τοιούτοις γ
δεσμοῖς τοὺς ἀκριβῶς ὑφ' ἡμῶν καταδικασθέντας κολάζομε
Ἀλλὰ πόθεν, ἐρεῖ τις, δῆλη ἡ τοιαύτη κατάκρισις τῶν δαιμ
νων; Ἀπ' αὐτῶν δηλαδὴ τῶν δαιμόνων. Καὶ γὰρ ἐν τῷ εὐα
γελίῳ δέονται, μὴ εἰς τὴν ἄβυσσον αὐτοὺς καταπέμψαι (α
ὡς καὶ ἑτέρων τοῦτο πάντων παθόντων. Ἰστέον μέντοι, ὁ
καὶ ὑποθετικῶς προήχθη τὸ ἐπιχείρημα, οὐχὶ δὲ καὶ τῷ ὄν
οὕτως ἐστίν· οὐ γὰρ ἔχει τὴν ἀνταπόδοσιν· ἀλλὰ σχήμα
μόνον οὕτω προβέβληται, τῇ δὲ ἀληθείᾳ παραδειγματικ
πίστις ἁπλῆ ἐστιν· καὶ διά τί, εἰρήσεται. Εἰ γὰρ κατὰ
σχῆμα ἦν, οὕτως ἂν προῦβη· Εἰ γὰρ ἀγγέλων οὐκ ἐφείσα
ἁμαρτησάντων, εἰ ἀρχαίου κόσμου, εἰ Σοδόμων καὶ Γομόρρα
ἄρα τούτων φείσεται; Οὐδαμῶς. Ἢ καὶ οὕτως· Οὐ τούτ
φείσεται πάντως. Οὐχ ἁπλῶς δὲ ἀπὸ τῶν προτιμοτέρων ἐπ
χειρεῖ, ἀλλὰ δεῖξαι βουλόμενος, ὡς μᾶλλον οὗτοι ὑποδικο
τεροι ἁμαρτάνοντες. Ἐπεὶ οὖν καὶ οὗτοι τὸ προτιμότερ
ἔχουσιν, ὡς κληθέντες μὲν εἰς ἀποστολήν, ἐκτραπέντες
τῆς θείας ὁδοῦ, μεῖζον καὶ τὸ κατάκριμα ἔχουσιν. Ἐξ ὑπ
θέσεως δὲ κινήσας τὴν παραδειγματικὴν πίστιν, οὐκ ἀπέδω
τὸ ἀκόλουθον τοῦ σχήματος, ἀλλὰ συνέχει τὸ παράδειγμα
τῶν δικαίων προσλήψει· καὶ ὀφείλων ἐπὶ τοῦ ἐξ ἀρχῆς προτ
θέντος τὴν ἀπόδοσιν ποιῆσαι, τοῦτ' ἔστι, τῶν ἁμαρτησάντω
δι' οὓς καὶ τὸ παράδειγμα, καὶ εἰπεῖν· Εἰ τούτων οὐκ ἐφε
σατο, ἄρα τῶν παρόντων ἀσελγῶν φείσεται; ἢ, κατὰ ἀπόφ

(α) Λουκ. Η', 31.

Δημόσια Κεντρική Βιβλιοθήκη Πάρου

σιν· Πολλῷ μᾶλλον οὐδὲ τούτων φείσεται. Οὐ τοῦτο ποιεῖ. Διὰ τί; Εὑρίσκετο γὰρ αὕτη ἡ ἀπόδοσις, δύο προκειμένων ὑποδειγμάτων, καλοῦ καὶ κακοῦ, πρὸς τὸ κακὸν γινομένη, οὐκέτι δὲ καὶ πρὸς τὸ ἀγαθόν· οὐ γὰρ καλοῖς κακὰ ἀποδίδοται. Ἐν οἷς οὖν οὐκ ἤρκεσε μιᾷ ἀποδόσει τὸ προτεθὲν ἀπαρτίσαι, ἑτέρως διεγένετο τῇ φράσει· καὶ δι' ἐπιφωνήματος τὸ ὀφειλόμενον ἀπετέλεσε. Διά τί δὲ τοῖς κακοῖς προστίθησι τὰ τῶν ἀγαθῶν ὑποδείγματα, εἰρήσεται κατὰ τὸν ἁρμόδιον τόπον. Ὡς προλαβόντες οὖν εἴπομεν, οὐ κατὰ τὸ σχῆμα τοῦ φαινομένου λόγου καὶ ἡ ἔννοια ἐπακολουθεῖ τῶν προκειμένων· οὐ γὰρ ὑπόκειται ἡ ἀπόδοσις, ἡ εἰωθυῖα ταῖς τοιαύταις συντάξεσιν ἕπεσθαι· ἀλλ' ἔστιν ἁπλῆ παραδειγματικὴ πίστις, καὶ τῶν διὰ ἁμαρτίας κολαζομένων, καὶ τῶν διὰ δικαιοσύνην τιμωμένων· ὡσεὶ ἔλεγεν· Οἶδεν ὁ θεὸς καὶ τοὺς ἁμαρτάνοντας, ἄνευ φειδοῦς κολάζειν ἀπαραιτήτως, ὡς τοὺς ἁμαρτήσαντας ἀγγέλους, ὡς τοὺς ἐπὶ τοῦ κατακλυσμοῦ, ὡς τὰς Σοδόμων πόλεις· καὶ πάλιν τιμᾷν τοὺς δικαιοσύνην ἐργαζομένους, ὥσπερ τὸν Νῶε, ὥσπερ τὸν Λώτ. Καὶ ἔστιν ἡ σύνταξις τοιαύτη. Εἰπὼν, ὅτι κολασθήσονται οἱ ψευδοδιδάσκαλοι διὰ τὰς βλασφημίας αὐτῶν, διὰ τὸν ἀσελγῆ βίον αὐτῶν, ἐπιφέρει τὰ παραδείγματα· Ὁ γὰρ θεὸς ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφείσατο, οὐδὲ ἀρχαίου κόσμου, οὐδὲ πόλεις Σοδόμων ἐξέφυγον τὸν ὄλεθρον, ἀλλὰ κατατεφρωθεῖσαι, εἰς σωφρονισμὸν ὑπόκεινται τῶν ἀσεβούντων. Καὶ πάλιν, τοὺς δικαιοσύνην ἀσκήσαντας τιμᾷν οἶδεν ὁ θεὸς, ὡς τὸν Νῶε, ὡς τὸν Λώτ. Καὶ διὰ ποίαν δικαιοσύνην ἑκάστου ἐξηγεῖται· ὅτι καὶ τὸν Νῶε καὶ τὸν Λὼτ διὰ σωφροσύνην ἐφύλαξεν ἀπὸ τοῦ ὀλέθρου τῶν κατ' αὐτοὺς ἀνθρώπων. Ὅ, τε γὰρ Νῶε οὐκ ἀπήχθη τῇ ἀσεβείᾳ τῶν πρὸ τοῦ κατακλυσμοῦ, ὅ,τε Λὼτ οὐδὲν ζηλώσας τῆς ἀσελγείας τῶν ἐν Σοδόμοις· ἀλλ' ἡμέραν ἐξ ἡμέρας οἷον κεντούμενος τῇ ὁράσει τῶν ἀσελγούντων, καὶ ἐπ' αὐτὰ τὰ ἀσελγῆ παρακαλούμενος, οὐδὲν ὑπεῖκεν· τοῦτο γάρ ἐστι τὸ, *βλέμματι καὶ ἀκοῇ*, ὅτι πολλὰ

Δημοσια Κεντρικη Βιβλιοθηκη Βεροιας

ἔχων τὰ πρὸς ἀσέλγειαν αὐτὸν ἐκκαίοντα καὶ ἐκμαίνοντα καὶ ἐκκαλούμενα, ὅρασιν, ἀκοὴν, τὴν μετὰ τῶν πονηρῶν συναναστροφὴν, οὐδενὶ τούτων ἐπίφορος πρὸς ζῆλον αὐτοῖς γέγονεν· ἀλλ' οὐδὲ τοὺς ἐπιξενωθέντας αὐτῷ ἀγγέλους ἐν σχήματι ἀνθρώπων, τοῖς δι' ἀσέλγειαν αὐτοὺς ἐξαιτοῦσι παρέσχε, καίτοι μυρία ὑπὸ τούτων τῶν ἐξαιτούντων ἐπηρεασθείς· τοῦτο γὰρ διὰ τοῦ, *καταπονούμενον*, ὑπέφηνε. Καὶ τούτοις ὥσπερ ἐπιφώνημα ἐπιφέρει· *Οἶδε Κύριος εὐσεβεῖς*, καὶ ἑξῆς. Οὐδὲν δὲ περὶ δικαίων προειπὼν, εἰ μὴ περὶ μόνων ἀσεβῶν καὶ τῆς τούτων τιμωρίας, παρενέβαλε καὶ τὰ τῶν δικαίων παραδείγματα· πρῶτον μὲν διὰ τὸ καὶ τὴν ἱστορίαν ἅμα μεμνῆσθαι καὶ τῆς τῶν ἀσεβῶν ἀπωλείας, καὶ τῆς τῶν δικαίων σωτηρίας· ἔπειτα δὲ καὶ ἐκ παραθέσεως τούτων, τῶν μὲν ἁμαρτησάντων ἐξαίρων τὸ κακὸν, τῶν δὲ κατορθωσάντων λαμπρύνων τὸ κατορθωθέν· ἔτι δὲ καὶ τοὺς ἀκροατὰς πείθων, τῶν μὲν μισῆσαι διὰ τὰς τιμωρίας τὸ ἀσελγὲς, τῶν δὲ ἐπισπάσασθαι διὰ τὴν σωτηρίαν τὸ κατόρθωμα. Ὅθεν καὶ ἐν τῷ ἐπιφωνήματι ἀμφοτέρων μέμνηται, καὶ τῶν ἀσεβῶν καὶ τῶν εὐσεβῶν, καὶ τῆς τιμωρίας καὶ τῆς σωτηρίας. Τί δὲ βουλόμενος ἐντεῦθεν, εἴρηται ἤδη· ὅτι τῶν μὲν ἐδελύξασθαι αὐτοὺς βουλόμενος τὴν κακίαν, τῶν δὲ ζηλῶσαι τὴν ἀρετήν.

10 Μάλιστα δὲ τοὺς ὀπίσω σαρκὸς ἐν ἐπιθυμίᾳ μια-
σμοῦ πορευομένους, καὶ κυριότητος καταφρονοῦν-
τας. Τολμηταὶ, αὐθάδεις, δόξας οὐ τρέμουσι βλα-
11 σφημοῦντες· ὅπου ἄγγελοι, ἰσχύϊ καὶ δυνάμει
μείζονες ὄντες, οὐ φέρουσι κατ' αὐτῶν παρὰ Κυ-
12 ρίῳ βλάσφημον κρίσιν· οὗτοι δὲ, ὡς ἄλογα ζῶα,
φυσικὰ, γεγεννημένα εἰς ἅλωσιν καὶ φθοράν, ἐν οἷς
ἀγνοοῦσι βλασφημοῦντες, ἐν τῇ φθορᾷ αὐτῶν κα-
13 ταφθαρήσονται, κομιούμενοι μισθὸν ἀδικίας, ἡδονὴν
ἡγούμενοι τὴν ἐν ἡμέρᾳ τρυφήν,

Μάλιστα δὲ τοὺς ὀπίσω σαρκός.] Ἐντεῦθεν εὐφυῶς ἀπὸ τῶν ὑποδειγμάτων τῶν προειρημένων, εἰς τὴν παροῦσαν ἦλθεν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑπόθεσιν. Λέγει δὲ περὶ τῶν καταράτων Νικολαϊτῶν, ἤτοι, γνωστικῶν, ἢ Ναασσηνῶν, ἢ Κερδωνιανῶν· πολυώνυμος γὰρ αὐτῶν ἡ κακία· καὶ ὡς τοῖς μιαροῖς ἔργοις, οὕτω καὶ τοῖς ὀνόμασι συγκεχυμένη καταλαμβάνεται. Οὗτοι γὰρ, ὡς φθάνομεν εἰπόντες, *Βυθὸν* ὑποστησάμενοι καὶ *Σιγὴν* τὰ πρωτουργὰ τῆς τοῦ κόσμου ὑποςάσεως, καί τινας ἀπὸ τούτων *Μητέρας* καὶ *Αἰῶνας* τερατολογήσαντες, ὡς καὶ Μαρκίων, ἀπὸ τούτων λαβὼν πονηρὰ σπέρματα· εἶτα κυριότητα διὰ τούτων τῆς τοῦ κόσμου δημιουργίας παρωσάμενοι καὶ ἐποψίαν, ἐπὶ πᾶσαν ἐχώρησαν ἀδεῶς σαρκικὴν ἀκαθαρσίαν. Καὶ εἴ τις περὶ τούτων ἐθέλοι μαθεῖν, τὴν Εἰρηναίῳ τῷ Κελτῷ, μακαρίῳ ἀνθρώπῳ, περὶ αὐτῶν ἐκπεπονημένην βίβλον κατὰ χεῖρας λαβών, ἣν ἐπέγραψε *Κατὰ τῆς ψευδωνύμου γνώσεως*, εὑρήσει τὰς τούτων ἀκαθαρσίας, διὰ Μάρκου μάλιστα τοῦ ἀσελγεστάτου καὶ τῶν ὑπ' αὐτοῦ ἠπατημένων καὶ διεφθαρμένων ἐλεεινῶν γυναικῶν (1). *Τολμηταὶ, αὐθάδεις.*] Προσυπακουστέον τὸ, *οἵ εἰσι*. Παρωσαμένους τοίνυν τὸν τοῦ κόσμου ἐπόπτην ποιητὴν, οὐδὲν ἀπεικὸς καὶ *τολμητὰς* τοὺς τοιούτους καὶ *αὐθάδεις*, τουτέστι, τὸ ἑαυτοῖς ἀρέσκον μεταδιώκοντας, γενέσθαι. Ἀλλὰ καὶ *βλασφήμους* φησίν. Οἱ γὰρ ἐκ καταφρονήσεως οὐ δεδοικότες τὴν κυριότητα, τί ἂν πρᾶγμα, εἰ καὶ πρὸς πᾶσαν δόξαν ἀδεῶς διεγίνοντο; Τρανότερον δὲ περὶ τούτων ὁ μακάριος ἀπόστολος Ἰούδας ἐρεῖ, ὅπου καὶ περὶ τοῦ Μωϋσέως μνημονεύσει σώματος. Οὗτος [ὁ Πέτρος] γὰρ νῦν μόνον ὑπέκρουσεν, ἁψάμενος ὁμοῦ καὶ καταπαύσας τὸν περὶ τούτου λόγον. Ἐξ ἐκείνου τοίνυν καὶ περὶ τῶν προκειμένων λαβόντες τὰς ἀφορμὰς, λέγομεν, ὅτι τὸ, *δόξας οὐ τρέμουσιν*, ἀντὶ τοῦ, καταφρονητικῶς ἔχουσι, πᾶσαν δόξαν βλασφημεῖν οὐ δεδίασιν, ἐστίν. Καὶ βουλόμενος ἐπισχεῖν τὴν περὶ τὰ τοιαῦτα αὐτῶν [τῶν εἰρημένων

(1) Βιβλ. Α'. Κεφ. Α'. Ἡ. Θ'. τοῦ «Ἔλεγχος καὶ ἀνατροπὴ τῆς ψευδωνύμου γνώσεως» ἐπιγραφομένου συγγράμματος τοῦ μακαρίου Εἰρηναίου, ἐπισκόπου Δουγδούνων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αἱρετικῶν] τόλμαν, φησίν· *Ὅπου ἄγγελοι, ἰσχύϊ καὶ δυνάμει μείζονες ὄντες, οὐ φέρουσι κατ' αὐτῶν παρὰ Κυρίῳ βλάσφημον κρίσιν*· ταὐτὸν τῷ μακαρίῳ Ἰούδᾳ, ὡς ἔφημεν, λέγων· ἐπεὶ κἀκεῖνος, τὴν τινῶν γλωσσαλγίαν κολάζων, ἀπὸ τοῦ αὐτοῦ παραδείγματος ποιεῖται τὴν νουθεσίαν, πλατύτερον μέντοι, δι' ὧν οὕτω λέγει· *Ὁ δὲ Μιχαὴλ ὁ ἀρχάγγελος, καὶ ἑξῆς, οὐκ ἐτόλμησε κρίσιν ἐξενεγκεῖν βλασφημίας* (α). Τοιοῦτον οὖν καὶ Πέτρος λέγειν βούλεται νῦν, ὅτι οὗτοι οἱ κακοδαίμονες οὐδεμίαν ἔχουσι φειδὼ περὶ τὸ τὰς δόξας βλασφημεῖν, καίτοιγε οὐδὲ οἱ δυνάμει καὶ ἰσχύϊ μείζονες ὄντες, δηλονότι τῶν μιαρῶν τούτων, *οὐ φέρουσιν*, ἤτοι, οὐ προκομίζουσι, *κατ' αὐτῶν*, οἱονεὶ τῶν δοξῶν, *βλάσφημον κρίσιν παρὰ Κυρίῳ*. Καὶ τούτου μάρτυς Μιχαὴλ ὁ ἀρχάγγελος. Ἐπεὶ γὰρ δόξης τινὸς μετέχει καὶ ὁ διάβολος διὰ τὸ ἀρχὴν εἶναι πλάσματος Κυρίου (α), οὐκ ἤνεγκε κατ' αὐτοῦ βλάσφημον λόγον. Καὶ ἔστιν ἀπὸ τούτων μᾶλλον ἡ ἐπιχείρησις οὕτως· Εἰ γὰρ ὁ μᾶλλον ἄξιος βλασφημεῖσθαι διάβολος, ὅμως, διὰ τὸ δόξης μετέχειν, οὐκ ἔτυχε τούτου παρὰ τοῦ Μιχαὴλ ἐνώπιον Κυρίου, οὐκ ἂν σώφρονες εἶεν οἱ προχείρως πᾶσαν δόξαν βλασφημοῦντες, πολλῷ τῆς τῶν ἀγγέλων τιμιότητος κατόπιν φερόμενοι. *Δόξας* δὲ, ἤτοι τὰς θείας φησὶ δυνάμεις, ἢ καὶ τὰς ἐκκλησιαστικὰς ἀρχὰς, ὧν ἀπεναντίας οἱ χοιρωδέστατοι οὗτοι φερόμενοι καὶ βλασφημοῦντες αὐτὰς διετέλουν. *Οὗτοι δὲ, ὡς ἄλογα ζῶα, φυσικὰ*, καὶ ἑξῆς.] Καὶ οἱ μὲν ἄγγελοι οὕτως· αὐτοὶ δὲ *ὡς ἄλογα, φυσικὰ*, τουτέστι, κατ' αἴσθησιν μόνον ζῶντα, οὐ κατὰ νοῦν καὶ τὴν νοερὰν ζωήν· διὸ καὶ εὐάλωτοι τοῖς φθαρτοῖς, τουτέστι τῇ κατὰ τὴν φθειρομένην ζωὴν περιαγωγῇ, θυμοῖς καὶ ἐπιθυμίᾳ ἀγόμενοι καὶ περιφερόμενοι, *ἐν οἷς ἀγνοοῦσιν*, ἤτοι, τῇ καθ' ἑκούσιον αὐτῶν ἀγνοίᾳ, *βλασφημοῦντες, τῇ ἐπαξίῳ ἑαυτῶν φθορᾷ καταφθα-*

(α) Ἰουδ. 9. (α) Ἰὼβ Μ', 14.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ῥήσονται, κομιούμενοι μισθὸν ἀδικίας, ὃν ἐθελοντὶ ἑαυτοῖς προεξένησαν· ἡδονὴν ἡγούμενοι τὴν ἐν ἡμέρᾳ τρυφὴν, τουτέστι, τὸ ὄντως ἐφετὸν, τὴν ἀληθῆ καὶ ἐπέραστον εὐφροσύνην καὶ ἡδονὴν, ἐν τῇ καθ' ἡμέραν τιθέμενοι τοῦ λαιμοῦ ἀπολαύσει. Ἰστέον μέντοι, ὡς ἡ θεία Γραφὴ τὰ φυσικῶς ἐνόντα τοῖς ἀνθρώποις, τουτέστι, τὰ ὡς ζώοις αὐτοῖς ἐνυπάρχοντα, ἐπειδὰν διαβάλλῃ, πρὸς τὰ ἄλογα αὐτὰ ἀφομοιοῖ· *Ἄνθρωπος, φάσκουσα, ἐν τιμῇ ὢν, οὐ συνῆκε· παρασυνεβλήθη τοῖς κτήνεσι τοις ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς* (α)· *καί· Μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις* (β)· *καί· Ἵπποι θηλυμανεῖς ἐγένοντο* (γ)· *καί· Γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι, ὡς αἱ περιστεραί* (δ)· οὐ μεταποιοῦσα τὰς φύσεις, φάσκουσα ταῦτα· (τοῦτο γὰρ ἀδύνατον·) ἀλλὰ τούτων τὰς φυσικὰς ὁρμὰς, τὰς μὲν, ἐκκλίνειν παρακαλοῦσα, τῶν δὲ ἐπαινετῶν ἔχεσθαι. Ὅταν δὲ σωτήριόν τι παραγγέλλῃ, πρὸς τὰ κρείττω τὴν ὁμοιότητα παραπέμπει, ὡς ὅταν λέγῃ· *Γίνεσθε οἰκτίρμονες, καθὼς καὶ ὁ πατὴρ ὑμῶν, ὁ οὐράνιος* (ε)· οὐδὲ ἐνταῦθα τὴν φύσιν μεταποιοῦσα, ἀλλ', ὅσον ἡ ἰσχὺς ὑποβάλλεται, τοῦτο ποιεῖν παρακελευομένη.

13 Σπῖλοι καὶ μῶμοι, ἐντρυφῶντες ἐν ταῖς ἀπάταις
14 αὐτῶν, συνευωχούμενοι ὑμῖν, ὀφθαλμοὺς ἔχοντες μεστοὺς μοιχαλίδος καὶ ἀκαταπαύστους ἁμαρτίας, δελεάζοντες ψυχὰς ἀστηρίκτους, καρδίαν γεγυμνασμένην πλεονεξίας (1) ἔχοντες, κατάρας τέκνα·
15 καταλιπόντες εὐθεῖαν ὁδὸν, ἐπλανήθησαν, ἐξακολουθήσαντες τῇ ὁδῷ τοῦ Βαλαὰμ τοῦ Βοσὸρ,
16 ὃς μισθὸν ἀδικίας ἠγάπησεν· ἔλεγξιν δὲ ἔσχεν ἰδίας παρανομίας· ὑποζύγιον ἄφωνον, ἐν ἀνθρώπου φωνῇ φθεγξάμενον, ἐκώλυσε τὴν τοῦ προφήτου παραφρονίαν (ζ).

Σπῖλοι καὶ μῶμοι.] Τὸ ἑξῆς οὕτω· *Σπῖλοι καὶ μῶμοι, καρ-*

(α) Ψαλμ. ΜΗ'. 13. (β) Ψαλμ. ΛΑ', 9. (γ) Ἱερ. Ε', 8.
(δ) Ματθ. Ι', 16. (ε) Λουκ. Ϛ', 36.
(1) Παρ' ἄλλοις, πλεονεξίαις. (ζ) Ἀριθμ. ΚΒ', 21—33.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δίαν γεγυμνασμένην πλεονεξίας ἔχοντες· τουτέστι, διὰ πλεονεξίας γεγυμνασμένην, *κατάρας τέκνα, συρευωχούμενοι ὑμῖν, ὀφθαλμοὺς ἔχοντες μεστοὺς μοιχαλίδος καὶ ἀκαταπαύστους ἁμαρτίας*, δελεάζουσι ψυχὰς ἀστηρίκτους, (ἃς καὶ Παῦλος ἔλεγε, *γυναικάρια, σεσωρευμένα ἁμαρτίαις* (α).) Οἱ δ' αὐτοὶ οὗτοι, *καταλιπόντες εὐθεῖαν ὁδὸν, ἐπλανήθησαν, ἐξακολουθήσαντες τῇ ὁδῷ τοῦ Βαλαὰμ τοῦ Βοσὸρ*, καὶ ἑξῆς. Οἱ δ' αὐτοί εἰσι *πηγαὶ ἄνυδροι, νεφέλαι ὑπὸ λαίλαπος ἐλαυνόμεναι*, καὶ ἑξῆς. Καὶ τίνος χάριν ὁ ζόφος τοῦ σκότους αὐτοῖς ἀπόκειται εἰς τὸν μέλλοντα αἰῶνα; Διὰ τὴν ὑπέρογκον αὐτῶν ματαιότητα, δι' ἣς δελεάζουσι τοὺς πρὶν ἐν πλάνῃ ἀναστραφέντας, καὶ ὄντως ταύτην ἀποφυγόντας, ἐν ἀσελγείαις καὶ ἐπιθυμίαις σαρκὸς ὡς κῦνα ἐπὶ τὸ ἴδιον ἐξέραμα ἐπιστρέψαι. Τὰ δὲ μεταξὺ, τῆς ματαιότητος τούτων ἐξαγγελτικὰ καὶ πιστωτικά. Ὁ δὲ νοῦς οὗτος· Οὐδέν, φησιν, ἔχοντες καθαριότητος ἐχόμενον, ἀλλ' ὡς σπῖλοι ἐν ἱματίῳ καθαρῷ τῇ ἀκραιφνεῖ πολιτείᾳ ἐπιφυόμενοι, καὶ πάντα μωμώμενοι, ἐπειδὰν ἀποστήσωσί τινας, καὶ δυνηθῶσιν ἀσελγεῖς τοὺς συνόντας ἄνδρας καὶ γυναῖκας παρασκευάσαι, τρυφὴν ἡγοῦνται τὸ πρᾶγμα, ἀποπληροῦντες τὴν ἑαυτῶν ἀσέλγειαν· ἀλλὰ καὶ συνευωχόμενοί, φησιν, ὑμῖν, οὐ δι' ἀγάπην καὶ τὸ μεταλαμβάνειν ἀλῶν, ὡς φασι, τοῦτο ποιοῦσιν· ἀλλὰ διὰ τὸ καιρὸν εὑρίσκειν τοῦτον ἐπιτήδειον τῆς πρὸς γυναῖκας ἀπάτης. Οὗτοι γὰρ ὀφθαλμοὺς ἔχοντες, οὐδὲν ἄλλο βλέπουσιν ἢ μοιχαλίδας· καὶ ἐν τούτῳ ἀκαταπαύστως ἁμαρτάνοντες, ὡς κατάρας τέκνα, ψυχὰς, δελεάζουσιν ἀστηρίκτους. Ἡ γὰρ καρδία αὐτῶν πρὸς οὐδὲν ἄλλο, ἢ πρὸς πλεονεξίαν ἐξήσκηται, ἤτοι ἀσελγείας ἢ καὶ κτημάτων· δι' ἅπερ ἀμφότερα, καταλιπόντες τὴν κατευθύνουσαν αὐτοὺς εἰς σωτηρίαν ὁδὸν, ἐπλανήθησαν ταύτης, ταὐτὸ παθόντες τῷ Βαλαὰμ τοῦ Βοσόρ· ἐπεὶ κἀκεῖνος διὰ δωροδοκίαν

(α) Β' Τιμ. Γ', 6.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

μισθὸν ἀδικίας ἠγάπησεν· ἔλεγξιν δὲ τῆς ἰδίας παρανομίας
ἔσχεν ὑποζύγιον ἄφωνον, ὃ ἐν ἀνθρώπου φωνῇ φθεγξάμενον,
ἐκώλυσε τὴν τοῦ προφήτου παραφρονίαν. Κἀντεῦθεν τοίνυν
μανθάνομεν, ὅτι διὰ τὸ φιλάργυρον αὐτοῦ πάθος ὁ Βαλαὰμ,
ὅπερ διὰ τῆς μανιώδους αὐτοῦ μαντείας ἔτρεφεν, ἅπαξ κωλυ-
θεὶς ὑπὸ τοῦ θεοῦ, τὸ δεύτερον φιλονείκως πρὸς τὸν Βαλὰκ
πορευθῆναι κατηπείγετο· ἀλλὰ τῷ φόβῳ τοῦ θεοῦ πεδηθεὶς,
καὶ τοῖς κατὰ τὴν ὁδὸν δείμασι, τὸ ῥῆμα τῆς εὐλογίας οὐ
παρεποίησεν· ὅπερ οὐ τῆς μαντείας ἦν· (εἴπομεν γὰρ τὴν μαν-
τείαν ἐκ μαινομένης προφέρεσθαι ψυχῆς καὶ ἀγνοούσης τὰ λε-
γόμενα·) ἀλλὰ τῆς προφητείας· οἱ γὰρ προφῆται ἐπιστάμενοι
φθέγγονται, ἃ φθέγγονται· ὅθεν καὶ *προφήτην* αὐτὸν ἐκάλεσεν,
ὡς ἐπιστάμενον ἃ λέγει· οὐ γὰρ ἂν ἐν ἐκλογῇ γέγονε τῶν
κρειττόνων, ἀγνοῶν ἃ φθέγγεται. Οὐ τῆς μαντείας τοίνυν
ἡ εὐλογία, ἀλλὰ τῆς δυνάμεως τοῦ θεοῦ.

17 Οὗτοί εἰσι πηγαὶ ἄνυδροι, νεφέλαι ὑπὸ λαίλαπος
ἐλαυνόμεναι, οἷς ὁ ζόφος τοῦ σκότους εἰς αἰῶνα
18 τετήρηται. Ὑπέρογκα γὰρ ματαιότητος φθεγγό-
μενοι, δελεάζουσιν ἐν ἐπιθυμίαις σαρκὸς, ἐν ἀσελ-
γείαις, τοὺς ὄντως ἀποφυγόντας τοὺς ἐν πλάνῃ
19 ἀναστρεφομένους· ἐλευθερίαν αὐτοῖς ἐπαγγελλόμε-
νοι, αὐτοὶ δοῦλοι ὑπάρχοντες τῆς φθορᾶς· ᾧ γάρ
20 τις ἥττηται, τούτῳ καὶ δεδούλωται. Εἰ γὰρ ἀπο-
φυγόντες τὰ μιάσματα τοῦ κόσμου ἐν ἐπιγνώσει
τοῦ Κυρίου καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ, τούτοις
δὲ πάλιν ἐμπλακέντες ἥττῶνται, γέγονεν αὐτοῖς
21 τὰ ἔσχατα χείρονα τῶν πρώτων. Κρεῖττον γὰρ ἦν
αὐτοῖς, μὴ ἐπεγνωκέναι τὴν ὁδὸν τῆς δικαιοσύνης,
ἢ, ἐπιγνοοῦσιν, ἐπιστρέψαι ἐκ τῆς παραδοθείσης
22 αὐτοῖς ἁγίας ἐντολῆς. Συμβέβηκε δὲ αὐτοῖς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸ τῆς ἀληθοῦς παροιμίας· Κύων ἐπιστρέψας ἐπὶ τὸ ἴδιον ἐξέραμα (α)· καί· Ὑς λουσαμένη, εἰς κύλισμα βορβόρου.

Μεταξυλογήσας πολλά, ἐν οἷς τὸ τοῦ Βαλαὰμ προήγαγεν ὑπόδειγμα, ἐπανέλαβε πάλιν τὸν περὶ τῶν ἀκαθάρτων γνωστικῶν λόγον· καὶ ἀπεικάζει αὐτοὺς *πηγαῖς ἀνύδροις*, ὡς ἀπολωλεκότας τὸ τῆς ζωῆς ὕδωρ, τουτέστι, τὸ τοῦ κηρύγματος καθαρὸν καὶ πότιμον ὕδωρ· ὃ ἔχων ὁ Κύριος, πολλοὺς αὐτοῦ κορέσαι τῶν προσιόντων ἐπηγγέλλετο (β). Ἀλλὰ καὶ *νεφέλαις* αὐτοὺς παραβάλλει, *ὑπὸ πνεύματος ἐλαυνομέναις*, τοῦ ἐναντίου δηλονότι· διὸ καὶ *λαίλαπα* αὐτὸ ἐκάλεσεν, ὡς συστρέφον καὶ συνταράττον τὸ ἐλαυνόμενον· τοῦτο γὰρ εἴωθεν ἡ λαίλαψ ποιεῖν. Οὐκ εἰσὶν οὖν, φησὶ, νεφέλαι διαυγεῖς, ὥσπερ οἱ ἅγιοι, ἀλλ' ὁμίχλαι ζόφου μεσταί. Οἷς *ὁ ζόφος εἰς αἰῶνα*· (λέγει δὲ τὴν μέλλουσαν κρίσιν·) *τετήρηται*. Καὶ διὰ τί; ἐπήγαγε τὴν αἰτίαν· ὅτι *ὑπέρογκα ἐκ ματαιότητος φθεγγόμενοι*, δελεάζουσι διὰ τῆς σαρκικῆς ἐπιθυμίας ἐν ταῖς ἀσελγείαις τοὺς ἀληθῶς ἀποφυγόντας, καὶ καθάπαξ τοὺς πρὶν *ἐν πλάνῃ ἀναστρεφομένους*. Ὥστε ἀσελγείαις καὶ ἀλαζονείαις καὶ ἀσεβείαις εἰσὶν ἔνοχοι οἱ ταῦτα καταπραττόμενοι. Ἀλλὰ καὶ δοῦλοι, φησιν, ὄντες αὐτοὶ τῆς προειρημένης ἀκαθαρσίας, ἣν καὶ *φθορὰν* δικαίως καλεῖ, ἐλευθερίαν τοῖς ἀπατωμένοις ἐπαγγέλλονται, τῆς ἀληθοῦς μὲν οὔ, τῆς δὲ κατὰ τὸ ἄνετον τοῦ βίου ζωῆς. Διὸ καὶ λογισμὸν ἐπάγει τοῦ ὅτι δοῦλοί εἰσι τῆς ἁμαρτίας, θαυμάσιόν τι φάσκων· Ὅτι, ᾧ τινί τις πάθει νενίκηται, τούτῳ καὶ δεδούλωται. Εἶτα τοῦτο πάλιν δι' ἑτέρας ἀποδείξεως συνιστᾷ, πῶς ὁ τινὸς ἡττώμενος, τούτῳ καὶ δουλεύει, καὶ ἐξ ὑπερθέσεως ποιεῖται τὴν ἐπιχείρησιν. *Εἰ γὰρ ἀποφυγόντες*, καὶ ἑξῆς.] Δύο κατασκευάζει διὰ τοῦ παρόντος λόγου· καὶ ὅτι τῷ ἡττῶντι ἀνάγκη τὸν ἡττώμενον δουλεύειν· καὶ ὅτι

(α) Παροιμ. ΚΣ', 11. (β) Ἰωαν. Ζ', 37. 38.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οἱ μετὰ τὴν ἐπίγνωσιν τῆς ἀληθείας, πάλιν ἐνεχόμενοι τοῖς προτέροις, χείροσι τῶν προτέρων περιέπεσον κακοῖς. Τούτοις δὲ καὶ τὴν παροιμίαν ἐπάγει συνήγορον. Ἔστιν οὖν ὅλος ὁ λόγος οὕτως· Εἰ γὰρ *ἐπιγνώσει τοῦ Κυρίου καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ ἀποφυγόντες τὰ μιάσματα τοῦ κόσμου, τούτοις πάλιν ἐμπλακέντες ἡττῶνται* αὐτῶν, πάντως που καὶ δουλεύουσιν αὐτοῖς, καὶ χεῖρον τῶν πρὸ τῆς ἐπιγνώσεως περὶ τὴν δουλείαν τούτων γεγόνασι, κατασπουδάζοντος αὐτοὺς τοῦ ἐπιβούλου ἡμῶν σατανᾶ χείροσι περιενεχθῆναι, εἰς ἀπολογίαν τῆς ὅσον δὴ τῶν πονηρῶν ἔργων ἀργίας. Διὸ καὶ ὁ ἀπόστολός φησιν, ὅτι, ἐπειδὴ τοῦτο ἀπόκειται τοῖς παλινῳδίαν τῶν κακῶν ᾄδουσι, κρεῖττον ἦν αὐτοῖς μηδὲ ἐπιγνῶναι τὴν ὁδὸν τῆς δικαιοσύνης, ἢ ἐπιγνόντας χείροσιν ἁλῶναι. Ἐπεὶ καὶ κύων ἐπὶ τὸ ἴδιον ἐξέραμα ἐπιστρέφων, βδελυκτότερος. Ἃ γὰρ ἡ φύσις μισήσασα, ἀποβλύσαι αὐτὸν κατηνάγκασε, ταῦτα πάλιν ποιούμενος τροφὴν, καὶ ὡς διεφθορότα ἐσθίων, καὶ ὡς τὰ τῇ φύσει ἐξημβλωμένα, βδελυκτότερος. Καὶ ὗς πάλιν, ἀποκυλισθῆναι ζητοῦσα, εἰ ἐν βορβόρῳ τοῦτο ποιοίη, ῥυπαρωτέρα τῶν προτέρων ῥύπων φανείη.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ἐπανάληψις περὶ κακίας ἀνθρώπων αἱρετικῶν· ἐν ᾧ, περὶ τοῦ πῶς αἰφνιδίως ἥξει ὁ Χριστὸς ἐπὶ συντελείᾳ τοῦδε τοῦ αἰῶνος· ὥστε δεῖν εὐτρεπίζεσθαι πάσῃ ἀρετῇ.

Κεφ. III, 1 Ταύτην ἤδη, ἀγαπητοί, δευτέραν ὑμῖν γράφω ἐπιστολήν, ἐν αἷς διεγείρω ὑμῶν ἐν ὑπο-
3 μνήσει τὴν εἰλικρινῆ διάνοιαν· μνησθῆναι τῶν προ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ειρημένων ῥημάτων ὑπὸ τῶν ἁγίων προφητῶν, καὶ
3 τῆς τῶν ἀποστόλων ὑμῶν ἐντολῆς τοῦ Κυρίου καὶ
σωτῆρος· τοῦτο πρῶτον γινώσκοντες, ὅτι ἐλεύσον-
ται ἐπ' ἐσχάτου τῶν ἡμερῶν ἐμπαῖκται, κατὰ τὰς
4 ἰδίας ἐπιθυμίας αὐτῶν πορευόμενοι· καὶ λέγοντες·
Ποῦ ἐστὶν ἡ ἐπαγγελία τῆς παρουσίας αὐτοῦ; Ἀφ'
ἧς γὰρ οἱ πατέρες ἐκοιμήθησαν, πάντα οὕτω
διαμένει ἀπ' ἀρχῆς κτίσεως.

Ταύτην ἤδη δευτέραν ὑμῖν γράφω ἐπιστολήν.] Ἐκ τούτων μανθάνομεν, δύο τὰς πάσας εἶναι τοῦ Πέτρου ἐπιστολάς. Τὸ δὲ, Ἐν αἷς διεγείρω ὑμῶν ἐν ὑπομνήσει τὴν εἰλικρινῆ διάνοιαν, ἐν ὑπερβατῷ ἀκουστέον οὕτως· Ἐν αἷς ἐπιστολαῖς, τουτέστι, δι' ὧν ἐπιστολῶν, διεγείρω τὴν ἐν ὑμῖν εἰλικρινῆ διάνοιαν. Εἰλικρινοῦς γὰρ διανοίας καὶ καθαρᾶς, τῶν ἤδη ἀκουσθέντων ἢ ἀποτεθέντων σωτηρίων μνησθῆναι, καὶ διεγερθῆναι πρὸς ἐπανάληψιν τῆς τούτων ἐργασίας πάσῃ δυνάμει καὶ προθυμίᾳ. Ἀπετέθη δὲ διὰ τῶν προφητικῶν λόγων, καὶ δι' ἀποστολικῶν κηρυγμάτων. Διὸ καὶ Παῦλος φησίν· Ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν (α). Πάντες γὰρ οὗτοι τὴν τοῦ Κυρίου παρουσίαν κατήγγειλαν, καὶ τὴν πρώτην καὶ τὴν δευτέραν· καὶ οὐκ ἔστιν ἀπιστεῖν τοσούτοις καὶ τηλικούτοις μάρτυσι. Καὶ τί, φησι, λέγω προφήτας καὶ ἀποστόλους; Ὅτι κατήγγειλαν καὶ τὴν πρώτην καὶ τὴν δευτέραν αὐτοῦ τοῦ Κυρίου καὶ σωτῆρος ἡμῶν παρουσίαν. Καὶ ἔστιν ἡ σύνταξις οὕτω· Μνησθῆναι τῶν προειρημένων ῥημάτων ὑπὸ τῶν ἁγίων προφητῶν, ὑπὸ τῆς τῶν ἀποστόλων ὑμῶν ἐντολῆς, ὑπὸ τῆς ἐντολῆς τοῦ Κυρίου καὶ σωτῆρος· κατὰ κοινοῦ γὰρ ἡ Ὑπό. Καὶ διὰ τί τὴν μνήμην ἀναζωπυρῆσαι ταύτην παρακελεύεται, ἐπάγει· Ὅτι οἱ ἐμπαθῶς ζῶντες κατὰ τὰς ἐπιθυμίας τὰς ἰδίας, ὁρῶντες τινὰς δεδιότας τὴν τοῦ Κυρίου παρουσίαν, ἣν μετὰ ἄλλων θεοφόρων καὶ αὐτὸς ὁ Κύ-

(α) Εφεσ. Β', 20.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ριος προκατήγγειλε, καὶ διὰ ταύτην ἀθετοῦντας τὴν ἄσεμνον αὐτῶν βιοτήν· εἶτα μὴ κατὰ πόδας τῶν λόγων τὴν πεῖραν φθάνουσαν, ἀλλὰ παρελκομένην διὰ τὴν τῶν πολλῶν σωτηρίαν, ἐπιφύονται ἀναιδῶς τοῖς πιστοῖς, ἐπιτωθάζοντες, ἅτε ἐμπαῖκται, καὶ λέγοντες· *Ποῦ ἐστὶν ἡ ἐπαγγελία τῆς παρουσίας αὐτοῦ;* Διὰ μιᾶς ταύτης, τῆς μήπω ἀφιγμένης διά τινας οἰκονομίας, καὶ ταῖς ἄλλαις σωτηριώδεσι τοῦ Κυρίου ἐντολαῖς ἀπειθεῖν κακουργοῦντες. Ταῦτα δὲ οἱ κατ' ἐκείνους τοὺς καιροὺς Γνωστικοὶ ἢ Νασσηνοί, οἱ δ' αὐτοὶ καὶ Λαμπετιανοὶ καὶ Βύκιται, ἐληρῴδουν· οὓς ἅπαντας λανθάνει, φησί, τοῦτο ἐκόντας· ἐθελοντὶ γὰρ μύουσι πρὸς τὴν ἀλήθειαν, ὡς καὶ πρὸ τούτου εἰρήκαμεν.

5 Λανθάνει γὰρ αὐτοὺς τοῦτο θέλοντας, ὅτι οὐρανοὶ ἦσαν ἔκπαλαι, καὶ γῆ ἐξ ὕδατος καὶ δι' ὕδατος συν-
6 εστῶσα τῷ τοῦ θεοῦ λόγῳ, δι' ὧν ὁ τότε κόσμος
7 ὕδατι κατακλυσθεὶς ἀπώλετο· οἱ δὲ νῦν οὐρανοὶ καὶ ἡ γῆ τῷ αὐτοῦ λόγῳ τεθησαυρισμένοι εἰσὶ, πυρὶ τηρούμενοι εἰς ἡμέραν κρίσεως καὶ ἀπωλείας τῶν
8 ἀσεβῶν ἀνθρώπων. Ἓν δὲ τοῦτο μὴ λανθανέτω ὑμᾶς, ἀγαπητοὶ, ὅτι μία ἡμέρα παρὰ Κυρίῳ ὡς
9 χίλια ἔτη, καὶ χίλια ἔτη, ὡς ἡμέρα μία. Οὐ βραδύνει ὁ Κύριος τῆς ἐπαγγελίας, ὥς τινες βραδυτῆτα ἡγοῦνται, ἀλλὰ μακροθυμεῖ εἰς ἡμᾶς, μὴ βουλόμενός τινας ἀπολέσθαι, ἀλλὰ πάντας εἰς μετάνοιαν χωρῆσαι.

Καὶ τί τὸ λανθάνον αὐτούς; Ὅτι, ὥσπερ ἐν τῷ κατακλυσμῷ ἦσαν οὐρανοὶ, κατὰ τὴν Μωσέως κοσμογένειαν, ἐξ ὕδατος· (αὐτὸς γάρ φησι τὸν θεὸν ἐντείλασθαι, γενέσθαι στερέωμα ἐν μέσῳ τοῦ ὕδατος (α), τουτέστι, στερεωτέραν τῶν ὑδάτων ὑπόστασιν·) καὶ ἡ γῆ δὲ ὡσαύτως ἐκ τῶν ὑδάτων ἀνεφάνη τῷ τοῦ κτίστου προστάγματι, ὑποβρύχιος αὐτοῖς πρώην οὖσα·

καὶ ὡς ἐξ ὑδάτων συνεστώτων οὐρανοῦ καὶ γῆς, ὁ κατακλυ-
σμὸς ἐπῆλθεν ἀπροσδοκήτως· ὡσαύτως καὶ νῦν διὰ πυρὸς ἀπό-
κειται τὴν φθορὰν τοῦ παντὸς γενέσθαι, μεθ' οὗ καὶ οἱ ἀσεβεῖς
ἀπολοῦνται. Δύο γὰρ ὄντων τῶν συνεκτικωτάτων στοιχείων
τοῦ παντὸς, ὕδατος καὶ πυρὸς, ἀφ' ὧν καὶ τὰ λοιπὰ δύο
στοιχεῖα τὸ εἶναι λαμβάνουσι, ἀὴρ μὲν, ἐξατμιζομένων τῶν
ὑδάτων, γῆ δὲ, συγκρινομένων τῶν αὐτῶν, τῆς ἐξατμίσεως ὡς ἐκ
πυρὸς καὶ τῆς συγκρίσεως, οὐδενὸς τῶν νοῦν ἐχόντων ἀπι-
στοῦντος· (ταύτην γὰρ τὴν δύναμιν ὑπὸ τοῦ ποιήσαντος θεοῦ
ἡ τοῦ πυρὸς ἔλαχε φύσις·) δύο τοίνυν ὄντων, καὶ πρότερον
τῆς τῶν ἀσεβῶν φθορᾶς διὰ τοῦ ὕδατος γενομένης, ἀνάγκη
πᾶσα, φησὶ, τὴν τῶν ἀσεβούντων φθορὰν διὰ τοῦ πυρὸς γενέ-
σθαι. Τὸ δὲ διὰ τοῦ πυρὸς γενέσθαι τὴν τοῦδε τοῦ παντὸς
φθορὰν, οὐ μόνον χριστιανοῖς, ἀλλὰ καὶ τοῖς τῶν Ἑλλήνων
σοφοῖς δοκεῖ, ὡς Ἡρακλείτῳ τῷ Ἐφεσίῳ, ὡς Ἐμπεδοκλεῖ τῷ
Λιτναίῳ. Ἀλλ' ἐρεῖ τις· Καὶ τίς ὁ λόγος τοῦ ὑποστῆναι, εἰ δεῖ
πάλιν πρὸς φθορὰν χωρῆσαι τὸν κόσμον; Καὶ ἐροῦμεν, ὡς οὐ
παντελῶς πρὸς φθορὰν ὁ κόσμος χωρήσει, ἀλλὰ πρὸς ἀνακαι-
νισμόν. Διὸ καὶ ὁ προφήτης φησί· *Καὶ ἀνακαινιεῖς τὸ πρόσω-
πον τῆς γῆς* (α). Ὥσπερ γὰρ ὑπὸ θεοῦ κατ' ἀρχὰς ὑποστᾶσα
ἡ αἰσθητὴ κτίσις, καλή· διὰ δὲ τὴν τοῦ ἀνθρώπου παράβασιν
καὶ *αὐτὴ ἡ κτίσις τῇ ματαιότητι ὑπετάγη* (β), τουτέστι, τῷ
μὴ βέβαιον ἔχειν τὸ εἶναι, ἀλλ' ἐν ῥοῇ καὶ ἀπορρύῃ εἶναι,
εἶτα διὰ τοῦ κατακλυσμοῦ, μικρὸν ἐπιστησάντων τῇ θεοσε-
βείᾳ τῶν ἀνθρώπων, καὶ οἷον δευτέρου ἀρχὴν συγκρίματος τοῦ
κόσμου λαβόντος διὰ τοῦ Νῶε καὶ τῶν ἐν τῇ κιβωτῷ ἁμα
διαφυλαχθέντων εἰς τὸ πάλιν συστῆναι σπέρμα τῷ κόσμῳ,
ὅμως οὐδὲ τότε τῆς τῶν ἀνθρώπων προτερησάσης φύσεως,
ἀλλ' ἐπὶ χείροσι τῶν προτέρων ἀπορρεύσασης· ὧν χειρόνων
νόμος ὁ διὰ Μωϋσέως ἀπέστρεψεν, οὐχ ἡ τοῦ Κυρίου παρουσί-

(α) Ψαλμ. ΡΓ', 30. (β) Ρωμ. Η', 20.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰ μὴ ἐπὶ βραχέσι προβέβηκε τὰ τῆς σωτηρίας· (πόσος γὰρ ὁ τῶν σωζομένων ἐσμὸς πρὸς τὴν τῶν ἀπολλυμένων καθ' ἑκάστην γενεὰν πληθύν; διό μοι δοκεῖ καὶ παρατείνεσθαι τὸν χρόνον τῆς συντελείας εἰς τὸ συντελεσθῆναι τὸ πλήρωμα τῶν σωθησομένων.) Ἐπεὶ οὖν πολύτροπος μὲν ἡ πρὸς τὴν σωτηρίαν κλῆσις, πολυσχιδὴς δὲ ἡ ἐξ ἀπειθείας ἀπώλεια, διὰ τοῦτο ἀναγκαῖος ὁ τοῦ πυρὸς κατακλυσμός, φθορὰ μέν, εἰ καὶ μὴ παντελής· ψυχῶν γὰρ οὔ· ἀλλ' οὐδὲ σωμάτων· *τοὺς γὰρ πάντας* ἡμᾶς παραστῆναι δεῖ τῷ βήματι τοῦ Χριστοῦ (α), οὐχὶ γυμναῖς σωμάτων ψυχαῖς, ἀλλὰ μετὰ σωμάτων ἀφθάρτων καὶ αὐτῶν. Πῶς γὰρ ἂν ψυχὴ γυμνὴ κομίσηται τὰ διὰ τοῦ σώματος πεπραγμένα; Οὐ γὰρ δικαίου κριτοῦ, δύο πλημμεληκότοιν κατὰ ταὐτόν, τὸν ἕνα ἀφεῖναι, πρὸς δὲ τὸν ἕτερον τὸ πᾶν τοῦ ἐγκλήματος ἐπιφέρειν. Ἄλλως τε δὲ, καὶ εἰ πυρὶ εἰώθαμεν ἀναχωνεύειν τὰς ὕλας, οὐχ ἵνα παντελῆ αὐταῖς δῶμεν ἀνυπαρξίαν, ἀλλ' ἵνα τὸ καθαρὸν αὐταῖς καὶ εἰλικρινὲς δῶμεν, οὐκ ἄν τις ἀπιστοίη καὶ τὸν θεὸν, διὰ πυρὸς τὴν συντέλειαν ἐπαγγελλόμενον, ἢ μὴ ποιεῖν ἢ καὶ ποιοῦντα ἐπὶ φθορᾷ τούτου ποιεῖν τοῦτο. Ἀλλ' εἰ καὶ φθείροι, τί ἂν φθείροι; Τὰ περιττὰ καὶ μηδὲν πρὸς ἀνθρωπίνην σύστασιν συντελοῦντα· οἷον, φυτὰ, κτήνη, χλόην, καὶ τὰ τοιαῦτα. Ταῦτα οὖν φθαρεῖται τὰ περιττὰ πρὸς τὴν ἄφθαρτον ζωήν. *Καὶ ἡ γῆ ἐξ ὕδατος καὶ δι' ὕδατος συνεστῶσα τῷ τοῦ θεοῦ λόγῳ.*] Ἡ γῆ ἐξ ὕδατος μὲν, ὡς ἐξ ὑλικοῦ αἰτίου· *δι' ὕδατος* δὲ, ὡς διὰ τελικοῦ. Ὕδωρ γὰρ τὸ συνέχον τὴν γῆν, οἷον κόλλα τις ὑπάρχον αὐτῇ· μὴ γὰρ αὐτοῦ προσόντος, ἀνάγκη πρὸς χοῦν αὐτὴν διαλύεσθαι καὶ ἀεροῦσθαι. Ἐπιφυήσεταί δέ τις ἡμῖν ἴσως φλυάρῳ γνώμῃ· Τί δήποτε ὁ θεὸς τὸν κόσμον τὸν ὁρώμενον ὑποστήσας, οὐχὶ ἐξ ἀρχῆς ἑδραῖον καὶ ἀμετάβολον εἰργάσατο, ἀλλὰ μεταβολαῖς σύγκρα-

(α) Β'. Κορ. Ε. 10.

τον; ἐξ οὗ καὶ πρὸς τὸ εὐθὲς ἐπανάγεσθαι χρεία, ἐπὶ Νῶε μὲν διὰ τοῦ κατακλυσμοῦ· ἐν δὲ τῇ συντελείᾳ, διὰ πυρός, ὡς νῦν φησὶ Πέτρος; Πρὸς ὃν ἐροῦμεν, ὡς τὸ μὲν ἀμετάβλητον, οὐχ οἷόν τε αὐτὸν σχεῖν· πῶς γὰρ, ὃς οὐκ μεταβολῆς εἴληχε τὸ εἶναι; Ἐκ γὰρ τοῦ μὴ εἶναι εἰς τὸ εἶναι προήχθη, ὅπερ οὐκ ἂν ἔμφρων τις μὴ ἀλλοίωσιν ἐρεῖ. Καὶ ἐπειδὴ ἡ ἀλλοίωσις ἐπὶ τὸ χεῖρον προέβη, τοῖς χείρασι συμφυρεῖσα, ἀναγκαίως ὁ τούτου δημιουργὸς ἐπὶ τὸ κρεῖττον ἐπανάγων, ἐπὶ μὲν τοῦ Νῶε τὴν κάθαρσιν δι' ὕδατος ἐποιήσατο· ἐν δὲ τῇ συντελείᾳ, διὰ πυρός, ὥσπερ καὶ ἡμεῖς πυρὶ τὰς ὕλας ἀναχωνεύειν εἰώθαμεν, οὐκ εἰς ἀφανισμὸν, ἀλλ' εἰς κάθαρσιν. *Δι' ὧν ὁ τότε κόσμος ὕδατι κατακλυσθεὶς ἀπώλετο.*] *Δι' ὧν*, τουτέστι, διὰ τοῦ οὐρανοῦ καὶ τῆς γῆς, τῆς μὲν τὸ ὕδωρ ἐπικλυσάσης, τῶν οὐρανῶν δὲ τοὺς καταῤῥάκτας αὐτῶν ἐπαφέντων, τουτέστιν, ὡς ἐν καταῤῥάκταις κατεπειγόντων τὸ ὕδωρ. Τὸ δὲ, *ἀπώλετο*, μὴ πρὸς πάντα τὸν κόσμον ἀκουστέον, ἀλλὰ πρὸς μόνα τὰ ζῶα, ἃ τὸν σύμπαντα κόσμον οἱονεὶ εἰδοποιεῖ· ἔρημος γὰρ τῶν ζώων τόπος, οὐδὲ κόσμος ἂν νομισθείη. *Οἱ δὲ νῦν οὐρανοὶ καὶ ἡ γῆ —πυρὶ τηρούμενοι εἰς ἡμέραν κρίσεως.*] Τὸ, *Πυρὶ τηρούμενοι εἰς ἡμέραν κρίσεως καὶ ἀπωλείας*, οὕτω· *Τηρούμενοι εἰς ἡμέραν κρίσεως καὶ εἰς ἡμέραν ἀπωλείας*· τὸ γὰρ, *εἰς ἡμέραν*, κατὰ κοινοῦ λέγεται. Τὸ δὲ, *κρίσεως*, ἀντὶ τοῦ, *κατακρίσεως*, κεῖται. *Οὐ βραδύνει ὁ Κύριος.*] Συμπεραναμένους τὸν περὶ συντελείας λόγον, ὅτι ἔσται, καὶ ἐξ ἀναγκαίου, καὶ διὰ πυρός· (ἃ πάντα καὶ ἡμεῖς διεξοδικώτερον διεξήλθομεν·) μετέβη καὶ ἐπὶ τὴν παράτασιν τοῦ χρόνου τῆς τοῦ κόσμου συντελείας, καί φησιν· Ὅτι *οὐ βραδύνει ὁ Κύριος τῆς ἐπαγγελίας, ὥς τινες βραδυτῆτα ἡγοῦνται, ἀλλὰ μακροθυμεῖ*, τὴν σωτηρίαν ἡμῶν ἐκδεχόμενος, καὶ μὴ βουλόμενος ἡμᾶς ἀπολέσθαι, *ἀλλ' εἰς μετάνοιαν πάντας χωρῆσαι*· ἅτε δὴ ἀπείρῳ ὄντι καὶ πελάγει οὐσίας ἀπεριορίστῳ, οὐδὲν αὐτῷ παρατεταμένον, ἀλλὰ χίλια ἔτη ὡς μία ἡμέρα παρ'

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτῷ· μᾶλλον δὲ, κατὰ τὸν Δαυὶδ, οὐδὲ τὸ πολλοστὸν ἡμέρας· φησὶ γὰρ οὕτως· Ὅτι *χίλια ἔτη ἐν ὀφθαλμοῖς σου, Κύριε, ὡς ἡμέρα ἡ ἐχθὲς, ἥτις διῆλθε, καὶ φυλακὴ ἐν νυκτὶ* (α), διὰ *τῆς φυλακῆς τῆς νυκτὸς*, τὸ βραχύτατον τοῦ νυκτερινοῦ διαστήματος δηλῶν· εἰς τέσσαρας γὰρ φυλακὰς ἡ νὺξ διαιρεῖται, εἴγε καὶ ὁ Κύριος *τετάρτῃ φυλακῇ* πρὸς τοὺς ἱεροὺς παραγίνεται ἀποστόλους, ὡς φησι τὸ εὐαγγέλιον (β).

10 Ἥξει δὲ ἡ ἡμέρα Κυρίου ὡς κλέπτης ἐν νυκτὶ, ἐν ᾗ οἱ οὐρανοὶ ῥοιζηδὸν παρελεύσονται, στοιχεῖα δὲ καυσούμενα λυθήσονται, καὶ γῆ καὶ τὰ ἐν αὐτῇ
11 ἔργα κατακαήσεται. Τούτων οὖν πάντων λυομένων, ποταποὺς δεῖ ὑπάρχειν ὑμᾶς ἐν ἁγίαις ἀναστροφαῖς
12 καὶ εὐσεβείαις, προσδοκῶντας καὶ σπεύδοντας τὴν παρουσίαν τῆς τοῦ θεοῦ ἡμέρας, δι' ἣν οὐρανοὶ πυρούμενοι λυθήσονται, καὶ στοιχεῖα καυσούμενα
13 τήκεται; Καινοὺς δὲ οὐρανοὺς καὶ γῆν καινὴν κατὰ τὸ ἐπάγγελμα αὐτοῦ προσδοκῶμεν, ἐν οἷς δικαιο-
14 σύνη κατοικεῖ. Διὸ, ἀγαπητοὶ, ταῦτα προσδοκῶντες, σπουδάσατε, ἄσπιλοι καὶ ἀμώμητοι αὐτῷ εὑ-
15 ρεθῆναι ἐν εἰρήνῃ, καὶ τὴν τοῦ Κυρίου ἡμῶν μακροθυμίαν, σωτηρίαν ἡγεῖσθε·

Τὸ ἄδηλον τῆς ἐφόδου τῆς τοῦ Κυρίου παρουσίας καὶ τὸ ἀπροσδόκητον, διὰ τοῦ *κλέπτου* καὶ *τῆς νυκτὸς* ἐδήλωσε (γ)· διὰ μὲν τῆς νυκτὸς, τὸ ἄδηλον· ἄδηλα γὰρ πάντα τὰ ἐν νυκτί· διὰ δὲ τοῦ κλέπτου, τὸ ἀπροσδόκητον· οὐδεὶς γὰρ κλέπτην προσδοκῶν κλαπήσεται, ἀλλ' οἱ ἀπροσδόκητοι τούτου, ἐκεῖνοι κλαπήσονται (δ). Διὸ καὶ ὁ Κύριος φησίν· ὅτι, ὥσπερ ἐν ταῖς ἡμέραις τοῦ Νῶε ἦσαν οἱ ἄνθρωποι, εὐθυμούμενοι γάμοις καὶ πότοις, καὶ τῆς μελλούσης αὐτοὺς ὑπολαβεῖν συμφορᾶς ἀνεννόητοι, ἕως οὗ ὁ κατακλυσμὸς αὐτοῖς ἐπέστη (ε)· οὕτω καὶ ἡ παρουσία τοῦ Κυρίου ἀπροσδοκήτως ἐπελεύσεται τοῖς ἀπε-

βοῦσι. Τὸ δὲ, ῥοιζηδὸν, τὸ, μετὰ ῥοίζου, ἤτοι μετ' ἤχου σφο
δροῦ, σημαίνει· ἴδιος δὲ ὁ τοιοῦτος ἦχος πυρὸς ἐν τοῖς ὑπ
πυρὸς καταβοσκομένοις. Σκόπει δὲ, ὅτι γῆν εἶπε, καὶ τὰ ἐ
αὐτῇ ἔργα κατακαήσεσθαι, ἀλλ' οὐχὶ ἀνθρώπους, εἰ μὴ μό
νον ἀπώλειαν ἐπὶ τῶν ἀσεβῶν εἶπεν, ἤτοι τῶν ἀσεβημάτω
αὐτῶν· ὁδὸς γὰρ ἀσεβῶν ἀπολεῖται (α), ἀλλ' οὐχὶ καὶ ὁ ἀσε
βής. Καινοὺς δὲ οὐρανοὺς καὶ καινὴν γῆν ὑποστήσεται ὁ Κύ
ριος, οὐ τῇ ὑπάρξει καὶ τῇ ὕλῃ· οὐ γὰρ ὁ συμπηγνὺς νέα
οἰκίαν, ἤδη καὶ ἐκ μὴ προϋπαρχούσης ὕλης τοῦτο ποιήσει
Καὶ ὁ θεὸς οὖν, ἅπαξ ὑποστήσας κατ' ἀρχὰς τὴν ὕλην καὶ δι
μορφώσας παντοίοις εἴδεσι καὶ συγκρίμασι, τὸ μὲν ὅσον πρὸ
τὴν τότε χρείαν ἀναγκαῖον, πρὸς δὲ τὴν μετὰ ταῦτα ἄφθα
τον, ἀλυσιτελές τε καὶ περιττὸν καταφθερεῖ· εἶτι δὲ συντ
λοῦν, ἀναμορφώσας ἀφθάρτῳ καὶ ἀμηχάνῳ κάλλει, ἐάσει τὸ
δεύτερον καὶ ἄφθαρτον συμπληροῦν κόσμον. *Κατὰ τὸ ἐπάγγε
μα αὐτοῦ.*] Ἐπηγγείλατο γὰρ τοῖς πιστοῖς λέγων· *Ἐλεύσομα
καὶ παραλήψομαι ὑμᾶς· καί· Ἐν τῇ οἰκίᾳ τοῦ πατρός μο
μοναὶ πολλαί εἰσι* (β). Διὸ καὶ Παῦλος φησί· Σαλπίζοντ
τοῦ ἀγγέλου ἀπ' οὐρανοῦ, καὶ τῶν νεκρῶν ἀφθάρτων ἀνιστα
μένων, καὶ αὐτοὺς ἁπαντήσεσθαι τῷ Κυρίῳ ἐν δόξῃ (γ), το
ἐν δόξῃ, τὸ ἄφθαρτον δηλονότι σημαίνοντος. Εἰ δὲ ἄφθαρτο
πάντως καινοί. Εἰ δὲ καινοὶ οὗτοι, εὔδηλον ὅτι καὶ ἡ κτίσ
καινὴ πεφυκυῖα τῇ τῶν ἀνθρώπων συμμεταβάλλεσθαι κατ
στάσει· καὶ φθαρτὴ μὲν, διὰ τὴν εἰς φθορὰν τῶν ἀνθρώπ
παρατροπήν· ἄφθαρτος δὲ, διὰ τὸν τῶν ἀνθρώπων ἀνακαιν
σμόν. Σκόπει δὲ, ὅτι καὶ τὴν παροκλὴν τοῦ χρόνου τῆς τ
Κυρίου παρουσίας, καὶ τὴν μακροθυμίαν αὐτοῦ, ἐπὶ σωτηρ
ἡμῶν φησὶν ἐκτελεῖσθαι.

15 Καθὼς καὶ ὁ ἀγαπητὸς ἡμῶν ἀδελφὸς Παῦλο

(α) Ψαλμ. Α', 6.
(β) Ἰωαν. ΙΔ', 3. 2. (γ) Α' Θεσ. Δ', 16. 17.

Δημοσια Κεντρικη Βιβλιοθηκη Βεροιας

16 κατὰ τὴν αὐτῷ δοθεῖσαν σοφίαν ἔγραψεν ὑμῖν, ὡς καὶ ἐν πάσαις ταῖς ἐπιστολαῖς, λαλῶν ἐν αὐταῖς περὶ τούτων· ἐν οἷς ἐστι δυσνόητά τινα, ἃ οἱ ἀμαθεῖς καὶ ἀστήρικτοι στρεβλοῦσιν, ὡς καὶ τὰς λοιπὰς Γραφὰς, πρὸς τὴν ἰδίαν αὐτῶν ἀπώλειαν.
17 Ὑμεῖς οὖν, ἀγαπητοὶ, προγινώσκοντες, φυλάσσεσθε, ἵνα μὴ, τῇ τῶν ἀθέσμων πλάνῃ συναπαχθέν-
18 τες, ἐκπέσητε τοῦ ἰδίου στηριγμοῦ· αὐξάνετε δὲ ἐν χάριτι καὶ γνώσει τοῦ Κυρίου ἡμῶν καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ. Αὐτῷ ἡ δόξα καὶ νῦν καὶ εἰς ἡμέραν αἰῶνος. Ἀμήν.

Καθὼς καὶ ὁ ἀγαπητὸς ἡμῶν ἀδελφὸς Παῦλος ἔγραψε.] Καὶ ποῦ τοιοῦτον Παῦλος εἴρηκε; Δι' ὧν ἔφη· *Τὸ χρηστὸν τοῦ θεοῦ εἰς μετάνοιάν σε ἄγει* (α). Εἰ δὲ εἰς μετάνοιαν ἡ τοῦ θεοῦ μακροθυμία ἄγει, σωτήριος δὲ ἡμῖν ἡ μετάνοια, πάντως ἐπὶ συμφέροντι ἡμῶν καὶ εἰς σωτηρίαν ἡ τοῦ θεοῦ μακροθυμία. *Δυσνόητα* δὲ λέγει, ἃ καὶ ὑπὸ τῶν ἀσεβῶν φησὶν ἐνδιαστρόφως ἐξαγγέλλεσθαι· τοῦτο γὰρ τὸ, *στρεβλοῦσθαι*, βούλεται σημαίνειν αὐτῷ. Καὶ ἵνα ἐξ ἑνὸς τούτου παραστήσω τὸ πᾶν, οὕτω τοῦ Παύλου εἰρηκότος· *Ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις* (β), αὐτοὶ διαστρέψαντες ἔφασαν, ὅτι τοῦτο φησὶν ὁ Παῦλος· Ἁμαρτήσωμεν πλέον, ἵνα πλέον συγχωρηθῶμεν. Τοῦτο δέ, φησι, ποιοῦσιν *ἐπ' ἀπωλείᾳ ἑαυτῶν*. Ὡς γὰρ οἱ τοὺς προφήτας ἀποκτείναντες καὶ τοὺς ἀποστόλους· οὕτω καὶ οἱ τοὺς λόγους αὐτῶν διὰ τῆς διαστροφῆς ἀναιροῦντες, τῷ αὐτῷ ὑπόκεινται κρίματι· ἐπεὶ καὶ ἐκείνους ἀπέκτειναν, ἀποπαύοντες αὐτοὺς τοῦ μὴ τοὺς τὰ σωτήρια ὑπ' αὐτῶν μαθητευομένους ὠφελεῖσθαι· καὶ τοὺς λόγους ὁμοίως στρε-

(α) Ῥωμ. Β', 4.
(β) Ῥωμ. Ε', 20.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βλοῦσι, τοῦ μή τινας διὰ τούτων δράττεσθαι σωτηρίας. *Ἴδιον* δὲ *στηριγμὸν*, τὴν εἰς τὸν Κύριον φησὶ πίστιν. Ὥσπερ δὲ ἐν τῇ ἄλλῃ ἐπιστολῇ εἰς εὐχὴν ἀποτελευτᾷ, οὕτω κἀν ταύτῃ, τὴν ἐν τῇ πίστει τοῦ Κυρίου αὔξησιν αὐτοῖς ἐπευχόμενος.

ΤΕΛΟΣ,

ΣΥΝ ΘΕΩ, ΤΗΣ ΚΑΘΟΛΙΚΗΣ ΔΕΥΤΕΡΑΣ ΤΟΥ ΠΕΤΡΟΥ ΕΠΙΣΤΟΛΗΣ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Η
ΠΡΩΤΗ
ΙΩΑΝΝΟΥ ΚΑΘΟΛΙΚΗ
ΕΠΙΣΤΟΛΗ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ

ΙΩΑΝΝΟΥ ΚΑΘΟΛΙΚΗΣ

ΠΡΩΤΗΣ ΕΠΙΣΤΟΛΗΣ.

ΤΑΥΤΗΝ ὁ αὐτὸς Ἰωάννης, ὁ καὶ τὸ εὐαγγέλιον γράψας, ἐπιστέλλει, ὑπομιμνήσκων τοὺς ἤδη πιστεύσαντας εἰς τὸν Κύριον. Καὶ πρῶτον μὲν ὥσπερ ἐν τῷ εὐαγγελίῳ, οὕτω καὶ ἐν ταύτῃ τῇ ἐπιστολῇ θεολογεῖ περὶ τοῦ Λόγου, ἀποδεικνὺς αὐτὸν ἀεὶ εἶναι ἐν τῷ θεῷ, καὶ διδάσκων, τὸν πατέρα φῶς εἶναι, ἵνα καὶ οὕτω γνῶμεν τὸν Λόγον ὡς ἀπαύγασμα ἐξ αὐτοῦ εἶναι. Θεολογῶν δὲ ἐξηγεῖται, μὴ νεώτερον εἶναι τὸ καθ' ἡμᾶς μυστήριον, ἀλλ' ἐξ ἀρχῆς μὲν καὶ ἀεὶ τυγχάνειν αὐτό· νῦν δὲ πεφανερῶσθαι ἐν τῷ Κυρίῳ, ὅστις ἐστὶ ζωὴ αἰώνιος καὶ θεὸς ἀληθινός (α). Καὶ τὸ αἴτιον δὲ τῆς τούτου παρουσίας καὶ ἐπιφανείας τίθησι, λέγων εἶναι τοῦτο· Ἐπὶ τῷ καταλῦσαι τὰ ἔργα τοῦ διαβόλου, καὶ ἡμᾶς ἐλευθερωθῆναι ἀπὸ τοῦ θανάτου, καὶ γινώσκειν ἡμᾶς τὸν πατέρα καὶ αὐτὸν τὸν υἱόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Γράφει οὖν πρὸς πᾶσαν ἡλικίαν, πρὸς παιδία, πρὸς νεανίσκους, πρὸς γέροντας, ὅτι ὁ μὲν θεὸς ἐγνώσθη· ἡ δὲ διαβολικὴ ἐνέργεια λοιπὸν νενίκηται, καταργηθέντος τοῦ θανάτου. Εἶτα λοιπὸν δι' ὅλης τῆς ἐπιστολῆς περὶ ἀγάπης διδάσκει, θέλων ἡμᾶς ἀλλήλους ἀγαπᾶν· καὶ ἀποδεικνὺς, ὅτι δεῖ ἀλλήλους ἀγαπᾶν, ἐπει-

(α) Α' Ἰωάν. Ε, 20.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὴ καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς. Ἐξηγεῖται οὖν περὶ διαφορᾶς φόβου καὶ ἀγάπης, καὶ τέκνων θεοῦ καὶ τέκνων διαβόλου, καὶ περὶ ἁμαρτίας θανατικῆς καὶ μὴ θανατικῆς, καὶ περὶ διαφορᾶς πνευμάτων· καὶ λοιπὸν διαιρεῖ, ποῖον μὲν πνεῦμα ἐκ τοῦ θεοῦ ἐστὶ, ποῖον δὲ τῆς πλάνης· καὶ πότε μὲν γινωσκόμεθα τέκνα θεοῦ, πότε δὲ τοῦ διαβόλου· καὶ περὶ ποίας ἁμαρτίας ὀφείλομεν εὔχεσθαι ὑπὲρ τῶν ἁμαρτανόντων· καὶ περὶ ποίας οὐ δεῖ εὔχεσθαι· καὶ ὅτι ὁ μὴ ἀγαπῶν τὸν πλησίον, οὐκ ἔστιν ἄξιος τῆς κλήσεως, οὐδὲ δύναται λέγεσθαι τοῦ Χριστοῦ. Καὶ τὴν ἑνότητα δὲ τοῦ υἱοῦ πρὸς τὸν πατέρα δείκνυσι, καὶ ὅτι ὁ ἀρνούμενος τὸν υἱὸν, οὐδὲ τὸν πατέρα ἔχει. Διακρίνει δὲ ἐν τῇ ἐπιστολῇ ταύτῃ λέγων, ἴδιον τοῦ Ἀντιχρίστου εἶναι, τὸ λέγειν μὴ εἶναι τὸν υἱὸν αὐτὸν τὸν Χριστὸν Ἰησοῦν, ἵνα δηλονότι, ὡς μὴ ὄντος ἐκείνου, ἑαυτὸν εἴπῃ εἶναι ὁ ψεύστης. Παραινεῖ δὲ δι' ὅλης τῆς ἐπιστολῆς, μὴ ἀθυμεῖν τοὺς πιστεύοντας τῷ Κυρίῳ, εἰ μισοῦνται ἐν τῷ κόσμῳ, ἀλλὰ μᾶλλον χαίρειν· ὅτι τὸ μῖσος τοῦ κόσμου δείκνυσι τοὺς πιστεύοντας, μεταβεβηκέναι ἀπ' αὐτοῦ τοῦ κόσμου, καὶ εἶναι λοιπὸν τῆς οὐρανίου πολιτείας. Καὶ ἐν τῷ τέλει δὲ τῆς ἐπιστολῆς πάλιν ὑπομιμνήσκει λέγων· ὅτι ὁ τοῦ θεοῦ υἱὸς, ζωὴ αἰώνιός ἐστι, καὶ θεὸς ἀληθινός· καὶ ἵνα τούτῳ δουλεύωμεν, καὶ φυλάττωμεν ἑαυτοὺς ἀπὸ τῶν εἰδώλων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΙΩΑΝΝΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η

ΚΑΘΟΛΙΚΗ ΠΡΩΤΗ

ΕΠΙΣΤΟΛΗ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Εὐαγγελικὴ θεολογία περὶ Χριστοῦ· ἐν ᾧ, περὶ ἐξομολογήσεως καὶ προσοχῆς εἰς τὸ μὴ ἁμαρτάνειν· ὅτι ἡ τήρησις τῶν ἐντολῶν τοῦ θεοῦ τὴν γνῶσιν βεβαιοῖ.

Κεφ. I, 1 Ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα, καὶ
2 αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν, περὶ τοῦ λόγου τῆς ζωῆς· (καὶ ἡ ζωὴ ἐφανερώθη, καὶ ἑωράκαμεν, καὶ μαρτυροῦμεν, καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν τὴν αἰώνιον, ἥτις ἦν πρὸς τὸν πατέρα, καὶ ἐφανε-
3 ρώθη ἡμῖν·) ὃ ἑωράκαμεν, καὶ ἀκηκόαμεν, ἀπαγγέλομεν ὑμῖν·

Τοῦτο καὶ πρὸς Ἰουδαίους καὶ πρὸς Ἕλληνας· οἳ ὡς νεώτερον διαβάλλουσι τὸ καθ' ἡμᾶς μυστήριον. Δείκνυσιν οὖν, ὡς καὶ παλαιὸν τοῦτο· *ἀπ' ἀρχῆς* γὰρ ἦν, τουτέστιν, ἅμα τῇ ἐννοηθείσῃ ἀρχῇ· ἢ, οὐ μόνον τοῦ νόμου, ἀλλὰ καὶ αὐτῆς τῆς ὁρατῆς ἀνώτερον τοῦτο κτίσεως. Ἡ μὲν γὰρ ἀρχὴν ἔσχε· τοῦτο δὲ ἦν καὶ πρὸ τῆς ἀρχῆς ταύτης. Τῶν γάρ τοι χθὲς καὶ πρώην Ἑλληνικῶν, τί ἄν τις καὶ λέγοι; Ἅ, τῇ ἀσελγείᾳ περικροτού-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μενα, ὀψὲ τὴν ἀνυπόστατον σύστασιν ἔσχεν, ἀκαθαρσίας ἤδη ἐμπολιτευομένης ἀνθρώποις· ἧς καὶ μάθημα καὶ ὑπόμνημα αὕτη, καὶ τῆς ἀπὸ τοῦ κρείττονος ἐπὶ τὴν κεχυμένην ἡμῶν νύκτα ἀπόῤῥευσις. Τὸ μεγαλεῖον τοιγαροῦν παριὼν τοῦ καθ' ἡμᾶς μυστηρίου διὰ τῆς κατὰ ταῦτα ἀρχαιότητος, ἐπάγει, ὅτι καὶ *ζωὴ* τοῦτό ἐστι· καὶ ζωὴ οὐ διαστήματι χρονικῷ μετρουμένη, ἀλλ' ἐνυπόστατος, καὶ πρὸς τὸν πατέρα ἀεὶ οὖσα, συνῳδὰ ταῦτα τοῖς ἐν τῷ ἑαυτοῦ φθεγγόμενος εὐαγγελίῳ. Κἀκεῖ γὰρ, *Καὶ ὁ λόγος*, φησὶν, *ἦν πρὸς τὸν θεόν*. Τὸ δὲ, *Ἦν*, τοῦτο οὐ χρονικὴν παρίστησιν ὕπαρξιν, ἀλλ' ἐνυποστάτου πράγματος οὐσίαν, καὶ πάντων τῶν τὸ εἶναι λαχόντων ἀρχήν τε καὶ βάσιν καὶ ἕδραν, καὶ οὗ χωρὶς οὐκ ἂν δύναιτο ταῦτα ὑφίστασθαι. Ἕκαστον γὰρ τῶν γεννητῶν τί εἶναι λέγεται, οἷον εἶναι ἄγγελος, εἶναι ἥλιος, οὐρανὸς, τ' ἄλλα πάντα. Μόνος δὲ ὁ υἱὸς καθάπαξ ὢν τυγχάνει, οὗ μετέχοντα τὰ πάντα πρὸς ὕπαρξιν ἔρχεται. Διὸ καὶ Παῦλός φησιν· *Ἐν αὐτῷ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν* (ε). Τούτου ἀκρόασιν κατὰ εἰσαγωγικὴν διδασκαλίαν πρότερόν τις δεξάμενος, ἔρχεται ἐπὶ τὸ ἰδεῖν αὐτὸν οὐ σωματικῶς, ἀλλ' ἐπιστημονικῶς μετὰ πολλὴν τὴν γυμνασίαν τε καὶ ἐπίσκεψιν, ἣ τις καὶ *ψηλάφησις περὶ τοῦ λόγου τῆς ζωῆς* εἴρηται, τῆς εἰπούσης, *Ἐγώ εἰμι ἡ ζωή* (γ). Δελέξεται δὲ καὶ οὕτω περὶ τοῦ *ἐν ἀρχῇ ὄντος Λόγου*· *Ὅτι ἀκηκόαμεν* διὰ τοῦ νόμου καὶ τῶν προφητῶν αὐτὸν, ὡς ἐλεύσεται. Τοῦτον οὖν ἐλθόντα μετὰ σώματος, ἐμφανῶς εἴδομεν, καὶ *ἐψηλαφήσαμεν*· γυμνὸν γὰρ *θεὸν οὐδεὶς ἑώρακε πώποτε* (δ). Οὐ γὰρ, ὡς ἔτυχε, συγκατεθέμεθα τῷ ὀφθέντι σαρκί· ἀλλὰ μετὰ πολλὴν *ψηλάφησιν*, ὡς εἴρηται ἤδη, τουτέστι, μετὰ συζήτησιν τῶν νομικῶν τε καὶ προφητικῶν περὶ τούτου μαρτυριῶν, ἐπιεύσαμεν τῷ ὀφθέντι σαρκὶ Λόγῳ. Ἢ τὸ, *Ὃ ἐθεασάμεθα*, ἀντὶ τοῦ, Ὃ ἰδόντες τοῖς ὀφθαλμοῖς, τεθαυμάκαμεν· *θεᾶσθαι* γάρ ἐστι τὸ μετὰ θαύ-

(α) Ἰων. Α', 1. (ε) Πραξ. ΙΖ', 28. (γ) Ἰωαν. ΙΔ', 6.
(δ) Ἰωαν. Δ', 18. Α' Ἰωαν. Δ', 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ματος καὶ θάμβους ὁρᾷν. Οὐχ ὃ οὖν ἦν ἐθεασάμεθα ἢ ἐψηλαφήσαμεν· τούτου γὰρ τὴν γενεὰν τίς διηγήσεται (α); ἀλλ' ὃ γέγονεν, ἤτοι γνωστικαῖς ἐπαφαῖς, ἢ καὶ αἰσθηταῖς, ὡς καὶ Θωμᾶς μετὰ τὴν ἀνάστασιν. Εἷς γὰρ ἦν καὶ ἀδιαίρετος, ὁ αὐτὸς καὶ θεατὸς καὶ ἀθέατος, καὶ κρατούμενος, καὶ μὴ περιδρασσόμενος, καὶ ἀναφὴς καὶ ψηλαφητὸς, καὶ ἀνθρωπίνως φθεγγόμενος, καὶ ὡς θεὸς ἐνεργῶν τὰ θαύματα. Τοῦτο δὲ διὰ τὴν ἄκραν ἑνότητα τοῦ Λόγου πρὸς τὴν σάρκα φαμέν. Τὸ ἑξῆς οὕτως· Ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, καὶ ἑωράκαμεν, καὶ ἐθεασάμεθα τοῖς ὀφθαλμοῖς ἡμῶν, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν, περὶ τοῦ λόγου τῆς ζωῆς, ἤτις ζωὴ ἐφανερώθη, ἣν καὶ ἑωράκαμεν, καὶ μαρτυροῦμεν, καὶ ἀπαγγέλλομεν ὑμῖν, λέγω δὲ τὴν ζωὴν τὴν αἰώνιον, ἥτις ἦν πρὸς τὸν πατέρα, καὶ ἐφανερώθη ἡμῖν. Ὃ τοίνυν ἑωράκαμεν, καὶ ἀκηκόαμεν, τοῦτο καὶ ἀπαγγέλλομεν ὑμῖν. Ἐνταῦθα τοίνυν ἐστὶν ἡ ἀπόδοσις, ἐν τῷ, Ὃ τοίνυν ἑωράκαμεν. Οὐχ οὕτω δὲ ἐποιήσατο τὴν ἀπαγγελίαν, ὥσπερ καὶ ἡμεῖς, πρῶτον μὲν διὰ τὴν τοῦ συντετμημένου λόγου χρῆσιν· ἔπειτα δὲ καὶ τὴν Ἑλληνικὴν ἐρεσχελίαν ἀτιμάζων, καὶ δεικνὺς, ὡς οὐκ ἐν λόγοις ἡ σωτηρία ἡμῶν, ἀλλ' ἐν ἔργοις· καὶ ἐπὶ τούτοις ἐπιστατικωτέρους ἡμᾶς ἐργαζόμενος, ἵνα μὴ αὐτόθεν προχείρως εὑρίσκοντες τὸ προκείμενον, ὑπτιώμεθα. Ἄλλως τε καὶ θεολογῶν, ἐβουλήθη ἀσαφείᾳ κρύψαι τὰ βεβήλων ἀνώτερα ἀκοῶν, καὶ μὴ ἂν ἀσφαλῶς αὐταῖς ἔκφορα ποιεῖν· τὸ γὰρ βάλλειν τὰ ἅγια τοῖς κυσὶ, καὶ ῥίπτειν τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων (α), οὐκ ἀνδρὸς φρονίμου, οὐ σώφρονος λογισμοῦ.

3 Ἵνα καὶ ὑμεῖς κοινωνίαν ἔχητε μεθ' ἡμῶν· καὶ
ἡ κοινωνία δὲ ἡ ἡμετέρα μετὰ τοῦ πατρὸς καὶ
4 μετὰ τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ. Καὶ ταῦτα

(α) Ἡσ. ΝΓ', 8. (β) Ματθ. Ζ', 6.

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

γράφομεν ὑμῖν, ἵνα ἡ χαρὰ ὑμῶν (1) ᾖ πεπληρω-
5 μένη. Καὶ ἔστιν αὕτη ἡ ἐπαγγελία (2), ἣν ἀκηκόα-
μεν ἀπ' αὐτοῦ, καὶ ἀναγγέλλομεν ὑμῖν, ὅτι ὁ θεὸς
φῶς ἐστι, καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστιν οὐδεμία.
6 Ἐὰν εἴπωμεν, ὅτι κοινωνίαν ἔχομεν μετ' αὐτοῦ,
καὶ ἐν τῷ σκότει περιπατῶμεν, ψευδόμεθα, καὶ οὐ
7 ποιοῦμεν τὴν ἀλήθειαν· ἐὰν δὲ ἐν τῷ φωτὶ περι-
πατῶμεν, ὡς αὐτός ἐστιν ἐν τῷ φωτὶ, κοινωνίαν
ἔχομεν μετ' ἀλλήλων, καὶ τὸ αἷμα Ἰησοῦ Χριστοῦ,
τοῦ υἱοῦ αὐτοῦ, καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρ-
8 τίας. Ἐὰν εἴπωμεν, ὅτι ἁμαρτίαν οὐκ ἔχομεν,
ἑαυτοὺς πλανῶμεν, καὶ ἡ ἀλήθεια οὐκ ἔστιν
ἐν ἡμῖν.

Ὃ τοίνυν ἑωράκαμεν, καὶ ἀκηκόαμεν, ἀπαγγέλλομεν ὑμῖν, φησί. Τί τοῦτο; Ὅτι ζωὴ αἰώνιος ὢν ἐφανερώθη ἡμῖν, καὶ θεαταὶ αὐτοῦ γεγόναμεν, καὶ πρὸ τοῦ σταυροῦ, καὶ μετὰ τὴν ἀνάστασιν. Ὁ γὰρ αὐτὸς καὶ τῷ σταυρῷ σαρκικῶς προσηλώθη, καὶ τῇ αὐτῇ ἐξανέστη σαρκί. Καὶ τί κέρδος ἐκ ταύτης ὑμῖν τῆς ἐπαγγελίας κομίζομεν; Τοῦτο· ὥσπερ δηλαδὴ κοινωνοὺς ὑμᾶς λαμβάνομεν διὰ τοῦ λόγου ὧν εἰδομέν τε καὶ ἀκηκόαμεν· οὕτω κοινωνοὺς ὑμᾶς ἔχομεν καὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ. Τούτου δὲ τυχόντες, χαρᾶς ἂν πληρωθείημεν, ὡς τῷ θεῷ κεκολλημένοι. Ἤ, ὅτι ὑμῶν ἡμῖν κοινωνούντων, πληρεστάτην ἔχομεν τὴν χαρὰν ὑμῶν, ἣν τοῖς θερισταῖς ὁ χαίρων σπορεὺς ἐν τῇ τοῦ μισθοῦ ἀπολήψει βραβεύσει, χαιρόντων καὶ τούτων, ὅτι τῶν πόνων αὐτῶν ἀπολαύουσι. Ταῦτα εἰπὼν ἐπαναλαμβάνει πάλιν τὸν λόγον, σαφηνίζων, τίς ἡ ἐπαγγελία, ἣν ἀκήκοε· καί φησιν· Ὅτι αὕτη ἐστὶν· ὅτι *ὁ θεὸς φῶς ἐστι, καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστι.* Καὶ ποῦ τοῦτο ἤκουσεν; Ἀπ' αὐτοῦ τοῦ Χριστοῦ· *Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου,* λέγοντος (α)· καί· *Ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα* (β). *Φῶς* οὖν *ἐστι, καὶ*

(1) Παῦ ἄλλοις, ἡμῶν. (2) Παῦ ἄλλοις, Καὶ ἔστιν αὕτη ἡ ἀγγελία. καί· Καὶ αὕτη ἐστὶν ἡ ἀγγελία, ἣ, ἐπαγγελία.
(α) Ἰωαν. Η', 12. (β) Ἰωαν. ΙΒ', 46.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σκοτία ἐν αὐτῷ οὐκ ἔστι· φῶς δὲ νοερὸν, τοὺς τῆς ψυχῆς ἡμῶν ὀφθαλμοὺς, εἰς τὴν αὐτοῦ ἀντίληψιν ἀνακινοῦν, καὶ τούτων τῶν ὑλικῶν ἀποστρέφον ἁπάντων, καὶ πρὸς αὐτὸ μόνον τὴν ὄρεξιν ἐρωτικῷ πάθει κατασπεῦδον. *Σκοτίαν* δὲ, ἤτοι τὴν ἄγνοιαν, ἢ τὴν ἁμαρτίαν φησίν· ἐν γὰρ τῷ θεῷ οὔτε ἄγνοια ἐνοῦται, οὔτε ἁμαρτία· περὶ τὴν ὕλην γὰρ ταῦτα, καὶ τὴν καθ' ἡμᾶς σύνθεσιν. Εἰ δέ που εἴρηται· *Ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ* (α)· ἀλλ', *ἔθετο*, εἶπεν, οὐχὶ, ἔστι σκότος, ὥσπερ εἶπεν, ἔστι φῶς· ἕτερον γὰρ τὸ τιθέμενον τοῦ τιθέντος. Τὸ *σκότος* οὖν ἐνταῦθα, τὴν ἐν ἀκαταληψίᾳ ἄγνοιαν ἡμῶν τοῦ θεοῦ δηλοῦντος ἐστίν· ἡμῶν δὲ τοῦτο, οὐ τοῦ θεοῦ ἐστί. Τίθεται γάρ τι τῶν μὴ ἐνυπαρχόντων τινὶ, καὶ οὐχ ἑαυτοῦ χάριν, ἀλλά τινος τῶν περὶ αὐτόν. Ὅτι δὲ καὶ τὴν ἁμαρτίαν *σκότος* καλεῖ, ἀπὸ τῶν ἐν τῷ εὐαγγελίῳ εἰρημένων αὐτῷ δῆλόν ἐστι. Τί γὰρ ἐκεῖ φησί; *Καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβε* (β)· *σκότος* τὴν ἁμαρτητικὴν ἡμῶν λέγων οὐσίαν· ἐν ᾗ γενόμενος, ἤτοι προσλαβόμενος ταύτην, τῶν ἀπ' αὐτῆς οὐ μετείληφε μολυσμῶν· *ἁμαρτίαν γὰρ οὐκ ἐποίησε*, καὶ ἑξῆς (γ). Ἐπεὶ οὖν κοινωνοὺς ὑμᾶς, φησὶ, παραλαμβάνομεν θεοῦ, τοῦ φῶς ὑπάρχοντος, ἐν δὲ τῷ τοιούτῳ φωτὶ οὐκ ἂν ὑποσταίη σκότος, ὡς ἐδείχθη, μηκέτι μηδὲ ἡμεῖς, οἱ τῷ φωτὶ κοινωνοῦντες, σκότος παραδεξώμεθα ἐν ἑαυτοῖς, ἵνα μὴ ψεύδους ὑπόσχωμεν δίκας, καὶ μετὰ τοῦ ψεύδους, τῆς τοῦ φωτὸς ἀπορραγῶμεν κοινωνίας. Ὥστε τῆς κοινωνίας ἐχόμενοι τῆς ἀλλήλων· (δῆλον δὲ ὅτι τῆς ἡμῶν τε καὶ τοῦ φωτός·) ἀναλώτους ἑαυτοὺς καθιστάνομεν ἁμαρτίας. Ἀλλὰ πῶς ἔσται τοῦτο, φησὶν, ἡμῖν τοῖς πρότερον πολλαῖς ἐνισχημένοις ἁμαρτίαις; οὐδεὶς γὰρ ἂν ἀληθὴς καὶ ἀληθεύειν ἐπαγγελλόμενος τολμήσειεν ἐρεῖν, ὡς ἀναμάρτητός ἐστιν. Εἴτις οὖν τῷ φόβῳ τούτῳ περικατείληπται,

(α) Ψαλμ. ΙΖ', 10. (β) Ἰωαν. Α', 5.
(γ) Ἡσ. ΝΓ', 9.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέμιος

θαρρείτω φησί· τῷ γὰρ αἵματι τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ, τῷ ἐκχυθέντι ὑπὲρ ἡμῶν, κεκάθαρται ὁ τὴν κοινωνίαν αὐτοῦ ἀσπασάμενος. Σκόπει δὲ, ὅπως διὰ τὴν ἄκραν ἕνωσιν, *Υἱὸν* τοῦ *πατρὸς* καὶ τὸ ἐξ ἡμῶν καλεῖ πρόσλημμα, οὗ πάντως ἀναμφιβόλως τὸ αἷμα, ἀλλ' οὐχὶ τοῦ θεοῦ. Πῶς οὖν οὐ λῆρος καὶ ἀσεβὴς ὁ Νεστόριος, διαιρῶν τοῦ υἱοῦ τὴν σάρκα, καὶ *Θεοτόκον* μὴ ἀνεχόμενος τὴν αὐτοῦ μητέρα καλεῖν; Ἰσέον δὲ, ὅτι ὕλος ὁ νοῦς τοῦ ῥητοῦ, ἀνατροπὴ τῆς Ἰουδαίων βλασφημίας ἐστίν· αὐτοὶ γὰρ ἔφασκον περὶ τοῦ Χριστοῦ· Ὅτι *ἡμεῖς οἴδαμεν, ὅτι ὁ ἄνθρωπος οὗτος ἁμαρτωλός ἐστι* (α). Φησὶν οὖν, ὅτι εἰ φωτὸς ἔργα πράττομεν, κοινωνοὶ αὐτοῦ ἐσμέν· εἰ δὲ μὴ πράττομεν, ἀλλοτριούμεθα αὐτοῦ. Πῶς οὖν οὐκ ἀληθῶς φῶς ἐστι, καὶ ἁμαρτίαν οὐδεμίαν οὐκ ἐποίησεν, εἰ καὶ ἐν τοῖς ἀνόμοις ὑφ' ἡμῶν ἐλογίσθη (β); Ἐὰν οὖν, φησὶν, ἡμεῖς, οἱ εἰπόντες· *Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν* (γ), εἴπωμεν ἀναιδῶς, ὅτι οὐχ ἡμάρτομεν, *ἑαυτοὺς πλανῶμεν*, τουτέστιν, ἀπατῶμεν, ὡς μὴ οὔσης ἁμαρτίας τοῦ σταυρῶσαι τὸν Χριστόν· ἔστι γὰρ, καὶ μεγάλη. Διὸ οὐκ εἶπε, Ψευδόμεθα, ἀλλ', *Ἑαυτοὺς ἀπατῶμεν*· ὅτι ἡ πλάνη ἐκτὸς τῆς ἀληθείας ἐστίν. Εἰ δὲ ἐπιγνῶμεν τὴν ἁμαρτίαν, καὶ ὁμολογήσωμεν, ἀφήσει ἡμῖν. Τῇ κοινότητι δὲ τοῦ λόγου ἐλέανε τὸ ἄγαν αὐστηρὸν τοῦ ἐλέγχου λέγων, *Ἐὰν εἴπωμεν*.

9 Ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι
καὶ δίκαιος, ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας, καὶ κα-
10 θαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας. Ἐὰν εἴπωμεν,
ὅτι οὐχ ἡμαρτήκαμεν, ψεύστην ποιοῦμεν αὐτὸν,
καὶ ὁ λόγος αὐτοῦ οὐκ ἔστιν ἐν ἡμῖν.

Ἐὰν *ὁμολογῶμεν τὰς ἁμαρτίας*.] Ἐπαναλαμβάνει τὸν λόγον, φιλοτιμότερον χρώμενος, ὡς ἂν τῷ κατακόρῳ τῆς τοῦ ἐλέγχου προσαγωγῆς, αὐτούς τε ἐπιστήσῃ τῷ τοῦ ἐγκλήματος μεγέθει,

(α) Ἰωαν. Θ', 24. (β) Ἡσ. ΝΓ', 12. (γ) Ματθ. ΚΖ', 25.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἐπὶ ὁμολογίαν παρακαλέσῃ. Ὅσον δὲ τὸ ἀπὸ τῆς ὁμολογίας τίκτεται ἀγαθὸν, ἐδήλωσεν εἰπών· *Λέγε σὺ πρῶτος τὰς ἁμαρτίας σου, ἵνα δικαιωθῇς* (α). Τοῦτο δὲ καὶ ἔθος τῷ τοῦ παρόντος ἠγαπημένου μαθητοῦ διδασκάλῳ, τὰ αὐτὰ πολλάκις ἀνακυκλεῖν, μετριώτερον πρῶτον, εἶτα τελεώτερον, ἐναργεστέραν τὴν γνῶσιν τῶν λεγομένων ποιεῖν βουλομένῳ, καὶ ἔξιν αὐτῶν τοῖς ἀκροαταῖς ἐμποιῆσαι σπεύδοντι. *Πιστὸν* δὲ τὸν θεὸν, ἀντὶ τοῦ ἀληθῆ εἴρηκε. *Πιστὸς* γὰρ οὐ μόνον ἐπὶ τοῦ πεπιστευμένου, ἀλλὰ καὶ ἐπὶ τοῦ πιστωτικοῦ εἴρηται, ὃς ἀπὸ τοῦ ἑαυτοῦ ἀληθοῦς τρόπου ἔχει καὶ τὸ τοῖς ἄλλοις τούτου μεταδιδόναι. Πιστὸς μὲν οὖν οὕτως ὁ θεός· *δίκαιος* δὲ, ὡς μὴ τοὺς αὐτῷ προσιόντας ἀπωθούμενος, ὁποῖα ἂν ὦσιν ἡμαρτηκότες. Ἀφίησιν οὖν τὰς ἁμαρτίας ἀναμφιβόλως τοῖς διὰ μετανοίας τῷ ἁγίῳ προστρέχουσι βαπτίσματι, εἴτε εἰς αὐτὸν, εἴτε καὶ εἰς ἑτέρους πεπλημμελήκασιν. Εἰ μὲν οὖν *ὁμολογοῦμεν*, φησὶ, τευξόμεθα καὶ τῆς κατ' ἀλλήλων συγγνώμης· εἰ δὲ ἀναιδευόμενοι λέγομεν, *ὅτι οὐχ ἡμαρτήκαμεν*, διπλοῦν ἐργασόμεθα τὸ κακόν· καὶ ἑαυτοὺς ψεύστας ἀποφαίνοντες, καὶ τὸν ὑπὲρ πᾶσαν ἀλήθειαν εἰς ψεῦδος βλασφημοῦντες θεόν. Αὐτὸς γάρ φησι διὰ τοῦ προφήτου· *Ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ ἀγαθῶν* (β)· καὶ δι' ἑαυτοῦ πάλιν· *Εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις* (γ); Τούτων οὖν οὕτως ἐχόντων, εἰ αὐτοὶ λέγομεν, μὴ ἡμαρτηκέναι, τὸν λόγον αὐτοῦ ἀρνούμεθα, ὃς ἐστι *πνεῦμα* καὶ *ζωή*· (*τὰ ῥήματα* γάρ, φησιν, *ἃ ἐγὼ λαλῶ ὑμῖν, πνεῦμά ἐστι καὶ ζωή* (δ)·) καὶ οὐκέτι ἔχομεν τὸν λόγον αὐτοῦ ἐν ἡμῖν ἐμφιλοχωροῦντα· οὗ τί ἂν ἔσται βαρύτερον;

ΚΕΦ. Β, 1 Τεκνία μου, ταῦτα γράφω ὑμῖν, ἵνα μὴ ἁμάρτητε· καὶ ἐάν τις ἁμάρτῃ, παράκλητον ἔχομεν

(α) Ἡσ. ΜΓ', 26. (β) Ψαλμ. ΑΔ', 12.
(γ) Ἰωαν. ΙΗ', 23. (δ) Ἰωαν. Ϛ', 63.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

2 πρὸς τὸν πατέρα, Ἰησοῦν Χριστὸν, δίκαιον· καὶ αὐ-
τὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν, οὐ περὶ
τῶν ἡμετέρων δὲ μόνον, ἀλλὰ καὶ περὶ ὅλου τοῦ
3 κόσμου. Καὶ ἐν τούτῳ γινώσκομεν, ὅτι ἐγνώκαμεν
4 αὐτόν, ἐὰν τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν. Ὁ λέγων·
Ἔγνωκα αὐτὸν· καὶ τὰς ἐντολὰς αὐτοῦ μὴ τηρῶν,
ψεύστης ἐστὶ, καὶ ἐν τούτῳ ἡ ἀλήθεια οὐκ ἔστιν.
5 Ὃς δ' ἂν τηρῇ αὐτοῦ τὸν λόγον, ἀληθῶς ἐν τού-
τῳ ἡ ἀγάπη τοῦ θεοῦ τετελείωται. Ἐν τούτῳ γι-
6 νώσκομεν, ὅτι ἐν αὐτῷ ἐσμέν. Ὁ λέγων ἐν αὐτῷ
μένειν, ὀφείλει, καθὼς ἐκεῖνος περιεπάτησε, καὶ
αὐτὸς οὕτως περιπατεῖν.

Τὸ ἀστάθμητον καὶ πλημμελὲς τῆς φύσεως ἡμῶν ἐπιστάμε-
νος, καὶ ὅτι ἀεὶ σύνοικον ἔχοντες τήν τε ἐπὶ τὰ χείρω ῥοπὴν,
καὶ τὸν ἐφεδρεύοντα τῇ σωτηρίᾳ ἡμῶν φθονερὸν δαίμονα, ἀνάγ-
κη μὴ προσεχόντως βιοῦντας ἁμαρτάνειν τοὺς ἤδη δι' ἐξομυ-
λογήσεως οἰκοιοθέντας θεῷ, ἐπάγει ταῦτα, ὅτι, κἂν μετὰ τὴν
ἄφεσιν πταίσωμεν, μὴ ἀπογνῶμεν ἑαυτῶν· ἐπιστρέφοντες γὰρ,
τύχοιμεν καὶ πάλιν τῆς σωτηρίας διὰ τῆς τοῦ κυρίου Ἰησοῦ
Χριστοῦ μεσιτείας. Αὐτὸς γὰρ τῷ πατρὶ περὶ ἡμῶν ἐντυγχά-
νων, ἱλάσεται περὶ τῶν ἁμαρτιῶν ἡμῶν· καὶ οὐ περὶ τῶν ἡμε-
τέρων μόνον, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου. Τοῦτο δὲ εἶπεν,
ὅτι πρὸς Ἰουδαίους ἔγραφε, καὶ ἵνα μὴ μόνοις ἐκείνοις περι-
κλείσῃ τὰ τῆς μετανοίας, ἀλλὰ καὶ πρὸς τὰ ἔθνη ἐξαπλώσῃ
ταύτην· ἢ ὅτι μὴ τοῖς κατ' ἐκεῖνο καιροῦ ἡ ἐπαγγελία μόνον,
ἀλλὰ καὶ τοῖς μετέπειτα πᾶσι. *Παράκλητον* δὲ, τὸν ὑπὲρ ἡμῶν
φησὶ τὸν πατέρα παρακαλοῦντα, ἤτοι προτρεπόμενον· ἀνθρω-
πινώτερον δὲ ταῦτα καὶ οἰκονομικώτερον εἴρηται· ὡς τό· Οὐ
δύναται ὁ υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδέν (α)· διὰ γὰρ μὴ τὸ
ἀντίθεος δόξαι ταῦτά φησιν· ἐπεὶ, ὅτι καὶ ὁ υἱὸς ἐξουσίαν ἔχει
ἀφιέναι ἁμαρτίας, ἔδειξεν ἐπὶ τοῦ παραλύτου (β). Ἀλλὰ καὶ

(α) Ἰωαν. Ε', 19. (β) Ματθ. Θ', 6.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῖς μαθηταῖς τοῦτο δοὺς τὸ ἀφιέναι ἁμαρτίας, ἐνέφηνεν ὡς αὐτοδεσπότως τοῦτο παρέχει (α). Ἀλλ', ὡς ἔφημεν, ἢ οἰκονομικῶς τοῦτο νῦν ὁ ἀπόστολός φησιν, ἢ παριστῶν τὸ πρὸς τὸν πατέρα τοῦ υἱοῦ ὁμοφυές τε καὶ ὁμοδύναμον, καὶ ὅτι ὃ ἂν ποιῇ μία τῶν τριῶν ἁγιαστικῶν ὑποστάσεων, κοινόν ἐστι καὶ τῶν λοιπῶν. *Καὶ ἐν τούτῳ γινώσκομεν.*] Εἰρηκὼς ἀνωτέρω, τοὺς εἰς τὸν Κύριον πεπιστευκότας κοινωνίαν ἔχειν πρὸς αὐτὸν, πιστωτικὰ τῆς κοινωνίας τῆς πρὸς αὐτὸν παρατίθεται νῦν, καί φησιν· Ὅτι *καὶ ἐν τούτῳ γινώσκομεν, ὅτι ἐγνώκαμεν αὐτόν.* Ἔθος γὰρ τῷ μακαρίῳ τούτῳ ἀνδρὶ, ταῖς ὁμωνυμίαις χρῆσθαι κατὰ ταὐτὸν, ὥσπερ καὶ ἐν τῷ· *Ἦν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω* (β). Οὕτως οὖν καὶ νῦν κέχρηται τῷ, *Ἐγνωκέναι*, ὁμωνύμως. Τὸ δὲ, *Ὅτι ἐγνώκαμεν αὐτὸν*, ἀντὶ τοῦ, Ὅτι συνανεκράθημεν αὐτῷ, ἐν τούτῳ ἐπιστάμεθα, ἐν τῷ τὰς ἐντολὰς αὐτοῦ τηρεῖν. Δύο γὰρ σημαίνοντος μάλιστα παρὰ τῇ θείᾳ Γραφῇ τοῦ, *γινώσκειν*, τό, τε ἐπίστασθαί τι, ὡς ἐν τῷ· *Ἔγνων, ὅτι ποιήσει Κύριος τὴν κρίσιν τῶν πτωχῶν* (γ)· καὶ δὴ καὶ τῆς παντελοῦς πρός τινα ἀνακράσεως, *γνώσεως*, λεγομένης, ὡς ἐν τῷ· *Γινώσκει Κύριος ὁδὸν δικαίων* (δ)· καὶ ὡς Παῦλος· Ἐπιγινώσκειν ἡμᾶς, φησὶ, τὸν θεὸν, καθὼς καὶ ὑπ' αὐτοῦ ἐπεγνώσμεθα (ε)· ὡσαύτως δὲ καὶ τοῦ ἐναντίου τούτῳ, τουτέστι, τοῦ ἀγνοεῖν, διχῶς νοουμένου· (μία γὰρ, ὡς καὶ τοῖς ἔξω δοκεῖ, ἡ τῶν ἀντικειμένων γνῶσις·) κατὰ τοῦτο νῦν καὶ τὸ γινώσκειν διχῶς εἴληπται ἐνταῦθα· τὸ μὲν γὰρ, *Ἐν τούτῳ γινώσκομεν*, κατὰ τὸ ἐπίστασθαι· τὸ δὲ, *Ἐγνώκαμεν αὐτὸν*, κατὰ τὸ, ἀνεκράθημεν αὐτῷ· ὁ γὰρ κοινωνῶν τινὶ, καὶ ἀνακέκραται αὐτῷ, καθὸ κοινωνεῖ. Διὸ καὶ ἐπάγει· *Ἐὰν τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν.* Ἐκ τούτου λυθείη ἂν καὶ τὸ· *Ἔγνω*

(α) Ἰωαν. Κ', 23. (β) Ἰωαν. Α', 10. (γ) Ψαλμ. ΡΑΘ', 13.
(δ) Ψαλμ. Α', 6. (ε) Α' Κορ. ΙΓ', 12. Γαλ. Δ', 9.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κύριος τοὺς ὄντας αὐτοῦ (α)· καὶ τό· *Τὸν γὰρ μὴ γνόντα ἁμαρτίαν, ὑπὲρ ὑμῶν ἁμαρτίαν ἐποίησε* (β)· καὶ εἶτι ἕτερον παρὰ τῇ θείᾳ Γραφῇ περὶ τὸ ἐγνωκέναι ἢ ἀγνοεῖν στρέφεται. Εἶτα ἀπὸ τοῦ ἐναντίου τοῦτο αὐτὸ κατασκευάζει, περιουσιαστικώτερον χρώμενος τῇ ἀποδείξει, καί φησιν· *Ὁ δὲ λέγων· Ἔγνωκα αὐτὸν*, ἤτοι, Κοινωνίαν ἔχω μετ' αὐτοῦ, *καὶ τὰς ἐντολὰς αὐτοῦ μὴ τηρῶν, ψεύστης ἐστί*. Πῶς γὰρ οἷόν τε καὶ ἀνακεκρᾶσθαι, καὶ μὴ, τὸν αὐτόν; εἶπερ, τὸ μὲν ποιεῖν τὰς ἐντολὰς, τὴν ἀνάκρασιν ὑποφαίνει· τὸ δὲ μὴ τηρεῖν, τὸ μηδαμῶς ᾠκειῶσθαι. Ὥστε ὁ ἐγνωκὼς τὸν Θεὸν, καὶ ὑπὸ τοῦ Θεοῦ ἔγνωσται, ἤτοι, ᾠκείωται Θεῷ, καὶ ἀνείληπται ὑπὸ Θεοῦ· καὶ ἐν τούτῳ ἡ ἀγάπη τοῦ Θεοῦ ἐνθεωρεῖται· δι' ἧς ἀγάπης καὶ τὸ ἐν Θεῷ τέλειον ἕξει, καὶ γνώρισμα τοῦτο ποιήσει τῆς πρὸς Θεὸν οἰκειώσεως αὐτοῦ. *Ὁ λέγων, ἐν αὐτῷ μένειν, καὶ ἑξῆς.*] Διὰ γὰρ τῶν ἔργων ἡ τελεία διαδείκνυται ἀγάπη. Πλὴν ἐπειδή ἐστί τινα, ὀρθὰς μὲν καὶ ἀκριβεῖς ποιεῖν ἐντολὰς, αὐτὸν δὲ νωθρότερον διακεῖσθαι, ἅπερ ἀπὸ Θεοῦ πόρρω ἐστὶ, διὰ τοῦτο φησίν· Ὅτι ὁ τῷ Θεῷ ᾠκειωμένος, κατ' ἐκεῖνον ὀφείλει καὶ αὐτὸς τὰς ἑαυτοῦ πορείας κατευθύνειν τοῦ βίου.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ ἀγάπης, ἧ ἄνευ ἀσέβεια· ἐν ᾧ, παραίνεσις περὶ χάριτος ἑκάστου καθ' ἡλικίαν· καὶ περὶ ἀποτροπῆς τῆς πρὸς τὸν κόσμον ἀγάπης.

7 Ἀδελφοὶ, οὐκ ἐντολὴν καινὴν γράφω ὑμῖν, ἀλλ' ἐντολὴν παλαιὰν, ἣν εἴχετε ἀπ' ἀρχῆς· ἡ ἐντολὴ ἡ
8 παλαιά, ἐστὶν ὁ λόγος, ὃν ἠκούσατε ἀπ' ἀρχῆς. Πά-

(α) Β' Τιμ. Β', 19. (β) Β' Κορ. Ε', 21.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λιν ἐντολὴν καινὴν γράφω ὑμῖν, ὅ ἐστιν ἀληθὲς ἐν
αὐτῷ καὶ ἐν ὑμῖν· ὅτι ἡ σκοτία παράγεται, καὶ τὸ φῶς
9 τὸ ἀληθινὸν ἤδη φαίνει. Ὁ λέγων ἐν τῷ φωτὶ εἶναι,
καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῶν, ἐν τῇ σκοτίᾳ ἐστὶν
10 ἕως ἄρτι. Ὁ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῷ
φωτὶ μένει, καὶ σκάνδαλον ἐν αὐτῷ οὐκ ἔστιν·
11 ὁ δὲ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῇ σκοτίᾳ ἐστὶ,
καὶ ἐν τῇ σκοτίᾳ περιπατεῖ, καὶ οὐκ οἶδε, ποῦ ὑπά-
γει· ὅτι ἡ σκοτία ἐτύφλωσε τοὺς ὀφθαλμοὺς αὐτοῦ.

Περὶ ἀγάπης λοιπὸν τῆς πρὸς τοὺς πλησίον τρέπεται, καί φησιν, ὅτι ἡ πρὸς θεὸν ἀνάκρασις, ἤτοι, ἀγάπη, ἐκ τῆς εἰς τὸν πλησίον πρῶτον γινώσκεται ἀγάπης. Οὐδὲ γὰρ ἐνδέχεται τὸν ἀπὸ τῆς τοῦ θεοῦ γνώσεως πεφωτισμένον, καὶ τῆς ἀγάπης αὐτοῦ πεπληρωμένον, τὸ ἀπὸ τοῦ πρὸς τὸν ἀδελφὸν αὐτοῦ μίσους σκότος ἔχειν· φῶς γὰρ καὶ σκότος κατὰ ταὐτὸν καὶ περὶ τὸ αὐτὸ ἀσυνύπαρκτα. Ὥστε ὁ ἀπὸ τῆς πρὸς τὸν θεὸν ἀγάπης πεφωτισμένος, ἀπὸ τῆς τοῦ ἀδελφοῦ ἀνάπτεται ἀγάπης· καὶ ὁ τὸν θεὸν ἔχων, ἔχει καὶ τὸ πρὸς τὸν ἀδελφὸν φῶς. Ὁ δὲ τὸν θεὸν μὲν ἀγαπᾷν λέγων, μισῶν δὲ τὸν ἀδελφὸν, ἐν σκότῳ ὑπάρχει διηνεκεῖ, τυφλώττων ἀεὶ τοὺς γνωσικοὺς ὀφθαλμούς, ἅτε τὸ ἀπὸ τῆς ἀνακράσεως τῆς τε πρὸς τὸν θεὸν, τῆς τε πρὸς τὸν ἀδελφὸν ἀπολωλεκὼς φῶς· καὶ οὐκ οἶδε λοιπὸν ὅπως χρήσαιτο ἑαυτῷ. Ἐπειδὴ δὲ, καθολικῆς τῆς ἐπιστολῆς οὔσης, καὶ κοινῶς πρὸς ἅπαντας, Ἰουδαίους τε καὶ Ἕλληνας, πρὸς μὲν Ἰουδαίους ἔχει λόγον τὸ εἰπεῖν, Οὐ καινὴν αὐτοῖς ἐντολὴν τὴν περὶ ἀγάπης γράφειν, ἀλλὰ παλαιάν· καὶ γὰρ ἐν ταῖς πλαξὶ Μωσέως τό· Ἀγαπήσεις μετά γε θεὸν καὶ τὸν πλησίον σου ὡς σεαυτὸν, ἀναγέγραπται (α). Πρός γε μὴν Ἕλληνας, τί ἂν εἴποι τις περὶ παλαιᾶς ἐντολῆς, οὐδαμοῦ τούτου εὑρισκομένου; Φαμὲν οὖν, ὡς καὶ τούτοις γέγραπται ὁ πρὸς τοὺς πλησίον νόμος, ὁ περὶ ἀγάπης. Ποῦ, καὶ πῶς; Ἐν τῷ τῆς καρδίας πυξίῳ, φύσι-

(α) Λευῖτ. ΙΘ', 18.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καῖς ἐννοίαις ἐγγεγραμμένος. Καὶ ὅτι αἱ ἐνεσπαρμέναι ἡμῖν φυσικαὶ ἔννοιαι *νόμος* λέγονται, Παῦλος ἱκανὸς πιστώσασθαι τὸν λόγον, οὕτως εἰπών· *Βλέπω δὲ ἕτερον νόμον ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, τῷ ὄντι ἐν ἐμοί* (α). Νόμον οὖν, ἤτοι ἐντολὴν παλαιὰν, καὶ Ἕλληνες ἔλαβον, νομογραφούσης τῆς φύσεως, ἡμέρους εἶναι πρὸς ἀλλήλους καὶ πρὸς τὸ συγγενὲς ἅπαν, καθὸ καὶ συναγελαστικὸν ζῶον ὁ ἄνθρωπος· ὃ οὐκ ἂν ἐκτὸς γένοιτο ἀγάπης. Ἀλλὰ καὶ ἀλλήλων ὑπεραποθανόντας ἀνθρώπους πολλοὺς παλαιαὶ ἀναγράφουσιν ἱστορίαι· ὃ τῆς μείζονος ἀγάπης γνώρισμα, ὁ ἡμέτερος σωτὴρ ἀποφαίνεται· *Μείζονα ταύτης*, φήσας, *οὐδεὶς ἔχει ἀγάπην, ἢ ἵνα τις θῇ τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν φίλων αὐτοῦ* (β). Οὕτως ἐντολῆς τῆς περὶ τοὺς πλησίον ἀγάπης ἐκ παλαιοῦ καὶ Ἕλλησι καὶ Ἰουδαίοις κειμένης, φησίν· Ὅτι πρὸς τῇ παλαιᾷ ἐντολῇ, ἣ ἠκούσατε περὶ τῆς τοῦ πλησίον ἀγάπης, ἔτι καὶ καινὴν ἐντολὴν γράφω ὑμῖν, τὴν τὸ ἀληθὲς ἔχουσαν ἔν τε τῷ οἰκειωσαμένῳ ὑμᾶς θεῷ διὰ τῆς πρὸς αὐτὸν κοινωνίας, καὶ ἐν ὑμῖν, τοῖς κεκοινωνηκόσιν αὐτῷ. Ἐπεὶ γὰρ ἐκεῖνός φησιν· *Ἐγὼ φῶς ἐλήλυθα εἰς τὸν κόσμον* (γ), καὶ *τὸ φῶς τὸ ἀληθινὸν*, κατὰ τὸν ἐκείνου λόγον, *φαίνει ἤδη*, ἐν δὲ τῷ φωτὶ οὐ πέφυκεν ὑφίστασθαι σκότος, λαμψάτω λοιπὸν τὸ τῆς ἀγάπης φῶς τὸ ἀληθὲς ἐν τῇ πρὸς τὸν ἀδελφὸν ἀνυποκρίτῳ διαθέσει, καὶ ἡ τοῦ μίσους *παραγέσθω σκοτία*, τουτέστιν, οἰχέσθω, ἀφανιζέσθω· τοῦτο γὰρ τὸ, *παράγειν*, καὶ ἐν τῷ μακαρίῳ Παύλῳ σημαίνει, ἡνίκα λέγει· *Παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου* (δ).—ΑΛΛΩΣ εἰς τὸ, *Ἐντολὴν καινὴν γράφω ὑμῖν*. *Ἐντολὴ καινὴ* αὕτη, καθόσον ἡ Μωϋσέως ἐντολὴ οὐ καθολικὴ, ἀλλὰ διεσταλμένη ἀπὸ τοῦ ὁμογενοῦς καὶ ὁμοφύλου, μόνους εἰσηγουμένη ἀγαπᾷν τοὺς φίλους, τοὺς δὲ ἐχθροὺς μισεῖν, δι' ὧν φησίν· *Ἀγαπήσεις τὸν φίλον σου, καὶ μισήσεις τὸν ἐχθρόν σου*·

(α) Ῥωμ. Ζ', 23. (β) Ἰωαν. ΙΕ', 13.
(γ) Ἰωαν. ΙΒ', 46. (δ) Α' Κορ. Ζ', 31.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡ δὲ τοῦ Κυρίου καὶ τῶν αὐτοῦ ἀποστόλων πολὺ τὸ καινοπρεπὲς ἐνεστέρνισται· *Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν*, ἐντελλομένη, *καὶ καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς* (α), τῇ φυσικῇ προσέχοντες ὑποστάσει, οὐ τῇ ἐκ πονηρίας τῶν κακοσχόλων ἀνθρώπων, τῇ φυσικῇ διαθέσει ἐπιφυομένων.—*Ὁ δὲ μισῶν τὸν ἀδελφὸν αὐτοῦ.*] Τοιοῦτόν τι διὰ τούτων φησίν· Ὁ λέγων ἑαυτὸν εἶναι τοῦ Χριστοῦ, καὶ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, ψεύδεται, καὶ οὐκ ἔστι τοῦ Χριστοῦ. Εἰ γὰρ ὁ Χριστὸς ἠγάπησεν αὐτὸν, ὡς καὶ τὴν ψυχὴν αὐτοῦ θεῖναι ὑπὲρ αὐτοῦ, πῶς ὁ αὐτοῦ εἶναι λέγων, μισεῖ τὸν ἀδελφὸν αὐτοῦ, ὑπὲρ οὗ Χριστὸς ἀπέθανεν; Ἢ καὶ οὕτως· Ὁ λέγων ἑαυτὸν εἶναι τοῦ θεοῦ, καὶ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, ὅς ἐστιν ὁ Χριστός· (αὐτὸς γάρ φησιν· *Ἀπαγγελῶ τὸ ὄνομά σου τοις ἀδελφοις μου* (β)·) οὐκ ἔστι τοῦ θεοῦ, ἀλλὰ τοῦ διαβόλου. Εἰ γὰρ ἦν τοῦ θεοῦ, ἐφίλει ἂν τὸν ἀδελφὸν αὐτοῦ, καὶ δι' αὐτοῦ τὸν Χριστόν.

12 Γράφω ὑμῖν, τεκνία, ὅτι ἀφέωνται ὑμῖν αἱ ἁμαρ-
13 τίαι διὰ τὸ ὄνομα αὐτοῦ. Γράφω ὑμῖν, πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς. Γράφω ὑμῖν, νεανίσκοι, ὅτι νενικήκατε τὸν πονηρόν. Γράφω ὑμῖν,
14 παιδία, ὅτι ἐγνώκατε τὸν πατέρα. Ἔγραψα ὑμῖν, πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς. Ἔγραψα ὑμῖν, νεανίσκοι, ὅτι ἰσχυροί ἐστε, καὶ ὁ λόγος τοῦ θεοῦ ἐν ὑμῖν μένει, καὶ νενικήκατε τὸν πονηρόν.
15 Μὴ ἀγαπᾶτε τὸν κόσμον, μηδὲ τὰ ἐν τῷ κόσμῳ. Ἐάν τις ἀγαπᾷ τὸν κόσμον, οὐκ ἔστιν ἡ ἀγάπη τοῦ πατρὸς ἐν αὐτῷ·

Ἐπειδὴ εἶπεν, *Ἐντολὴν καινὴν γράφω ὑμῖν*, ἐπισημαίνεται καὶ τὴν διάθεσιν τῶν τὴν ἐπιστολὴν δεξαμένων· ἐπισημαίνεται δὲ διὰ τῆς κατὰ τὴν σωματικὴν αὔξησιν προαγωγῆς τε καὶ προκοπῆς. Ἤδει γάρ, ὡς οὐχ ὁμοτίμως πάντες δέξονται τὸν λόγον, οὐδὲ μετὰ τῆς ἴσης σπουδῆς· ἀλλ' οἱ μὲν, ὡς

(α) Ματθ. Ε', 43. 44. (β) Ψαλμ. ΚΑ', 23. Ἑβρ. Β', 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παῖδες, εἰσαγωγικώτερον· οἷς καὶ παρεγγυᾶται ἄφεσιν ἁμαρτιῶν διὰ τῆς εἰς Χριστὸν πίστεως· οἱ δὲ, ὡς προκόψαντες εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ (α), καὶ οὕτως, ὡς καὶ ἑτέρους δύνασθαι τεκνοποιεῖν, οἷς καὶ ἔχειν τὴν γνῶσιν τοῦ ἀπ' ἀρχῆς μαρτυρεῖ. Τίς δὲ ὁ ἀπ' ἀρχῆς, εἰ μὴ ὁ θεὸς Λόγος, ὃς ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν (β); Οἱ δὲ ὡς νεανίσκοι· οἷς ὡς νεάζουσι καὶ σφριγῶσι, κατὰ τῶν τῆς ἀτιμίας παθῶν τὸν ἐπινίκιον μαρτυρεῖ. Εἶτα πάλιν καθ' ἑτέραν ἐπιβολὴν τὸ αὐτὸ ἐπαναλαμβάνει, πρὸς τὸ μέτρον τῆς πνευματικῆς ἡλικίας τὸν διδασκαλικὸν λόγον ἁρμοζόμενος. Ἐπεὶ οὖν, φησὶν, οὕτως ὑμᾶς οἶδα κατὰ τὰς τῶν ἡλικιῶν διαφορὰς δεξομένους τὰ παρ' ἐμοῦ γραφόμενα, ἀνάγκη κἀμὲ παραμετρῆσαι τῇ διαθέσει τῆς ἡλικίας ὑμῶν τὴν διδασκαλίαν· καὶ τοῖς μὲν, ὡς παιδίοις ἐπεγνωκόσι τὸν πατέρα· (λέγει δὲ τὸν θεόν·) διαλεχθῆναι· τοῖς δὲ, ὡς πατράσιν, οἳ πλέον ἔχουσι τῶν παιδίων κατὰ τὴν γνῶσιν, τὸ μὴ ὡς πατέρα μόνον ἐπεγνωκέναι, ἀλλὰ καὶ ὡς ἄναρχον καὶ ἀδιεξίτητον· ἦν γὰρ ἐν ἀρχῇ. Τούτοις δὲ καὶ τελεωτέρων ἄξιον παράθεσιν ποιήσασθαι λόγων· τοῖς δὲ ὡς νεανίσκοις, ἰσχυροῖς οὖσι, καὶ πρὸς πάλην καὶ ἀγῶνας ἐπιτηδείοις ὑπαλείφεσθαι· οἷς καὶ τὸ ἀπὸ τῆς νίκης ἀοίδιμον προσεῖναι λέγων· γενναίων δείκνυσι καὶ στρατηγικωτέρων δεῖσθαι λόγων. Οὕτω ταῖς τοῦ πνεύματος ἡλικίαις τὸν ἑαυτοῦ λόγον διαιτήσας, τῶν μὲν, ὡς οὕτω διατεθησομένων τοῖς τούτου λόγοις· τῶν δὲ, ὡς τοιούτων ὄντων τῶν προσιόντων τῇ πίστει, καὶ καταλλήλως κατηχεῖσθαι τῇ ἑαυτῶν ποιότητι ὀφειλόντων, ἐπιφέρει λοιπὸν τὸν τῆς παρακλήσεως λόγον, καί φησι· *Μὴ ἀγαπᾶτε τὸν κόσμον.*] Ταῦτα ὡς παιδίοις λέγει· ἐπτόηται γὰρ ἀεὶ τὰ παιδία περὶ τὸ φαινόμενον ἡδύ. Εἶτα τὴν αἰτίαν εἰπὼν τοῦ, διότι οὐκ ὀφείλει τις τὸν κόσμον καὶ τὰ ἐν τῷ κόσμῳ ἀγαπᾶν, λοιπὸν πρὸς τοὺς πα-

(α) Ἐφεσ. Δ', 13. (β) Ἰωαν. Α', 20.

Δημοσιο Κεντρικη Βιβλιοθηκη Βεροιας

τέρας καὶ τοὺς νεανίσκους ἐναπερείδει τὴν διδασκαλίαν· τελεωτέρας γὰρ ἕξεως ἡ τούτων ἀντίληψις. Καὶ ἵνα μὴ νομίσῃς *κόσμον*, τὸ σύγκημα, τὸ ἐξ οὐρανοῦ καὶ γῆς, σημαίνειν αὐτὸν τῷ λόγῳ, ἐπάγει τίς ὁ κόσμος, καὶ τί τὰ ἐν τῷ κόσμῳ.

16 Ὅτι πᾶν τὸ ἐν τῷ κόσμῳ, ἡ ἐπιθυμία τῆς σαρκὸς, καὶ ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν, καὶ ἡ ἀλαζονεία τοῦ βίου, οὐκ ἔστιν ἐκ τοῦ πατρὸς, ἀλλ' ἐκ τοῦ
17 κόσμου ἐστί. Καὶ ὁ κόσμος παράγεται, καὶ ἡ ἐπιθυμία αὐτοῦ· ὁ δὲ ποιῶν τὸ θέλημα τοῦ θεοῦ, μένει εἰς τὸν αἰῶνα.

Κόσμον μὲν, τὸν συρφετὸν ὄχλον φησὶν, ὃς οὐδὲ τὴν τοῦ πατρὸς ἔχει ἀγάπην ἐν ἑαυτῷ. Τίνα δὲ, τὰ *ἐν τῷ κόσμῳ*; Τὰ κατὰ τὴν ἐπιθυμίαν τῆς σαρκὸς ἐκτελούμενα· ἃ διὰ τῶν αἰσθητηρίων τὴν ἐπιθυμίαν ἀνακινεῖ. Διὰ γὰρ τῶν ὀφθαλμῶν, τοῦ κυριωτάτου τῶν αἰσθητηρίων, καὶ τὰ λοιπὰ περιέλαβε. Περὶ δὲ τὴν ἐπιθυμίαν πᾶν ἐνθεωρεῖται κακὸν, μοιχεῖαι, πότοι, ἔρωτες ἀπρεπεῖς, ἀλαζονεῖαι, τὸ ὑπὲρ πάντας εἶναι, ὑποβαλλούσης τῆς ἐπιθυμίας, ὡς ἂν ἀδεῶς πᾶν τὸ ἐπελθὸν κατεργασθείη τῷ ἀλαζόνι· φόνοι, οἱ μὲν, διὰ πλεονεξίαν, οἱ δὲ, διὰ τὸ τοὺς ἀντικειμένους ἀφανίσαι· δόλοι, καὶ οὗτοι ἵνα ὑποχείριον τῷ δόλῳ ποιήσωμεν ἅπαν τὸ ἐμποδών· καὶ ἁπλῶς ἅπαντα τὰ ἐχθρὰ θεῷ, δι' ἐπιθυμίας τῶν σαρκικῶν πέφυκεν ἐπιτελεῖσθαι. *Οὐκ ἔστιν ἐκ τοῦ πατρός.*] Εἴπομεν ἤδη, ὅτι *κόσμον*, τὸν συρφετὸν ὄχλον καλεῖ· διὸ καὶ ὁ Κύριος τοῖς μαθηταῖς φησίν· *Ἐκ τοῦ κόσμου οὐκ ἐστέ, καθὼς ἐγὼ ἐκ τοῦ κόσμου οὐκ εἰμί* (α). Τούτου δὲ τοῦ κόσμου πατὴρ, ὁ διάβολος, τῆς κοσμικῆς, φημὶ, ἡδυπαθείας καὶ συγχύσεως. Διὸ καὶ ὁ Κύριος περὶ τῶν ἑαυτοῦ μαθητῶν πρὸς τὸν πατέρα φησίν· *Οὐκ ἐρωτῶ, ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ κόσμου, ἀλλ' ἵνα τηρήσῃς αὐτοὺς ἐκ τοῦ πονηροῦ* (β), ἤτοι

(α) Ἰωαν. ΙΕ', 19. ΙΖ', 14. (β) Ἰωαν. ΙΖ', 15.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ κόσμου, ὃν καὶ *ἐν τῷ πονηρῷ ἀλλαχοῦ κεῖσθαί* φησιν (α). Ἄλλως τε, εἰ ὁ πονηρὸς ἀντίκειται τῷ ἀγαθῷ πατρί· ὁ δὲ ταῖς ἐπιθυμίαις τοῦ κόσμου δουλεύων, οὐκ ἔστιν ἐκ τοῦ πατρός, ἀλλ' ἐκ τοῦ κόσμου, εὔδηλον, ὅτι ἐκ τοῦ πατρὸς μὴ ὢν, ἀλλ' ἐκ τοῦ κόσμου, ἐκ τοῦ διαβόλου ἐστὶ, καθὰ καὶ ἐν εὐαγγελίοις φησὶ πρὸς Ἰουδαίους· *Ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστέ* (β)· τουτέστιν, ἐκ τῶν κοσμικῶν ἐπιτηδευμάτων, ὧν ὁ διάβολος σπορεύς τε καὶ φυτοκόμος. Καὶ ταῦτα δέ φησι τὰ κοσμικὰ ἐπιθυμήματα, οὐκ ἔχει τὸ μένον τε καὶ ἑστὼς, ἀλλὰ *παράγεται*· τὰ δὲ κατὰ τὸ θέλημα τοῦ θεοῦ, διαρκῆ καὶ διαιωνίζοντα. Οὐκ ἔστι δὲ σωφρόνων, τὰ μὲν ἑστῶτα καταφρονητικῶς παρορᾶν· τῶν δὲ ἀφανιζομένων ἀντέχεσθαι· ταὐτόν τι ποιούντων τῷ περὶ φάσματι οἰκοδομεῖν ἐπιχειροῦντι. *Ὁ δὲ ποιῶν τὸ θέλημα τοῦ θεοῦ.*] Τί δὲ τὸ θέλημα τοῦ πατρός; Ἵνα πιστεύσωσιν εἰς ὃν ἐκεῖνος ἀπέστειλεν.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ ψευδαδέλφων ἀρνησιθέων· καὶ ὅτι ἡ εἰς Χριστὸν εὐσέβεια, πατρὸς ὁμολογία· ἡ γὰρ τοῦ πατρὸς δοξολογία, τοῦ υἱοῦ ἐστὶ θεολογία· ἐν ᾧ, περὶ θείου καὶ πνευματικοῦ χαρίσματος ἐν ἁγιασμῷ, ἐπ' ἐλπίδι, εἰς γνῶσιν θεοῦ· ὅτι πᾶς ὁ ἐν Χριστῷ, ἐκτὸς ἁμαρτίας· ὁ γὰρ ἁμαρτάνων, ἐκ τοῦ διαβόλου ἐστίν.

18 Παιδία, ἐσχάτη ὥρα ἐστί· καὶ καθὼς ἠκούσατε, ὅτι

(α) Α' Ἰωαν. Ε, 19. (β) Ἰωαν. Η, 44.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὁ Ἀντίχριστος ἔρχεται, καὶ νῦν Ἀντίχριστοι πολλοὶ γεγόνασιν· ὅθεν γινώσκομεν, ὅτι ἐσχάτη ὥρα ἐστίν.

Τὸ, *Ἐσχάτη ὥρα ἐστὶν*, ἀνεπαχθέστερον οὕτως. Ἐπεὶ καθολικὴ ἡ ἐπιστολὴ, ἁρμόζουσα παντὶ ἀνθρώπῳ, οὐ μία δὲ ὁρθεσμία ζωῆς παντὶ, ἄδηλον δὲ ἑκάστῳ τὸ οἰκεῖον τέλος· εἰκότως τῷ οἰκείῳ τέλει ἐπέστησεν ἕκαστον, ἵνα ὡς περὶ ἐσχάτης τῆς ζωῆς ὥρας ἑκάστῳ ἐνεστηκυίας, νῆψις ἐπακολουθῇ· καὶ οὕτω βίος ἄμωμος, καὶ καθαριότης πράξεων εἰσαεὶ χριστιανοῖς ἐμπολιτεύηται. Οὐκ ἔχει δὲ χώραν ὁ μελαγχολῶν διαπαίζειν ταῦτα, εἰ, πρὸ τοσούτων ἐτῶν εἰρημένου τοῦ, *Ἐσχάτη ὥρα ἐστὶ*, μέχρι τοῦ νῦν οὐκ ἀνεμετρήσθη τὸ ἔσχατον. Πρὸς γὰρ τὸ ἀπ' ἀρχῆς τοῦ χρόνου διάστημα, πόσον τὸ ἀπ' ἐκείνου μέχρι τοῦ νῦν; λέγω δὲ τὸ ἀπὸ Χριστοῦ. Ἄλλως τε, εἰ καὶ παντὸς πράγματος εἰς τρία μεριζομένου, πρώτου, καὶ μέσου, καὶ τελευταίου, πάντως τὸ ἀπὸ τοῦ μέσου πᾶν, *ἔσχατον* λέγεσθαι οὐδὲν ἀπεικός. Ὥστε, εἰ κατὰ τὸ μέσον τῆς χιλιοετοῦς δεκάδος ὁ Κύριος παρεγένετο· (σχεδὸν γὰρ ἐν τῷ πεντακισχιλιοστῷ καὶ πεντακοσιοστῷ ἡ ἐν γῇ παρουσία αὐτοῦ·) πᾶν τὸ ἀπὸ τούτου, ὡς ἀπὸ τοῦ μέσου, *ἔσχατον* λέγεσθαι, οὐδεὶς ἂν μέμψοιτο· τῶν γὰρ ἑκατὸν, φέρε, ἐτῶν, καὶ τὰ πρῶτα, ἤτοι τὰ δέκα, καὶ τὰ εἴκοσι, καὶ ἕξῆς, *ἔσχατον* ἂν ῥηθείη. Οὕτως οὖν κἀνταῦθα, ἐπεὶ τὸ μέσον ἀπὸ τῆς τοῦ Κυρίου ἐλεύσεως ἡ χιλιοετὴς ὑπερέβη σωρεία, καλῶς ἂν ἅπαν τὸ ἀπὸ τούτου *ἔσχατον* λέγοιτο. Τοῦτο μὲν οὖν ἀληθέστατον καὶ κατὰ τὸν χρυσοῦν Ἰωάννην. Ἔστι δὲ τὸ *ἔσχατον* καὶ κατὰ τὸ χείριστον ἐκλαβεῖν· ὡς ὅταν φαμέν· Εἰς ἔσχατον ἀφῖγμαι κακοῦ. Ἐπεὶ οὖν ὁ κόσμος τηνικαῦτα ἐπὶ μεγάλων ἐσάλευε κακῶν, τοῦ διαβόλου ταῦτα μετὰ τὴν τοῦ ἀγαθοῦ παρουσίαν πραγματευομένου, ἤτοι πείρας ἕνεκεν τῶν ἀγαθῶν, ἢ καὶ συγχύσεως τῶν χρηστοτέρων, ὡς ἂν μὴ ἔχοι τὶς διακρίνειν, τί τὸ καλόν τε καὶ οὐ καλόν, διὰ τοῦτο *ἐσχάτην* εἴρηκεν *ὥραν* τὸν χρόνον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκεῖνον, ὡς τοῦ ἐσχάτου τὸ χείριστον εἰσηγουμένου, ὡς ἂν τρυγὸς ἡ ὑποστάθμης ἐπέχοντος λόγον. Πιστοῦται δὲ τὸ τῆς ἐσχάτης ὥρας, ἤτοι τῆς χειρίστης, ἢ καὶ τῆς τοῦ χρόνου οὐσίας, ἀπὸ τοῦ Ἀντιχρίστου. Εἰ γάρ, φησι, τὸν Ἀντίχριστον ἐν ἐσχάτοις καιροῖς προσδοκῶμεν, νῦν δὲ Ἀντίχριστοι πολλοὶ ἐπεπόλασαν τῷ βίῳ· (λέγει δὲ Κήρινθον καὶ τοὺς ὁμοίους ἐκείνῳ·) εὔδηλον, ὅτι καὶ ὁ καιρὸς τῆς συντελείας ἐφέστηκε, προοδοποιούντων τῶν πολλῶν Ἀντιχρίστων τῷ ἑνί. Εἶτα, τοῦτο εἰπών, ἐπιφέρει καὶ ἀπὸ τίνων οἱ Ἀντίχριστοι, ὅτι *ἐξ ἡμῶν.*

19 Ἐξ ἡμῶν ἐξῆλθον, ἀλλ' οὐκ ἦσαν ἐξ ἡμῶν· εἰ γὰρ
ἦσαν ἐξ ἡμῶν, μεμενήκεισαν ἂν μεθ' ἡμῶν· ἀλλ' ἵ-
20 να φανερωθῶσιν, ὅτι οὐκ εἰσὶ πάντες ἐξ ἡμῶν. Καὶ
ὑμεῖς χρίσμα ἔχετε ἀπὸ τοῦ ἁγίου, καὶ οἴδατε
21 πάντα. Οὐκ ἔγραψα ὑμῖν, ὅτι οὐκ οἴδατε τὴν ἀλή-
θειαν, ἀλλ' ὅτι οἴδατε αὐτήν, καὶ ὅτι πᾶν ψεῦδος
ἐκ τῆς ἀληθείας οὐκ ἔστι.

Ἐξ ἡμῶν ἐξῆλθον.] Εἰπὼν περὶ Ἀντιχρίστων, ἐπιφέρει καὶ ἀπὸ τίνων· καί φησιν· *Ὅτι ἐξ ἡμῶν.* Ἐπιφέρει δὲ τοῦτο, μηδὲν εἰς σαφήνειαν τοῦ λόγου διοικησάμενος. Λέγω δὲ, ὥσπερ ἐρωτήσαντα ἑαυτὸν, Καὶ πόθεν οἱ Ἀντίχριστοι οὗτοι; εἶτα τότε ἐπενεγκεῖν τὸ, *ἐξ ἡμῶν ἐξῆλθον.* Οὕτω δέον ποιῆσαι, οὐ τοῦτο ποιεῖ, ἀλλὰ συγκεχυμένως οὕτως, ἴσως τῇ συγχύσει τοῦ λόγου τὸ περὶ αὐτοὺς ἀηδὲς ἐνδεικνύμενος. Ἀλλὰ διὰ τί ἀπὸ τῶν τοῦ Κυρίου μαθητῶν οἱ Ἀντίχριστοι; Ἵν' ἔχοιεν τὸ πιστὸν τοῖς πλανωμένοις κομίζειν, ὡς ἀπὸ τῶν μαθητῶν ὄντες, καὶ κατὰ τὴν τοῦ διδασκάλου γνώμην ποιοῦντες τοῦ κηρύγματος τὸν λόγον· ἀλλ' οὐ πάντη ἀπεναντίας φερόμενοι τοῦ κηρύγματος. Διὰ τοῦτο οὖν ἀπὸ τούτων. *Ἐξ ἡμῶν* δέ, φησιν, *ἐξῆλθον.* Γεγονότες γὰρ μαθηταὶ, ἀπέστησαν τῆς ἀληθείας, καὶ ἰδίας βλασφημίας ἐξεῦρον. Προσυπακουστέον δὲ τὸ, Καὶ πόθεν οὗτοι οἱ Ἀντίχριστοι; ἵνα σαφέστερον ὁ λόγος γένηται. *Ἀλλ' οὐκ ἦσαν ἐξ ἡμῶν.*] Τουτέστι, τῆς τῶν σωζομένων μοίρας·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰ γὰρ τοῦτο ἦσαν, μετὰ τῶν ἰδίων ἂν ἔμενον. Νῦν δὲ τοῦτο πεπόνθασιν, ἵνα φανερωθῶσι, τουτέστι, κατάδηλοι γένωνται, ὅτι πάντη ἀπηλλοτρίωνται ἡμῶν, καὶ μετὰ τῶν οὐχ ἡμετέρων προσεκολλήθησαν. Εἰσὶ γάρ τινες ἐν τούτοις, καὶ οὐκ ἐξ ἡμῶν ὄντες, οἷς δηλαδὴ συνῆψαν ἑαυτοὺς οἱ ἐξ ἡμῶν ἐξελθόντες· δι' οὕς, φησιν, εἴρηκα καὶ τὸ, *Οὐκ εἰσὶ πάντες ἐξ ἡμῶν*. Ἡμῶν γὰρ ἀπορραγέντες τῶν οἰκείων, ἄλλοις ἐκολλήθησαν, τοῖς ἀλλοτρίοις ἡμῶν, μᾶλλον ἑλόμενοι ἐθνικῶς ζῆν ἀσωφρονίστως, ἢ μεθ' ἡμῶν σωφρόνως. Ταῦτα δὲ εἰπὼν, ἵνα μὴ δόξῃ ἑαυτῷ μόνῳ τὴν τούτων γνῶσιν ἀνατιθέναι, καὶ καταλαζονεύεσθαι διὰ τούτων κατὰ τῶν πιστῶν, ὡς μόνος εἰδὼς ταῦτα, ἐπιφέρει τό· *Καὶ ὑμεῖς χρίσμα ἔχετε*· ὡσπερεὶ ἔλεγεν· Ἀλλὰ τί ταῦτα πρὸς ὑμᾶς ἐγὼ διεξέρχομαι, ὡς πρὸς ἀγνοοῦντας; Οὐκ ἔστι παρ' ὑμῖν ἄγνοια τούτων. Ἐλάβετε γὰρ διὰ τοῦ ἁγίου βαπτίσματος τὸ χρίσμα τὸ ἱερὸν, καὶ διὰ τούτου τὸ εἰς πᾶσαν τὴν ἀλήθειαν ὁδηγοῦν ὑμᾶς θεῖον Πνεῦμα. Ἐπεὶ δὲ τοῦτο, ἴστε, ὅτι οὐχ ὡς ἀγνοοῦσιν ὑμῖν γράφω ταῦτα, ἀλλ' ὡς εἰδόσι. Τίνα ταῦτα; Τὸν ἔσχατον καιρὸν, τὴν τῶν Ἀντιχρίστων φοράν, τὸ πάντα ψεύδους εἶναι μεστά. Διὰ τὸ πλεονάσαι οὖν τὸ ψεῦδος, διὰ τοῦτο, φησὶ, λέγω καὶ τοὺς *Ἀντιχρίστους πολλοὺς* γενέσθαι. Εἰ γὰρ ὁ Χριστὸς ἀλήθειά ἐστιν, ὃν καὶ ὑμεῖς ἐγνωκότες, τὴν ἀλήθειαν ἔχετε ἐν ἑαυτοῖς, πάντως ὁ ψεύστης, ἐναντίος ὢν τῇ ἀληθείᾳ, ἤτοι τῷ Χριστῷ, Ἀντίχριστός ἐστιν.

22 Τίς ἐστιν ὁ ψεύστης, εἰ μὴ ὁ ἀρνούμενος, ὅτι Ἰησοῦς οὐκ ἔστιν ὁ Χριστός; Οὗτός ἐστιν ὁ Ἀντίχριστος, ὁ ἀρνούμενος τὸν πατέρα καὶ τὸν υἱόν.
23 Πᾶς ὁ ἀρνούμενος τὸν υἱὸν, οὐδὲ τὸν πατέρα ἔχει·
24 ὁ ὁμολογῶν τὸν υἱὸν, καὶ τὸν πατέρα ἔχει (1). Ὑμεῖς οὖν, ὃ ἠκούσατε ἀπ' ἀρχῆς, ἐν ὑμῖν μενέτω· ἐὰν ἐν ὑμῖν μείνῃ, ὃ ἀπ' ἀρχῆς ἠκούσατε, καὶ ὑμεῖς

(1) Τὸ, ὁ ὁμολογῶν τὸν υἱὸν, καὶ τὸν πατέρα ἔχει, λείπει παρ' ἄλλοις, ὡς καὶ παρὰ τῷ Οἰκουμενίῳ.

Δημόσια Κεντρική Βιβλιοθήκη Πέρασις

25 ἐν τῷ υἱῷ καὶ ἐν τῷ πατρὶ μενεῖτε. Καὶ αὕτη ἐστὶν
ἡ ἐπαγγελία, ἣν αὐτὸς ἐπηγγείλατο ἡμῖν, τὴν ζωὴν
26 τὴν αἰώνιον. Ταῦτα ἔγραψα ὑμῖν περὶ τῶν πλα-
27 νώντων ὑμᾶς. Καὶ ὑμεῖς τὸ χρίσμα, ὃ ἐλάβετε ἀπ᾽
αὐτοῦ, ἐν ὑμῖν μένει, καὶ οὐ χρείαν ἔχετε, ἵνα τις
διδάσκῃ ὑμᾶς· ἀλλ᾽ ὡς τὸ αὐτὸ χρίσμα διδάσκει
ὑμᾶς περὶ πάντων, καὶ ἀληθές ἐστι, καὶ οὐκ ἔστι
ψεῦδος· καὶ καθὼς ἐδίδαξεν ὑμᾶς, μενεῖτε ἐν αὐτῷ.

Τίς ἐστιν ὁ ψεύστης;] Κάνταῦθα προσυπακουστέον τὸν, Καὶ, σύνδεσμον, σαφηνείας χάριν, ἵν᾽ ᾖ οὕτω· *Καὶ τίς ἐστιν ὁ ψεύστης, εἰ μὴ ὁ ἀρνούμενος, ὅτι Ἰησοῦς οὐκ ἔστιν ὁ Χριστός;* Τοῦτο δὲ Σίμων ὁ ἀνόσιος ἐλήρει, ἄλλον εἶναι τὸν Ἰησοῦν, καὶ ἄλλον τὸν Χριστόν· τὸν μὲν Ἰησοῦν, τὸν ἀπὸ τῆς ἁγίας Μαρίας· τὸν δὲ Χριστὸν, τὸν ἐπὶ τοῦ Ἰορδάνου καταβάντα ἀπ᾽ οὐρανοῦ. Ὁ τῷ ψεύδει οὖν περικροτούμενός, φησι, τούτῳ, *οὗτος ὁ Ἀντίχριστός ἐστι.* Καὶ τὸ, *Οὗτός ἐστιν ὁ Ἀντίχριστος*, διττῶς ἐκληπτέον, καὶ ἐπὶ τοῦ ἀρνουμένου, *ὅτι Ἰησοῦς οὐκ ἔστιν ὁ Χριστὸς*, καὶ ἐπὶ τοῦ ἀρνουμένου τὸν πατέρα καὶ τὸν υἱόν. Ἀλλὰ καὶ *ὁ ἀρνούμενός*, φησι, *τὸν πατέρα καὶ τὸν υἱόν*, καὶ οὗτος ψεύστης ἐστὶ καὶ Ἀντίχριστος. Ἔλεγον γὰρ ἄλλοι πάλιν αἱρεσιῶται, ὧν ὁ κατάρατος Οὐαλεντῖνος ἀπεγεννήθη, ἄλλον εἶναι πατέρα ἀκατονόμαστον, παρὰ τὸν λεγόμενον πατέρα τοῦ Χριστοῦ. Αὐτοὶ δὲ οὗτοι καὶ τὸν υἱὸν ἀρνοῦνται διὰ τοῦ ἄνθρωπον ψιλὸν λέγειν αὐτὸν, καὶ μὴ κατὰ φύσιν θεὸν, ὡς ἐκ θεοῦ ὄντα. Διὸ ἐπιφέρει· *Πᾶς ὁ ἀρνούμενος τὸν υἱὸν, οὐδὲ τὸν πατέρα ἔχει*, ὥσπερ Ἰουδαῖοι ἀρνούμενοι μὲν τὸν υἱὸν, προσποιούμενοι δὲ τὸν πατέρα εἰδέναι. Ἀλλ᾽ ἴστωσαν οὗτοι, ὅτι οὐδὲ τὸν πατέρα ἐπίστανται. Εἰ γὰρ ἤδεσαν, ἤδεσαν ἄν, ὅτι καὶ υἱοῦ πατήρ ἐστι μονογενοῦς. Τὸ δ᾽ αὐτὸ καὶ οἱ ἀπὸ Σίμωνος ἐφυλάρουν. Ἐκεῖνοι μὲν οὖν οὕτω, φησίν· *ὑμεῖς δὲ ὃ ἠκούσατε ἀπ᾽ ἀρχῆς*, τουτέστι, θεολογούμενον τὸν Χριστὸν, φυλάττετε παρ᾽ ἑαυτοῖς· τοῦτο γὰρ διὰ τοῦ, *μενέτω ἐν ὑμῖν*,

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

βούλεται παριστᾶν. *Ἐὰν γὰρ ἐν ὑμῖν μείνῃ τοῦτο, ὃ ἀπ' ἀρχῆς ἠκούσατε, καὶ ὑμεῖς ἐν τῷ υἱῷ καὶ ἐν τῷ πατρὶ μενεῖτε*, τουτέστι, κοινωνοὶ αὐτοῦ ἔσεσθε. *Αὕτη γάρ ἐστιν ἡ ἐπαγγελία*· τὸν γὰρ, Καὶ, σύνδεσμον, αἰτιολογικῶς ἐκληπτέον. Ποία δέ ἐστιν ἡ ἐπαγγελία; Ἡ φάσκουσα, *Ἵνα, ὥσπερ ἐγὼ ἐν σοὶ, πάτερ, καὶ σὺ ἐν ἐμοὶ, καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσι*· καὶ πάλιν· *Ἵνα ἔχωσι τὴν ζωὴν τὴν αἰώνιον· αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν* (α). Ἀπαρτίσας δὲ τὸν περὶ τούτων λόγον, προστίθησι τό· *Ταῦτα ἔγραψα ὑμῖν περὶ τῶν πλανώντων ὑμᾶς*, τουτέστι, διὰ τὰς ἐξελκυθυίας καὶ ἐπικλυσάσας αἱρέσεις. Εἶτα πάλιν ἐπιφέρει, ὃ καὶ πρὸ τούτου εἴπομεν, τὸ ἀνεπαχθὲς αὐτοῖς περιποιούμενος, ὅτι καὶ, *Ὑμεῖς δὲ τὸ χρίσμα ὃ ἐλάβετε*· (τί δὲ τοῦτο, εἴρηται ἤδη, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον λέγει.) *Ὃ οὖν ἐλάβετε Πνεῦμα ἅγιον, ἐπειδὴ βέβαιον ἔχετε παρ' ἑαυτοῖς*· (τοῦτο γάρ ἐστι τὸ, *ἐν ὑμῖν μένει*·) *οὐ χρείαν ἔχετε, ἵνα τις διδάσκῃ ὑμᾶς· ἀλλ' ὡς τὸ αὐτὸ χρίσμα*, ἤτοι, τὸ Πνεῦμα, *διδάσκει ὑμᾶς περὶ πάντων· καθὼς καὶ ἐδίδαξεν ὑμᾶς, μενεῖτε ἐν αὐτῷ· ἀληθὲς γάρ ἐστι, καὶ οὐκ ἔστι ψεῦδος, ὃ δηλονότι ἐδίδαξεν ὑμᾶς. Καὶ ὑμεῖς τὸ χρίσμα, ὃ ἐλάβετε.*] Τὸ ἑξῆς οὕτω· Καὶ ὑμεῖς, ἐπεὶ τὸ χρίσμα, ὃ ἐλάβετε ἀπ' αὐτοῦ, ἐν ὑμῖν μένει, οὐ χρείαν ἔχετε, ἵνα τις διδάσκῃ ὑμᾶς· ἀλλὰ καθὼς ἐδίδαξεν ὑμᾶς, δεῖ μένειν ὑμᾶς ἐν αὐτῷ.

28 Καὶ νῦν, τεκνία, μένετε ἐν αὐτῷ· ἵνα, ὅταν φανερωθῇ, ἔχωμεν παῤῥησίαν, καὶ μὴ αἰσχυν-
29 θῶμεν ἀπ' αὐτοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ. Ἐὰν εἰδῆτε, ὅτι δίκαιός ἐστι, γινώσκετε, ὅτι πᾶς ὁ ποιῶν τὴν δικαιοσύνην, ἐξ αὐτοῦ γεγέννηται.

Κεφ. III. 1 Ἴδετε, ποταπὴν ἀγάπην δέδωκεν ἡμῖν ὁ

(α) Ιωαν. ΙΖ'. 21. 3.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πατὴρ, ἵνα τέκνα θεοῦ κληθῶμεν. Διὰ τοῦτο ὁ κό-
2 σμος οὐ γινώσκει ἡμᾶς, ὅτι οὐκ ἔγνω αὐτόν. Ἀ-
γαπητοί, νῦν τέκνα θεοῦ ἐσμὲν, καὶ οὔπω ἐφανε-
ρώθη, τί ἐσόμεθα· οἴδαμεν δὲ, ὅτι, ἐὰν φανερωθῇ,
ὅμοιοι αὐτῷ ἐσόμεθα· ὅτι ὀψόμεθα αὐτὸν, καθὼς
3 ἐστι. Καὶ πᾶς ὁ ἔχων τὴν ἐλπίδα ταύτην ἐπ' αὐ-
τῷ, ἁγνίζει ἑαυτὸν, καθὼς ἐκεῖνος ἁγνός ἐστι.

Εἰρηκὼς τὴν τῶν Ἀντιχρίστων φορὰν, καὶ πᾶσαν τὴν ἐνδιά-
στροφον αὐτῶν διδασκαλίαν, ἀφ' ἧς ὥσπερ χαρακτῆρι τινὶ
διαδήλους αὐτοὺς κατεστήσατο, καὶ ἱκανῶς στηρίξας ἀμετα-
θέτως ἔχειν περὶ ἃ κατηχήθησαν, ἐπάγει λοιπὸν καὶ τὸν ἀπο-
κείμενον διὰ ταῦτα μισθὸν, ὥσπερ ἰσχυροποιῶν αὐτοὺς διὰ
τῆς τῶν ἐπάθλων λαμπρότητος, καί φησιν, ὅτι *μένετε ἐν αὐ-
τῷ*. Διὰ τί; *Ἵνα ἔχωμεν παῤῥησίαν ἐν αὐτῷ, ὅταν φανε-
ρωθῇ*. Τί γὰρ περιφανέστερον ἢ ζηλωτότερον παῤῥησίας, ἐπει-
δὰν, ᾧ ἐπιδείκνυσθαι μέλλομεν τοὺς ἐν τῷ βίῳ πόνους ἡμῶν,
μετὰ παῤῥησίας τοῦτο ποιῶμεν, *μηδὲν αἰσχυνόμενοι ἐν τῇ
παρουσίᾳ αὐτοῦ*; Καὶ ἐπειδὴ εἰκός τινας ζητεῖν, Τίνα κατορ-
θωκότες εὐάρεστοι αὐτῷ γένοιντο; διδάσκει καὶ τοῦτο, *καὶ*
φησιν, ὅτι, *Εἰ ἐγνώκατε αὐτὸν, ὅτι δίκαιός ἐστι*, πάντως καὶ
τοῦτο *γινώσκετε, ὅτι πᾶς ὁ ποιῶν τὴν δικαιοσύνην, ἐξ αὐ-
τοῦ γεγέννηται*· ὁ δίκαιος γὰρ δικαίους γεννᾷ. Ὅσον δὲ τοῦτο
εἰς καύχημα καὶ παῤῥησίαν ὑμῶν, οὐδεὶς ἀγνοεῖ· ἀλλ' οὐδὲ
τὴν τοῦ παρεχομένου πρὸς ὑμᾶς ἀγάπην τε καὶ χρηστότητα,
ὅση τις καὶ οἵα ἐστίν. Ἴδετε γὰρ, ὅτι *ἔδωκεν ἡμῖν, τέκνα αὐ-
τοῦ γενέσθαι τε καὶ κληθῆναι*. Εἰ δὲ τοῖς ἐν τῷ κό-
σμῳ, φησὶν, ἄδηλον τοῦτο, λέγω δὲ τὸ, υἱοὺς ἡμᾶς εἶναι
θεοῦ, μὴ θαυμάζετε τοῦτο· διὰ γὰρ τοῦτο οὐ γινώσκει ἡμᾶς,
ὅτι οὐδὲ τὸν υἱοθετήσαντα ἡμᾶς ἔγνω. Ὅτι δὲ *κόσμον* τὸν
συρφετὸν ὄχλον λέγει, πολλαχοῦ παρεστήσαμεν. Εἶτα, ἐπειδὴ
τὸ τῆς υἱοθεσίας κατεσκεύασε, λέγει ἐπὶ τούτοις τρανότερον
καὶ τὴν ἀποκειμένην δόξαν καὶ παῤῥησίαν τῶν υἱοθετηθέντων,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ φησιν· *Ἀγαπητοὶ, νῦν τέκνα θεοῦ ἐσμεν·* ὥσπερεὶ ἔλεγε· Πάντως, ἀγαπητοὶ, διὰ τῶν προλαβόντων ἔγνωτε, ὅτι εἰς υἱοὺς θεοῦ ἀνελήφθημεν· εἰ δὲ μὴ ἤδη ἐφανερώθη τοῦτο, μὴ θορυβῆσθε· τὸ γὰρ νῦν ἄδηλον, φανερὸν γενήσεται, ἐκείνου ἀποκαλυπτομένου. *Ὅμοιοι γὰρ αὐτῷ ἀναφανέντες*, τὸ τῆς υἱοθεσίας λαμπρὸν παραστήσομεν· οἱ γὰρ υἱοὶ πάντως ὅμοιοι τῷ πατρί. Ἀλλὰ καὶ τὴν πρὸς αὐτὸν παῤῥησίαν ἔχοντες, ὡς υἱοί, *ὀψόμεθα αὐτὸν, καθώς ἐστιν*, οὐ κατὰ τὴν φύσιν δηλονότι· (τοῦτο γὰρ ἀμήχανον γεννητῇ φύσει·) ἀλλὰ τί; Δίκαιον, δίκαιοι, ἁγνὸν, ἁγνοί· τῷ γὰρ ὁμοίῳ προσφύσονται καὶ οἱ ὅμοιοι. Διὰ γὰρ τοῦτο καὶμικρῷ ἀνωτέρω εἶπον, ὅτι *ὅμοιοι αὐτῷ ἐσόμεθα* οὐ κατὰ τὴν φύσιν· εἶπε γὰρ ἂν οὐχ, *ὅμοιοι*, ἀλλ', οἱ αὐτοί· νῦν δὲ, ἐπεὶ μὴ τοῦτο ἔσται, εἶπε τὸ, *ὅμοιοι*, κατὰ τὴν τῆς δόξης ποιότητα δηλαδή. Ἐπισημαντέον δὲ, ὅτι οὐκ εἶπεν ἀνωτέρω, Πᾶς ὁ ποιήσας τὴν δικαιοσύνην, ἢ ὁ ποιήσων, ἀλλ', *Ὁ ποιῶν*. Πρακτικαὶ γὰρ αἱ ἀρεταὶ, καὶ ἐν τῷ γίνεσθαι ἔχουσι τὸ εἶναι· παυσάμεναι δὲ, ἢ μέλλουσαι, οὐδὲ τὸ εἶναι ἔχουσιν.

4 Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, καὶ τὴν ἀνομίαν ποιεῖ·
5 καὶ ἡ ἁμαρτία ἐστὶν ἡ ἀνομία. Καὶ οἴδατε, ὅτι ἐκεῖνος ἐφανερώθη, ἵνα τὰς ἁμαρτίας ἡμῶν ἄρῃ·
6 καὶ ἁμαρτία ἐν αὐτῷ οὐκ ἔστι. Πᾶς ὁ ἐν αὐτῷ μένων, οὐχ ἁμαρτάνει· πᾶς ὁ ἁμαρτάνων, οὐχ ἑώ-
7 ρακεν αὐτὸν, οὐδὲ ἔγνωκεν αὐτόν. Τεκνία, μηδεὶς πλανάτω ὑμᾶς· ὁ ποιῶν τὴν δικαιοσύνην, δίκαιός
8 ἐστι, καθὼς ἐκεῖνος δίκαιός ἐστιν. Ὁ ποιῶν τὴν ἁμαρτίαν, ἐκ τοῦ διαβόλου ἐστίν· ὅτι ἀπ' ἀρχῆς ὁ διάβολος ἁμαρτάνει. Εἰς τοῦτο ἐφανερώθη ὁ υἱὸς τοῦ θεοῦ, ἵνα λύσῃ τὰ ἔργα τοῦ διαβόλου.

Κατασκευάσας τὸν περὶ δικαιοσύνης λόγον διὰ τῶν ἀνωτέρω ἀπὸ τῶν τῆς δικαιοσύνης καλῶν, νῦν καὶ ἀπὸ τοῦ ἐναντίου, καὶ ἀπὸ τῶν ἐνυπαρχόντων αὐτῷ ἐφορμᾷ τῇ ἀποδείξει, καί φησι· *Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν*· τοιοῦτόν τι λέγων· Ὅτι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑμεῖς, οἱ υἱοθετηθέντες, ἐργάζεσθε τὴν δικαιοσύνην, καὶ μὴ ἀργοὺς ἑαυτοὺς ἀποφαίνετε ταύτης. Ὡς γὰρ καὶ ἐπὶ τῆς ἁμαρτίας, οὐχ ὁ ποιήσας, ἢ ὁ ποιήσων, ἐκεῖνός ἐστιν ὁ ἁμαρτωλὸς, ἢ ὁ ἄνομος, ἀλλ' ὁ ἐχόμενος τοῦ κακοῦ καὶ ἐνεργός· οὕτω καὶ δίκαιος, οὐχ ὁ ἀπράκτων, ἀλλ' ὁ ἐνεργός. Ἰσέον δὲ, ὡς *ἁμαρτία* μὲν, ἡ τοῦ ἀγαθοῦ ἀπόπτωσίς ἐστιν· *ἀνομία* δὲ, ἡ περὶ τὸν θετὸν νόμον πλημμέλεια· καὶ ταύτην ἔχουσιν ἀρχὴν ἑκάτερον τούτων, τὸ μὲν, τὴν ἀπὸ τοῦ ἀγαθοῦ ἔκπτωσιν· τὸ δὲ, τὴν περὶ τὸν θετὸν νόμον πλημμέλειαν· συμφέρονται δὲ ταῦτα κατὰ ταὐτόν· ὅ,τε γὰρ ἁμαρτάνων, τοῦ κατὰ τὴν φύσιν καὶ ἐν τῇ φύσει ἀπέτυχε σκοποῦ· σκοπὸς γὰρ τῇ ἀνθρωπείᾳ φύσει, τὸ κατὰ τὸν λόγον ζῆν, τῆς ἀλογίας πόρρῳ ἀπῳκισμένῃ. Ὡσαύτως καὶ ὁ ἀνομῶν, πλημμελεῖ περὶ τὸν ἐν τῇ φύσει δεδομένον νόμον, διαγινόμενος ἀκρατῶς. Καλῶς οὖν ὁ μαθητὴς τοῦ Κυρίου εἰς ταὐτὸν ἀμφότερα περιέστησε. *Καὶ οἴδατε, ὅτι ἐκεῖνος ἐφανερώθη.*] Οὐ μήν γε, φησὶ, χώραν ἔτι σχοίητε τοῦ ἁμαρτάνειν· Χριστοῦ γὰρ ἐπ' ἀναιρέσει τῆς ἁμαρτίας παραγενομένου, καθότι ἀμέτοχος ἦν ἁμαρτίας, οὐδὲ ὑμῖν ὑπολείπεται ἔτι ἁμαρτάνειν τοῖς ἐν αὐτῷ γενομένοις, καὶ βεβαιωθεῖσι τῇ εἰς αὐτὸν πίστει. Τοῦτο γὰρ βούλεται σημαίνειν διὰ τοῦ, *Πᾶς ὁ ἐν αὐτῷ μένων*. Οὗτος δέ ἐστιν, ὁ ἀνενδότως τὰς ἀρετὰς μετιών, καὶ μηδέποτε τῆς τούτων ἀπολήγων ἐργασίας. *Καὶ ἁμαρτία ἐν αὐτῷ οὐκ ἔστι.*] Τὸ, Καὶ, ἀντὶ τοῦ, Διότι. *Πᾶς ὁ ἁμαρτάνων, καὶ ἑξῆς.*] Εἰπὼν, ὅτι ὁ Χριστὸς ἐφανερώθη, καὶ τὴν αἰτίαν, δι' ἣν ἐφανερώθη, ὅτι, *ἵνα*, ὡς μὴ ποιήσας ἁμαρτίαν, *τὰς ἁμαρτίας ἡμῶν ἄρῃ*, τουτέστιν, ἀφανίσῃ· ἐπιφέρει· ὅτι *Πᾶς ὁ ἁμαρτάνων, οὐχ ἑώρακεν αὐτόν*. Εἰ γὰρ ὑμεῖς, φησὶν, οἵτινες, φανερωθέντος αὐτοῦ, ἑωράκατε αὐτὸν, καὶ σημεῖον τοῦ ἑωρακέναι αὐτὸν ἐλάβετε, τὸ μὴ εὐχείρωτοι εἶναι τῇ ἁμαρτίᾳ, ἅτε τελέως ἐν αὐτῷ ἡδρασμένοι, πάντως που οἱ ἁμαρτάνοντες οὐχ ἑωράκασιν αὐτόν· διὸ οὐδὲ *ἔγνωσαν αὐτόν*· *ἑωρακέναι* καὶ *ἐγνωκέναι*, οὐ τὸ κατὰ ψιλὴν τῶν ὄψεων λέγων ἐπαφὴν,

Δημοσια Κεντρικη Βιβλιοθηκη Βεροιας

οὐδὲ τὸ κατὰ πρόχειρον φαντασίαν ἐνηργηκέναι αὐτοὺς περὶ τὸ γνωστόν· ἀλλὰ τὸ μετά τινος κρίσεως καὶ ἐπιστήμης τὴν πρὸς αὐτὸν πεποιηκέναι προσαγωγὴν αὐτοὺς, ὡς ἀνωτέρω εἰρήκαμεν. Εἰρηκὼς δὲ ταῦτα, πρόεισι βεβαιωτικῶς, λέγων· *Μηδεὶς πλανάτω ὑμᾶς*· οὐ γὰρ ἄλλως ἔχει ἢ οὕτως· *Ὁ ποιῶν τὴν δικαιοσύνην, ἔγνωκε τὸν δίκαιον, καὶ δίκαιός ἐστι, καθὼς καὶ ἐκεῖνος*, τουτέστιν, ὁ θεός. Καὶ ὥσπερ τοῦτο, οὕτω καὶ τὸ ἀπεναντίας πάλιν· *Ὁ τὴν ἁμαρτίαν ποιῶν, ἐκ τοῦ ἁμαρτωλοῦ ἐστιν*· οὗτος δέ ἐστιν *ὁ διάβολος, ὃς ἀπ' ἀρχῆς ἁμαρτάνει*. Διὸ καὶ κηδόμενος ὁ θεὸς τοῦ ἑαυτοῦ πλάσματος, δικαιοσύνη καὶ ἁγιασμὸς ὑπάρχων, *ἐφανερώθη*, ἤτοι, εἰς τὸν κόσμον ἐφάνη, ἵνα ἀφανίσῃ τὰ ἔργα τοῦ διαβόλου, ἅ ἐστιν ἡ ἁμαρτία. *Ὁ ποιῶν τὴν ἁμαρτίαν, ἐκ τοῦ διαβόλου ἐστίν.*] Ἐπείπερ παρατραπεὶς ὁ διάβολος, ἐν τῷ ἁμαρτάνειν γέγονεν, ἐξ αὐτοῦ χρηματίζει πᾶς ὁ ἁμαρτητικῶς ἐνεργῶν· προάρχεται γὰρ ἐν τῷ ἁμαρτάνοντι δι' ὑποβολῆς λογισμῶν πονηρῶν, ὡς ἐπὶ τοῦ Ἰούδα. Ἀλλ' ἐρεῖ τις· Πῶς γίνεται ὁ διάβολος ἐν τοῖς ἁμαρτάνουσιν, αὐτῶν πρὸ αὐτοῦ ἡμαρτηκότων ἐν τῷ διδόναι αὐτῷ τόπον; Πρὸς ὃν λεκτέον· Ταὐτὸν εἶναι τὸ ποιεῖν τὴν ἁμαρτίαν, τῷ ἁμαρτάνειν ἐν τῷ διδόναι τόπον τῷ διαβόλῳ· δίδωσι γὰρ αὐτῷ τόπον ὁ ἁμαρτάνων ἐπιθυμίᾳ ὑπαχθείς, μετὰ τὸ δέξασθαι αὐτὸν, πρακτικῶς ἐπιτελῶν τὴν ἁμαρτίαν· τοῦτο

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ ἀγάπης τῆς εἰς τὸν πλησίον καὶ διαθέσεως μεταδοτικῆς· ἐν ᾧ, περὶ συνειδήσεως ἀγαθῆς τῆς ἐν πίστει Ἰησοῦ Χριστοῦ· περὶ διακρίσεως πνευμάτων ἐφ' ὁμολογίᾳ τῆς τοῦ Χριστοῦ ἐνανθρωπήσεως.

9 Πᾶς ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ, ἁμαρτίαν οὐ
ποιεῖ, ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ μένει· καὶ οὐ
δύναται ἁμαρτάνειν, ὅτι ἐκ τοῦ θεοῦ γεγέννηται.
10 Ἐν τούτῳ φανερά ἐστι τὰ τέκνα τοῦ θεοῦ καὶ τὰ
τέκνα τοῦ διαβόλου. Πᾶς ὁ μὴ ποιῶν δικαιοσύνην,
οὐκ ἔστιν ἐκ τοῦ θεοῦ, καὶ ὁ μὴ ἀγαπῶν τὸν ἀδελ-
11 φὸν αὐτοῦ. Ὅτι αὕτη ἐστὶν ἡ ἀγγελία, ἣν ἠκού-
12 σατε ἀπ' ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους· οὐ καθὼς
Κάϊν ἐκ τοῦ πονηροῦ ἦν, καὶ ἔσφαξε τὸν ἀδελφὸν
αὐτοῦ· καὶ χάριν τίνος ἔσφαξεν αὐτόν; ὅτι τὰ ἔργα
αὐτοῦ πονηρὰ ἦν, τὰ δὲ τοῦ ἀδελφοῦ αὐτοῦ δίκαια.
13 Μὴ θαυμάζετε, ἀδελφοί μου, εἰ μισεῖ ὑμᾶς ὁ κό-
14 σμος. Ἡμεῖς οἴδαμεν, ὅτι μεταβεβήκαμεν ἐκ τοῦ
θανάτου εἰς τὴν ζωήν, ὅτι ἀγαπῶμεν τοὺς ἀδελ-
φούς· ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν, μένει ἐν τῷ θανά-
15 τῳ. Πᾶς ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, ἀνθρωποκτόνος ἐστί· καὶ οἴδατε, ὅτι πᾶς ἀνθρωποκτόνος
16 οὐκ ἔχει ζωὴν αἰώνιον ἐν αὐτῷ μένουσαν. Ἐν τούτῳ
ἐγνώκαμεν τὴν ἀγάπην, ὅτι ἐκεῖνος ὑπὲρ ἡμῶν τὴν
ψυχὴν αὐτοῦ ἔθηκε· καὶ ἡμεῖς ὀφείλομεν ὑπὲρ τῶν
17 ἀδελφῶν τὰς ψυχὰς τιθέναι. Ὃς δ' ἂν ἔχῃ τὸν βίον
τοῦ κόσμου, καὶ θεωρῇ τὸν ἀδελφὸν αὐτοῦ χρείαν
ἔχοντα, καὶ κλείσῃ τὰ σπλάγχνα αὐτοῦ ἀπ' αὐτοῦ,
18 πῶς ἡ ἀγάπη τοῦ θεοῦ μένει ἐν αὐτῷ; Τεκνία μου,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μὴ ἀγαπῶμεν λόγῳ, μηδὲ τῇ γλώσσῃ, ἀλλ' ἐν ἔργῳ καὶ ἀληθείᾳ.

Πᾶς ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ.] Ἐπεὶ πᾶς ὁ τὴν ἁμαρτίαν ποιῶν, ἐκ τοῦ διαβόλου ἐστὶ κατ' αὐτὸ τὸ ἁμαρτάνειν, καὶ υἱὸς τοῦ διαβόλου λέγεται, ὡς ὁ μακάριος Παῦλος πρὸς τὸν Ἐλύμαν φησίν· *Ὦ πλήρης παντὸς δόλου καὶ πάσης ῥᾳδιουργίας, υἱὲ διαβόλου, ἐχθρὲ πάσης δικαιοσύνης· οὐ παύσῃ διαστρέφων τὰς ὁδοὺς Κυρίου, τὰς εὐθείας* (α); εὔδηλον, ὅτι ὁ ἐκ τοῦ θεοῦ γεγεννημένος, ὡς θεοῦ υἱός, οὐχ ἁμαρτάνει· καὶ ἡ αἰτία, *ὅτι σπέρμα αὐτοῦ*, τοῦ θεοῦ δηλονότι, *ἐν αὐτῷ μένει*, ἤτοι τὸ Πνεῦμα, ὃ ἐλάβομεν διὰ τοῦ χαρίσματος, οὗ ἠξιώθημεν· ὅπερ ἐν ἡμῖν *μένον*, τουτέστιν, ἡδρασμένον, ἀνεπίδεκτον ἁμαρτίας τὸν νοῦν ἡμῶν ποιεῖ. Ἤ, καὶ αὐτὸς ὁ Χριστὸς, ὡς ἐνοικῶν ἐν τοῖς πιστοῖς, ποιεῖ αὐτοὺς υἱοὺς θεοῦ, καθὸ καὶ ἐν τῷ σπέρματι Ἀβραὰμ, ὅς ἐστιν ὁ Χριστὸς, εὐλογοῦνται πάντα τὰ ἔθνη (β). Προέβη δὲ οὕτω τῷ λόγῳ νῦν, τὸ ἐνωτέρω εἰρημένον αὐτῷ βεβαιῶν, λέγω δὲ τὸ, τέκνα εἶναι θεοῦ τοὺς πιστούς· καὶ ἀναντίῤῥητον αὐτὸ ποιῶν, ἔκ τε τοῦ πράγματος αὐτοῦ, φημὶ, ταῦ μὴ ἁμαρτάνειν, καὶ ἐκ τοῦ ἐναντίου, ὡς μικρῷ πρόσθεν εἴπομεν. Εἰ γὰρ τῷ ἐναντίῳ τὸ ἐναντίον, καὶ τὸ ἐναντίον τῷ ἐναντίῳ, κατὰ τὰς διαλεκτικὰς ἐπιχειρήσεις. Σκόπει δὲ τὴν ἀκρίβειαν τοῦ ῥητοῦ. Οὐ γὰρ πρότερον εἶπεν, ἐκ θεοῦ γεγεννῆσθαι, ἢ ἐκ τοῦ διαβόλου, εἰ μὴ τὰ ἔργα προέλαβον, ἤτοι τῆς δικαιοσύνης, ἢ τῆς ἀνομίας· ἐκ τούτων γὰρ ἡ υἱοθεσία, ἥ τε τοῦ θεοῦ, ἥ τε τοῦ διαβόλου. Κἂν γὰρ χάριτι σεσώσμεθα (γ), ἀλλὰ διὰ τὸ ὑπερβάλλον λέγεται τῆς τοῦ θεοῦ χρηστότητος, ὅτι καίτοι ἀνιάτως προσκεκρουκότων ἡμῶν, αὐτὸς οὐκ ἐμνησικάκησε τῇ σωτηρίᾳ ἡμῶν. Ἐπεὶ ὅτι μὴ ἀργοῖς δίδωσι τὴν παρ' ἑαυτῷ σωτηρίαν, Παῦλος πιστοῦται βοῶν· *Τοῖς*

(α) Πραξ. ΙΓ', 10. (β) Γεν. ΚΒ', 18. Γαλ. Γ', 8. 16.
(γ) Ἐφεσ. Β', 8. 8.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κατὰ πρόθεσιν κλητοῖς οὖσιν (α). Ὡσαύτως καὶ οἱ τῷ διαβόλῳ υἱοθετηθέντες, κἂν ἀπηλλοτριώθησαν ἀπὸ μήτρας (β), καὶ μήπω τὴν κατὰ πρόθεσιν ἁμαρτίαν ἐνηργηκότες, ἀλλὰ διὰ τὸ ἄγαν φιλοπόνηρον αὐτῶν εἴρηται τοῦτο· οὐ γάρ ἐστιν ἀνενέργητον τοῦ κακοῦ τὸ τῷ διαβόλῳ οἰκειωθῆναι· ἀλλ' ὁ ποιῶν τὴν ἁμαρτίαν, ἐκεῖνος καὶ τῷ διαβόλῳ ἀνείληπται, ἤτοι εἰς υἱόν, τῷ πλέον ἐνεργεῖν καὶ αὐθαίρετον τὸ κακόν, ἢ εἰς δοῦλον, τῷ καταπαλαισθῆναι τῷ πονηρῷ καὶ χειρωθῆναι ὑπ' αὐτοῦ, καὶ εἰς τὴν λατρείαν αὐτοῦ κατακριθῆναι. Σκόπει δὲ καὶ τοῦτο, ὅτι τὸν ἐκ θεοῦ γεγεννημένον, οὐκ εἶπεν, ὅτι οὐχ ἁμαρτάνει, ἵνα μὴ καὶ τὰ βρέφη συμπεριλάβῃ, ἐξ ἡλικίας ἔχοντα τὸ μὴ ἁμαρτάνειν· ἀλλ' εἶπεν, ὅτι *ἁμαρτίαν οὐ ποιεῖ*· τὸ μὲν γὰρ, οὐχ ἁμαρτάνειν, ἀποράσει ἔοικεν ἁπλῶς· τὸ δὲ, *οὐ ποιεῖ*, τὸ ἐκ διαθέσεως μὴ ὑπάρχειν δηλοῖ. Διὸ καὶ προστίθησι, *Καὶ οὐ δύναται ἁμαρτάνειν*, οὐ κατὰ φυσικὴν ἀδυναμίαν τοῦτο λέγων, ὡς ἐπὶ τῶν ἀλόγων φαμέν, μὴ δύνασθαι ἐπιστήμην ἀναλαμβάνειν· ἀλλὰ κατὰ προαιρετικὴν τῆς ἁμαρτίας ἀργίαν. Ταῦτα διεξελθὼν, καὶ τὸ γνώρισμα τῶν τοῦ θεοῦ τέκνων, τὸ μὴ ἁμαρτίαν ποιεῖν, εἶναι φήσας, ὡς ἔμπαλιν, τῶν τοῦ διαβόλου υἱῶν, τὸ ἁμαρτάνειν· διεξελθὼν οὖν ταῦτα, ἀναλαμβάνει πάλιν μετὰ πολλὰ τὰ μεταξὺ τὴν περὶ τὸν πλησίον ἀγάπην, ὥσπερ χάριν ἐκείνης πάντα τὰ διὰ μέσου πραγματευσάμενος· ἐπεὶ καὶ πλήρωμα πάντων ἡ ἀγάπη (γ)· καί φησιν· *Ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, οὐκ ἔστιν ἐκ τοῦ θεοῦ*· καὶ κατὰ τούτου γὰρ τοῦ κώλου τέτακται, τὸ, *οὐκ ἔστιν ἐκ θεοῦ*· τοῦτο λέγων· Ἐπεὶ ὁ ποιῶν δικαιοσύνην, ἐκ τοῦ θεοῦ γεγέννηται, ἔπεται τῷ οὕτω γεννηθέντι, ἀγαπᾷν τοὺς ἀδελφούς· ὁ δὲ μὴ ποιῶν δικαιοσύνην, τῷ μὴ ποιεῖν αὐτὴν μισῶν τοὺς ἀδελφοὺς αὐτοῦ, ἐκ τοῦ θεοῦ οὐκ ἔστιν, οὐ κατ' ἄλλον τρόπον, ἢ τὸ μὴ

(α) Ῥωμ. Η', 28. (β) Ψαλμ. ΝΖ', 4.
(γ) Ῥωμ. ΙΓ', 9. 10. Γαλ. Ε', 14.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γεγεννῆσθαι ἐξ αὐτοῦ. Καὶ πῶς οὐκ ἔστιν ἐκ τοῦ θεοῦ δείκνυσι, λέγων· *Ὅτι αὕτη ἐστὶν ἡ ἀγγελία, ἣν ἠκούσατε ἀπ' ἀρχῆς.* Τίς δὲ ἡ ἀγγελία αὕτη, ἤδη εἰρήκαμεν, ὅτι καὶ φυσικὴ καὶ διδακτή. Ἀλλὰ καὶ μετὰ τῆς νομικῆς ἐντολῆς, τῆς περὶ τοῦ ἀγαπᾶν τὸν πλησίον (α), καὶ τῆς τοῦ Κυρίου, τῆς λεγούσης· *Ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους* (β), ἔτι καὶ ἡ πρὸς τὸ ὁμογενὲς φυσικὴ, τοῦτο καταναγκαστικῶς πράττειν ἐνάγει. Ἐπεὶ οὖν τοιαῦται καὶ τοσαῦται αἱ ἐντολαὶ κατὰ τὴν τοῦ Κυρίου ἀπόφανσιν, ὁ τὸν λόγον αὐτοῦ τηρῶν, καὶ ποιῶν αὐτὸν, ἔχει ζωὴν αἰώνιον, καὶ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν (γ). Διὰ ταῦτα τοίνυν ἀγαπῶμεν τοὺς ἀδελφοὺς, μηδὲν παραβλαπτόμενοι πρὸς ζῆλον· οἷον, εἰ ἐκ τοῦ κόσμου μισούμεθα, ἵνα καὶ ἡμεῖς μισῶμεν τοὺς ἀδελφούς· ἀλλ' ὁ τοῦ Κυρίου λόγος ἐνεργέστερος ἔστω ἐν ἡμῖν. Ὁ γὰρ τοὺς ἀδελφοὺς αὐτοῦ μισῶν, πρὸς οἷς ἐκβέβληται τῆς αἰωνίου ζωῆς, ἔτι καὶ *ἀνθρωποκτόνος* ἐστίν. Ἕπεται γὰρ τῷ ἀνθρωποκτόνῳ τὸ *μηδὲ ζωὴν αἰώνιον ἔχειν.* Ὁρᾶτε γάρ, φησι, τὸν Κάϊν, ὅτι καὶ αὐτὸς, μισήσας τὸν ἀδελφὸν, ἀπέκτεινεν αὐτὸν, καίτοί γε ἀδελφὸν αὐτοῦ ὄντα. Ἀλλ' ἐπεὶ ἔργα πονηρὰ ἔχων, υἱὸς ἦν τοῦ διαβόλου· ὁ δὲ Ἄβελ, δίκαια ἐργαζόμενος, υἱὸς ἐχρημάτιζε τοῦ θεοῦ· ἀντίκειται δὲ καὶ ὁ διάβολος τῷ θεῷ, καὶ τὰ πονηρὰ ἔργα τοῖς ἀγαθοῖς· διὰ τοῦτο καὶ ὁ Κάϊν, τῷ ἀδελφῷ ἀντικείμενος, ἀπέκτεινεν αὐτόν. Οὕτω κατὰ τὸ ἀκόλουθον ἡ τοῦ λόγου διέξοδος. Ὁ μέντοι μακάριος Ἰωάννης ἐνήλλαξε τὴν τάξιν, τοῦ κατεπείγοντος ἀεὶ γινόμενος· κατήπειγε γὰρ αὐτὸν, ἐπεὶ τοῦ διαβόλου ἐμνήσθη, καὶ τῶν αὐτῷ διὰ πονηρᾶς πράξεως υἱοθετουμένων, τὸν ἐξ ἀρχῆς κόσμου διὰ τῶν πονηρῶν ἔργων εἰς τέκνον ἀποδραμόντα τοῦ πονηροῦ, παράδειγμα προβαλέσθαι. Ἀπηλλαγμένος δὲ τοῦ Κάϊν, καὶ ὧν οἱ τοῦτον ζηλοῦντες κλη-

(α) Δευτ. ΙΘ', 18. (β) Ἰωαν. ΙΓ', 34.
(γ) Ἰωαν. Ε', 24. ΙΔ', 15. 21. 23.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρονομεῖν ἔχουσι, πάλιν ἀνατρέχει ἐπὶ τὴν ἀγάπην, καὶ ὅσα ἐκ ταύτης συμβέβηκεν ἀγαθὰ, καί φησιν· Ὅτι ἡ ἀγάπη ὑπὲρ ἡμῶν ἔπεισε τὸν Κύριον, τὴν ψυχὴν αὐτοῦ θεῖναι· καὶ ὅτι ἐκ τούτου τοῦ ὑποδείγματος, *ὀφείλομεν καὶ ἡμεῖς ὑπὲρ τῶν ἀδελφῶν τὴν ψυχὴν τιθέναι.* Καὶ ἐπειδὴ σπάνιον τοῦτο καὶ παρ' ὀλίγοις, ὥσπερ ἐντρέπων αὐτοὺς, ἀπὸ τῶν μετριωτέρων ἄρχεται τὴν παράκλησιν τῆς φιλαδελφίας ποιεῖσθαι, οὕτω πως τὸν λόγον οἰκονομῶν· Τί φημι τὴν ψυχὴν ὑπὲρ τῶν ἀδελφῶν τιθέναι, ὅπου ὁρῶμεν, μηδὲ τὴν τῶν ἀναγκαίων χρείαν ἀναπληροῦντας τινὰς τῶν ἀδελφῶν; Καὶ οὐ τοὺς βίου σπανίζοντας λέγω, ἀλλὰ καὶ τοὺς ὅλον τὸν κόσμον σχεδὸν ὕπαρξιν ἔχοντας πλούτου. Διὰ τοῦτο αἰσχυνέσθωσαν, ὅτι, εἰ περὶ τὰ μικρὰ ταῦτα, τὰ σπλάγχνα ἀπέκλεισαν, καὶ ἀναξίους ἑαυτοὺς ἐκ τούτου ἀπέφηναν, καὶ διακένους τῆς τοῦ θεοῦ ἀγάπης, τί ἂν περὶ τὸ μεῖζον, τὸ προαποθανεῖν τῶν ἀδελφῶν ἐπεδείζαντο; Εἶτα καὶ ἄλλο ἐντρεπτικὸν αὐτῶν ἐπιφέρει, τῶν ἀποδεχομένων μὲν ἐν λόγῳ τὴν ἀγάπην, καὶ ἐπιδεικνυμένων τῇ γλώσσῃ μόνῃ, καί φησι· *Μὴ ἀγαπῶμεν λόγῳ, μηδὲ τῇ γλώσσῃ, ἀλλ' ἐν τῷ ἔργῳ καὶ τῇ ἀληθείᾳ.*

19 Καὶ ἐν τούτῳ γινώσκομεν, ὅτι ἐκ τῆς ἀληθείας
ἐσμὲν, καὶ ἔμπροσθεν αὐτοῦ πείσομεν τὰς καρδίας
20 ἡμῶν, ὅτι, ἐὰν καταγινώσκῃ ἡμῶν ἡ καρδία, (1)
μείζων ἐστὶν ὁ θεὸς τῆς καρδίας ἡμῶν, καὶ γινώ-
21 σκει πάντα. Ἀγαπητοὶ, ἐὰν ἡ καρδία ἡμῶν μὴ
καταγινώσκῃ ἡμῶν, παῤῥησίαν ἔχομεν πρὸς τὸν
22 θεὸν, καὶ, ὃ ἐὰν αἰτῶμεν, λαμβάνομεν παρ' αὐτοῦ,
ὅτι τὰς ἐντολὰς αὐτοῦ τηροῦμεν, καὶ τὰ ἀρεστὰ
23 ἐνώπιον αὐτοῦ ποιοῦμεν. Καὶ αὕτη ἐστὶν ἡ ἐντολὴ
αὐτοῦ, ἵνα πιστεύσωμεν τῷ ὀνόματι τοῦ υἱοῦ αὐ-
τοῦ Ἰησοῦ Χριστοῦ, καὶ ἀγαπῶμεν ἀλλήλους,
24 καθὼς ἔδωκεν ἐντολὴν ἡμῖν. Καὶ ὁ τηρῶν τὰς

(1) Παρ' ἄλλοις προστίθεται, ὅτι, πρὸ τοῦ, μείζων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐντολὰς αὐτοῦ, ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν αὐτῷ· καὶ ἐν τούτῳ γινώσκομεν, ὅτι μένει ἐν ἡμῖν, ἐκ τοῦ πνεύματος, οὗ ἡμῖν ἔδωκεν.

Ἐν τούτῳ γινώσκομεν.] Ἐν τίνι; Ἐν τῷ μὴ λόγῳ τὸν ἀδελφὸν ἀγαπᾷν, ἀλλ' ἐν ἔργῳ καὶ ἀληθείᾳ. Καὶ τί γινώσκομεν; *Ὅτι ἐκ τῆς ἀληθείας ἐσμέν.* Πῶς; Ὁ γὰρ ἄλλο μὲν λέγων, ἄλλο δὲ ποιῶν, μὴ σύμφωνον ἔχων τῷ λόγῳ τὴν πρᾶξιν, ψεύστης ἐστὶ, καὶ οὐκ ἀληθής. *Καὶ ἔμπροσθεν αὐτοῦ πείσομεν τὰς καρδίας ἡμῶν.*] Τοῦτό φησιν· ὅτι διὰ τούτου, διὰ τοῦ ἀληθεύειν· (ἀληθεύσομεν δὲ, ὅταν κατὰ τοὺς λόγους καὶ τὰ ἔργα προβαίνῃ ἡμῶν·) πείσομεν τὴν συνείδησιν ἡμῶν· τοῦτο γὰρ βούλεται διὰ τοῦ, *τὰς καρδίας*, σημαίνειν. Καὶ πῶς πείσομεν; Τοῦτο καθ' ἑαυτοὺς θέμενοι, ὡς ὑπὸ θεῷ μάρτυρι ποιούμεθα τοὺς λόγους· τὸ γὰρ, *ἔμπροσθεν*, τοῦτο σημαίνει. Ἐὰν γάρ, φησι, μὴ οὕτω ποιῶμεν, ἀλλ' ἡ καρδία ἡμῶν, ἤτοι ἡ συνείδησις, *καταγινώσκῃ ἡμῶν*, οὐ λανθάνομεν ἁμαρτάνοντες. Εἰ γὰρ τὴν συνείδησιν ἡμῶν, βραχεῖαν οὖσαν, ὡς ἐκ βραχέος ζώου, οὐ δυνάμεθα λαθεῖν ἐν τῷ ἁμαρτάνειν, πολλῷ μᾶλλον τὸν ἀπεριόριστον καὶ πανταχοῦ παρόντα θεὸν οὐκ ἂν λάθοιμεν. Ὅλος οὖν ὁ λόγος ἐστὶ τοιοῦτος· Τεκνία μου, μὴ ψευδώμεθα εἰς ἀλλήλους ἐν τῷ τῇ γλώσσῃ μόνῃ ἀγαπᾷν, ἀλλὰ καὶ ἐν ἔργῳ τὴν ἀγάπην ἐπιδεικνύωμεν. Ἐν τούτῳ γὰρ γνωσόμεθα, ὅτι *ἐκ τῆς ἀληθείας*, τουτέστιν, ἐκ τοῦ θεοῦ, *ἐσμὲν*, καὶ ὃ λέγομεν, ὡς τοῦ θεοῦ ἐπισκοποῦντος λέγομεν· οὐκ ἂν δέ τις ἀνάσχοιτο, κἂν εἰ τῶν δαιμόνων ἀναιδέστερος ᾖ, ὑπὸ θεῷ μάρτυρι ψεύσασθαι. Εἰ γὰρ μὴ οὕτω ποιῶμεν, ἀλλὰ λεγόντων ἡμῶν ἀγαπᾷν, ἡ καρδία ἡμῶν καταγινώσκῃ ἡμῶν ψεύδους, ἁμαρτάνομεν. Πῶς; Οἰόμενοι λανθάνειν τὸν πανταχοῦ παρόντα θεὸν, καὶ οὐδὲ τοῦτο συνιέντες, ὅτι εἰ τὴν καρδίαν ἡμῶν, βραχεῖαν οὖσαν, οὐκ ἔστι λαθεῖν ἡμᾶς, πῶς τὸν μηδαμόθεν ἀπολειπόμενον λήσομεν; Οὕτως οὖν φησίν, ἀγαπητοὶ, παρεσκευακότες ἑαυτοὺς, ἀκαταγνώστους ἑαυτοὺς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡμῖν αὐτοῖς, ἐν τῷ πρὸς ἀλλήλους δηλονότι ἀληθεύειν, παῤῥησίαν ἔξομεν πρὸς τὸν θεὸν, ἀφ' ἧς παῤῥησίας καὶ ὃ ἐὰν αἰτήσωμεν, πάντως ληψόμεθα παρ' αὐτοῦ. Διὰ τί; *Ὅτι τὰς ἐντολὰς αὐτοῦ τηροῦμεν*· μέγιστον γὰρ πρὸς τὸ εἰς ὑπακοὴν ἐκκαλέσασθαι τὸν αἰτούμενον ἡ παρὰ τῶν αἰτούντων εὐπείθεια, ὅταν ἀναμφιλέκτως ἡ αἴτησις γίνηται. Ἐπεὶ οὖν καὶ ἡμεῖς *τὰς ἐντολὰς αὐτοῦ τηροῦμεν*, *καὶ τὰ ἀρεστὰ αὐτῷ ποιοῦμεν*, θαῤῥῶμεν, ὡς οὐχ ἁμάρτωμεν τῶν αἰτήσεων, ἀντιδίδοσθαι φιλούσης τῆς παρ' ἀμφοῖν ἀκριβοῦς διαθέσεως ἀνυπερθέτως τῷ πρὸς τὴν χρείαν θατέρου ἥκοντι. Καὶ ποίαν ἐντολὴν αὐτοῦ ἐφυλάξαμεν; Τὴν λέγουσαν· *Ἀγάπην ἔχετε ἐν ἀλλήλοις* (α). *Καὶ αὕτη ἐστὶν ἡ ἐντολὴ αὐτοῦ, ἵνα πιστεύσωμεν.*] Τὸ, *Αὕτη*, αἰτιολογικῶς ἀκουστέον· ἵνα ᾖ· Διότι ἡ ἐντολὴ αὐτοῦ ἐστὶ πιστεύειν. Ἐπεὶ, φησὶν, ἔχοντες ἐντολὴν, ἵνα τῇ πίστει, τῇ ἐν τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ, ἀγαπῶμεν ἀλλήλους, τοῦτο πεποιήκαμεν, ἐκ τούτου γινώσκομεν, ὅτι ἠδράσταν ἐν ἡμῖν ἡ ἐκ τοῦ πνεύματος αὐτοῦ χάρις, οὗ ἔδωκεν ἡμῖν. Ἰστέον δὲ, ὅτι πολλαχοῦ τῆς νέας Γραφῆς τὸ, *Ἐν τῷ ὀνόματι Ἰησοῦ, τοῦ Κυρίου ἡμῶν, πιστεύειν*, κεῖται. Τί δὲ σημαίνειν βούλεται τὸ *ὄνομα*; Οὐδὲν ἄλλο πάντως ἢ τὴν *δόξαν*, τὴν *βούλησιν*, τὴν *εὔκλειαν*· τὴν δόξαν μὲν καὶ τὴν εὔκλειαν, ὡς ἐν τῷ· *Θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ* (β)· τὴν βούλησιν δὲ, ὡς ἐνταῦθα, καὶ ἐν τῷ· *Μετανοήσατε, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ* (γ)· ἀντὶ τοῦ, *ἐν τῇ βουλήσει*. Τίς δὲ ἡ τοῦ Κυρίου Ἰησοῦ βούλησις; Βαπτίζειν πάντα τὰ ἔθνη εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος (δ). *Καὶ ἀγαπῶμεν ἀλλήλους, καθὼς ἔδωκεν ἐντολὴν ἡμῖν.*] Ἀντὶ τοῦ, ἀληθινῇ, φησὶ, διαθέσει ἀγαπᾷν ἀλλήλους.

(α) Ἰωαν. ΙΓ', 35. (β) Ψαλμ. Η', 2.
(γ) Πραξ. Β', 38. (δ) Ματθ. ΚΗ', 19.

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

Καὶ ποῦ τοῦτο ἐντέλλεται. Ἐν ᾧ ἔλεγε· *Καθὼς θέλετε, ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ὁμοίως ποιεῖτε αὐτοῖς* (α). Εἰ οὖν ἀγαπῶμεν τοὺς πλησίον ἡμῶν ἀληθινῶς καὶ ἀδόλως πρὸς ἡμᾶς διακεῖσθαι, ὡσαύτως πάντως καὶ ἡμεῖς διατεθείημεν πρὸς αὐτούς. Ἀλλ' εἰ ἐντολὴ τοῦτο τοῦ Κυρίου, πολλῷ μᾶλλον, ἡμῶν ἐν αὐτῷ μενόντων, ἤτοι ἡδρασμένων, καὶ αὐτὸς ἑαυτὸν ἡμῖν παρέξει· *ἀρνήσασθαι γὰρ ἑαυτὸν οὐ δύναται* (β)· τουτέστιν, οὐκ ἐπὶ διακένοις ληφθείη, τὰς ἐντολὰς αὐτοῦ ἡμῖν ἐπιχορηγῶν, ἀλλ' ἐν ἑαυτῷ πρώτως ταύτας βεβαιώσαιτο. Εἰ δὲ τοῦτο, πάντως, εἰ, ἃ ἐντέλλεται, ποιοῦμεν, ἕξομεν αὐτὸν ὑπήκοον καὶ ἡμεῖς, ἐν οἷς ἂν αὐτὸν αἰτῶμεν, καὶ τὸ χάρισμα αὐτοῦ βέβαιον ἐν ἡμῖν. Ὁ δὲ ὅλος νοῦς τῆς συντάξεως τοιοῦτος· Ἵνα πιστεύσωμεν τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ, καὶ ἀγαπῶμεν ἀλλήλους ἀληθινῶς, ὡς ἡ ἐντολὴ αὐτοῦ. *Ὁ γὰρ τηρῶν τὰς ἐντολὰς αὐτοῦ, ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν αὐτῷ.* Ἐκ τούτου δὲ *γινώσκομεν, ὅτι μένει ἐν ἡμῖν, ἐκ τοῦ πνεύματος*, ἤτοι, τοῦ *χαρίσματος, οὗ ἡμῖν ἔδωκεν.* Ἀσύλου γὰρ τούτου μένοντος, ἀναντίῤῥητον ἔχομεν τὸ ἀναφαίρετον τῆς δόσεως αὐτοῦ. Πῶς δὲ ἄσυλον ἔσται; Ἐν τῷ μηδὲν ἡμᾶς παραβλάπτειν ἐξ ὀλιγωρίας, ὧν ἐνετείλατο ἡμῖν περὶ ἀγάπης.

ΚΕΦ. IV, 1 Ἀγαπητοί, μὴ παντὶ πνεύματι πιστεύετε, ἀλλὰ δοκιμάζετε τὰ πνεύματα, εἰ ἐκ τοῦ θεοῦ ἐστίν· ὅτι πολλοὶ ψευδοπροφῆται ἐξεληλύθασαν εἰς
2 τὸν κόσμον. Ἐν τούτῳ γινώσκετε (1) τὸ πνεῦμα τοῦ θεοῦ· Πᾶν πνεῦμα, ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν
3 ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ θεοῦ ἐστι. Καὶ πᾶν πνεῦμα, ὃ μὴ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ θεοῦ οὐκ ἔστι· καὶ τοῦτό ἐστι τὸ τοῦ Ἀντιχρίστου, ὃ ἀκηκόατε, ὅτι ἔρχεται,
4 καὶ νῦν ἐν τῷ κόσμῳ ἐστὶν ἤδη. Ὑμεῖς ἐκ τοῦ

(α) Λουκ. ς', 31. Ματθ. Ζ', 12. (β) Β' Τιμ. Β', 13.
(1) Παρ' ἄλλοις, γινώσκεται.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Θεοῦ ἐστὲ, τεκνία, καὶ νενικήκατε αὐτούς· ὅτι
5 μείζων ἐστὶν ὁ ἐν ὑμῖν, ἢ ὁ ἐν τῷ κόσμῳ. Αὐτοὶ
ἐκ τοῦ κόσμου εἰσί· διὰ τοῦτο ἐκ τοῦ κόσμου λα-
6 λοῦσι, καὶ ὁ κόσμος αὐτῶν ἀκούει. Ἡμεῖς ἐκ τοῦ
Θεοῦ ἐσμεν· ὁ γινώσκων τὸν Θεὸν, ἀκούει ἡμῶν·
ὃς οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, οὐκ ἀκούει ἡμῶν. Ἐκ
τούτου γινώσκομεν τὸ πνεῦμα τῆς ἀληθείας, καὶ
τὸ πνεῦμα τῆς πλάνης.

Διελθὼν τὸν περὶ τῆς ἀγάπης, τῆς εἰς τοὺς πλησίον, λόγον, καὶ ταύτην εἶναι γνώρισμα ἀποφηνάμενος τῆς τοῦ πνεύματος διαμονῆς, οὗ ἐλάβομεν· νῦν ἐπιφέρει καὶ διάκρισιν τῶν ὄντως ἀδελφῶν, καὶ τῶν παραπλησίων, ἵνα, ταύτην ἔχοντες, μὴ διὰ τὴν ἐντολὴν, τὴν περὶ τῆς ἀγάπης, περιπίπτωμεν τοῖς ψευδαδέλφοις καὶ ψευδαποστόλοις καὶ ψευδοπροφήταις, μεγίστην ἑαυτοῖς βλάβην ἐκ τούτου πορίζοντες. Ὡς γὰρ ὁμοτρόποις αὐτοῖς περιφυόμενοι, πρῶτον μὲν ἑαυτοὺς βλάψομεν, ἀσεβέσιν ἀνυποστόλως τοῦ λόγου κεκοινωνηκότες τῆς πίστεως, καὶ τὰ ἅγια τοῖς κυσὶ παραθέμενοι· ἔπειτα δὲ καὶ τοὺς ἡμῖν προσανέχοντας· ἡ γὰρ πρὸς αὐτοὺς ἡμῶν ἀγάπη, πολλοὺς πείσει λαμβάνειν αὐτοὺς διδασκάλους, καὶ πιστεύειν τοῖς ὑπ' αὐτῶν λεγομένοις ἀφυλάκτως ἐκ τῆς μεθ' ἡμῶν κλεπτομένους αὐτῶν συναναστροφῆς. Καὶ τί τὸ γνώρισμα τούτων; ἀλλ' ἢ τοῦτό, φησι· *Πᾶν πνεῦμα*, ἤτοι προφητείας ἀξίωμα, ἢ ἀποστολῆς, *ὃ ὁμολογεῖ Κύριον Ἰησοῦν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ Θεοῦ ἐστιν*· ὃ δὲ τοῦτο μὴ ὁμολογεῖ, *ἐκ τοῦ Θεοῦ οὐκ ἔστιν*, ἀλλὰ τὸ ἀξίωμα τοῦτο ἐκ τοῦ Ἀντιχρίστου ἐστὶν, *ὃ ἀκηκόατε*. Πότε; Ἐξ οὗ πρὸ μικρῶν ἔλεγεν· Ὅτι *πολλοὶ Ἀντίχριστοι ἐν τῷ κόσμῳ* (α), τουτέστιν, οἱ πρόδρομοι τοῦ Ἀντιχρίστου. Τὴν δὲ ὁμολογίαν τῆς τοῦ Κυρίου ἐν σαρκὶ παρουσίας, οὐχὶ γλώσσῃ φησὶ γίνεσθαι, ἀλλὰ τοῖς ἔργοις. Πῶς; Ὡς ὁ μακάριος Παῦλός φησι· *Πάντοτε τὴν νέκρωσιν τοῦ Κυρίου Ἰησοῦ περιφέρον-*

(α) Α' Ἰωαν. Β', 18.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τες ἐν τῷ σώματι, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ ἐν τῷ σώματι ἡμῶν φανερωθῇ (α). Ὃς οὖν ἐνεργὸν ἔχει τὸν Ἰησοῦν, καὶ τῷ κόσμῳ ἀπέθανε, καὶ οὐκέτι τῷ κόσμῳ ζῇ, ἀλλὰ τῷ Χριστῷ, καὶ περιφέρει τοῦτον, οὐκ ἐν τῇ τοῦ Χριστοῦ μόνον σαρκί, ἀλλὰ καὶ ἐν τῇ ἑαυτοῦ, οὗτος ἐκ τοῦ θεοῦ ἐστίν· ὅστις δὲ οὐχὶ Χριστῷ ζῇ, ἀλλ' ἑαυτῷ καὶ τῷ κόσμῳ, τουτέστι, ταῖς τοῦ κόσμου ἡδυπαθείαις, ὁ τοιοῦτος οὐκ ἔστιν ἐκ τοῦ θεοῦ. Διὸ καὶ Παῦλός φησιν· *Ὅπου γε ἐν ὑμῖν ἔριδες καὶ διχοστασίαι, οὐχὶ σαρκικοί ἐστε, καὶ κατὰ ἄνθρωπον περιπατεῖτε* (β); Ὁ δὲ *κατὰ ἄνθρωπον περιπατῶν*, πνεῦμα Χριστοῦ οὐκ ἔχει· ὁ δὲ Χριστοῦ πνεῦμα μὴ ἔχων, τουτέστιν, ὁ μὴ κατὰ Χριστὸν ζῶν, ὡς τῷ κόσμῳ νεκρώσας ἑαυτὸν δηλονότι, οὗτος οὐκ ἔστι Χριστοῦ (γ). Ἐν τῷ κόσμῳ εἶναι ἤδη τὸν Ἀντίχριστόν φησιν, οὐ σωματικῶς, ἀλλὰ διὰ τῶν προσδοποιούντων αὐτῷ τὴν παρουσίαν ψευδοπροφητῶν καὶ ψευδαποστόλων καὶ αἱρεσιωτῶν. Οὗτος δὲ ὁ Ἀντίχριστος, ἄνθρωπος τὸν σατανᾶν περιφέρων ἔσται, ὑπεραιρόμενος ἐπὶ *πάντα λεγόμενον θεὸν ἢ σέβασμα*· διὸ καὶ τὰ εἴδωλα σέβειν ἀθετήσει, οὓς θεοὺς λεγομένους ἐσήμανεν (δ). Διὰ δὲ τοῦ, *πᾶν σέβασμα*, καὶ τὸν χριστιανισμὸν ἐσήμανε· καὶ ἑαυτὸν μόνον ἀποφαίνειν ἐπιχειρήσει θεόν. Τούτοις γνωρίσας τοὺς τοῦ Κυρίου προφήτας καὶ ἀποστόλους, ἐπιφέρει· *Ὑμεῖς δὲ, ἐκ τοῦ θεοῦ ὄντες, τεκνία, νενικήκατε αὐτούς*, ἤτοι τοὺς ψευδοπροφήτας. Πῶς; *Ὅτι ὁ ἐν ὑμῖν θεὸς μείζων ἐστὶν, ἢ ὁ ἐν τῷ κόσμῳ, καθ' ὃν οἱ ψευδοπροφῆται ζῆν εἵλοντο.* Εἶτα τούτοις ἐπιφέρει καὶ ἕτερον γνώρισμα τῶν ψευδοπροφητῶν, ὃ μάλιστα καὶ τοὺς ἁπλουστέρους τῶν πιστῶν ἐλύπει· (εἰκὸς γάρ τινας τούτων καὶ ἀσχάλλειν, ὁρῶντας ἐκείνους μὲν τοῖς πολλοῖς περισπουδάστους, ἑαυτοὺς δὲ καταφρονουμένους·) καί φησι· Μὴ λυπεῖσθε, εἰ ὑπὸ τῶν πολλῶν *καταφρονεῖσθε ὑμεῖς, ἐκεῖνοι δὲ ὑπὸ τούτων προσλαμβάνονται*· τῷ γὰρ ὁμοίῳ τὸ ὅμοιον

(α) Β' Κορ. Δ', 10. (β) Α' Κορ. Γ', 3.
(γ) Ῥωμ. Η', 9. (δ) Β' Θεσ. Β', 4.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

προστρέχει. *Αὐτοὶ ἐκ τοῦ κόσμου εἰσὶ, καὶ ἐκ τοῦ κόσμου λαλοῦντες*, τουτέστι, κατὰ τὰς σαρκικὰς ἐπιθυμίας διδάσκοντες, ἔχουσιν αὐτοὺς κατηκόους, ἐνδιάστροφοι ἐνδιαστρόφους. Ἡμεῖς δὲ, ἅτε ἐκ τοῦ θεοῦ ὄντες, καὶ τῶν κοσμικῶν ἐπιθυμιῶν ἠλλοτριωμένοι, ἀπαράδεκτοι αὐτοῖς καθιστάμεθα. Ἀκούει δὲ ἡμῶν ἐκεῖνος ὁ σωφρόνως ζῶν, καὶ διὰ τοῦτο τὸν θεὸν ἐπιγινώσκων, ἕτοιμος ὑπέχειν ἡμῖν τὴν ἀκοήν. Διὸ καὶ ὁ Χριστός φησιν· *Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω* (α), τὸν πρὸς εὐπείθειαν παρεσκευασμένον, ἐκείνῳ καὶ τὰ ὦτα προσμαρτυρῶν ἔχειν. Ταῦτα δὲ διαστειλάμενος, ἐπιφέρει λοιπὸν, ὡς ἐπισφράγισμα τῶν εἰρημένων αὐτῷ ἤδη, ὅτι *Ἐκ τούτου γινώσκομεν* τοὺς τὸ *πνεῦμα τῆς ἀληθείας*, ἤτοι, τὸ ἀληθὲς ἔχοντας προφητικὸν ἀξίωμα, καὶ *τὸ πνεῦμα τῆς πλάνης*, ἤτοι τὸ τῆς ψευδοπροφητείας.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ φιλαδελφίας εἰς θεοσέβειαν.

7 Ἀγαπητοὶ, ἀγαπῶμεν ἀλλήλους, ὅτι ἡ ἀγάπη ἐκ τοῦ θεοῦ ἐστι· καὶ πᾶς ὁ ἀγαπῶν, ἐκ τοῦ θεοῦ γε-
8 γέννηται, καὶ γινώσκει τὸν θεόν. Ὁ μὴ ἀγαπῶν, οὐκ
9 ἔγνω τὸν θεόν· ὅτι ὁ θεὸς ἀγάπη ἐστίν. Ἐν τούτῳ ἐφανερώθη ἡ ἀγάπη τοῦ θεοῦ ἐν ἡμῖν, ὅτι τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἀπέσταλκεν ὁ θεὸς εἰς τὸν
10 κόσμον, ἵνα ζήσωμεν δι' αὐτοῦ. Ἐν τούτῳ ἐστὶν ἡ ἀγάπη, οὐχ ὅτι ἡμεῖς ἠγαπήσαμεν τὸν θεὸν, ἀλλ' ὅτι αὐτὸς ἠγάπησεν ἡμᾶς, καὶ ἀπέστειλε τὸν υἱὸν αὐτοῦ ἱλασμὸν περὶ τῶν ἁμαρτιῶν ἡμῶν.
11 Ἀγαπητοὶ, εἰ οὕτως ὁ θεὸς ἠγάπησεν ἡμᾶς, καὶ ἡμεῖς ὀφείλομεν ἀλλήλους ἀγαπᾶν.

Ἀναλαμβάνει πάλιν τὸν περὶ τῆς ἀγάπης λόγον. Δείξας γὰρ, τίνας χρὴ ἀγαπᾶν, ὅτι τοὺς ὁμοιοτρόπους, ἔχεται λοιπὸν τῶν

(α) Ματθ. ΙΑ', 15.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐξ ἀρχῆς, ἐκ τοῦ θεοῦ εἶναι λέγων καὶ τὴν ἀγάπην καὶ τὸν ἀγαπῶντα, καὶ μόνον τοῦτον τὸν ἀγαπῶντα, ἐκ τοῦ θεοῦ γεγεννῆσθαι, καὶ ἐπιγινώσκειν τὸν θεόν· τὸν δὲ μὴ ἔχοντα τὴν ἀγάπην, καὶ τὸν θεὸν ἀγνοεῖν, τοῖς ἐναντίοις τὰ ἐναντία πιστούμενος. Πῶς δὲ ὁ μὴ ἀγαπῶν, οὐκ ἔγνω θεὸν, κατασκευάζει οὕτως· Ὁ θεὸς ἀγάπη ἐστί. Πόθεν δῆλον; Ἀφ' οὗ ἀπέστειλε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ εἰς τὸν κόσμον, ἵνα τὴν ὄντως ζωὴν παράσχῃ ἡμῖν, καὶ ζήσωμεν δι' αὐτοῦ. Ὥσπερ γὰρ *Ἀγαθότης* λέγεται, ὅτι δι' ἀγαθότητα ὑπέστησε τὸν νοητὸν κόσμον καὶ τὸν αἰσθητὸν, ἵνα ἔχῃ τοῦ ὄντως ὄντος ἑαυτοῦ κοινωνούς· οὕτω καὶ δι' ἀγάπην τὴν εἰς ἡμᾶς δοὺς τὸν μονογενῆ αὐτοῦ υἱὸν εἰς τὸν κόσμον, ἔδειξε καὶ διὰ τούτου, ὅτι ἀγάπη ἐστί. Διὸ καὶ αὐτὸς ἐπιφέρει· *Ἐν τούτῳ ἐστὶν ἡ ἀγάπη*, ἀντὶ τοῦ, Ἐν τούτῳ δείκνυται, ὅτι ἀγάπη ἐστὶν ὁ θεός. Εἶτα ἐξαίρων τὸ τῆς τοῦ θεοῦ ἀγάπης καλὸν, φησίν· *Οὐχ ὅτι ἡμεῖς ἠγαπῶμεν αὐτὸν*, τοῦτο ἐποίησεν ὁ θεὸς, τὸν ἑαυτοῦ υἱὸν ὑπὲρ ἡμῶν δοὺς, ὅπερ ἐποφείλεται τοῖς ἀγαπωμένοις, ἀντιδιδόναι τοῖς ἀγαπῶσι τὴν ἴσην διάθεσιν· ἀλλὰ προκατάρχων τῆς εἰς ἡμᾶς εὐεργεσίας δι' ἀγάπης, ἀπέστειλε τὸν υἱὸν αὐτοῦ· καὶ οὐ μόνον ἀπέστειλεν, ἀλλὰ καὶ ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν διὰ τοῦ ἰδίου αἵματος ἐξιλάσασθαι. Εἰ οὖν οὕτω, φησὶν, ἠγάπησεν ἡμᾶς ὁ θεὸς, καίτοι μηδὲν ἡμᾶς εἰς φύσιν αὐτῷ κοινωνοῦντας, πολλῷ πλέον ὀφείλομεν καὶ ἡμεῖς τοὺς ὁμοφυεῖς ἡμῖν ἀγαπᾶν, καὶ γνόντες τὸ ἀπὸ τῆς ἀγάπης καλὸν, ἀλλήλοις τοῦτο διακονεῖν. Ὥσπερ γὰρ ἔγκλημα τῷ μὴ αἱρουμένῳ τὸ αἱρετὸν, καὶ τῷ μὴ φιλοῦντι τὸ φιλητόν· οὕτως ἔπαινον περιποιεῖ τοῖς ἀγαπῶσι τοὺς ἀξίους ἀγάπης, διὰ τὸ εἶναι *ἀγαπητούς*. Οὕτω δὲ διατεθέντες, ἔχομεν ἀμφότερα, καὶ τὸ, *ἀγαπητοὶ*, διὰ τὸ ὑπὸ θεοῦ ἠγαπῆσθαι καὶ προσληφθῆναι ὑπ' αὐτοῦ, καὶ τὸ, *ἀγαπητικοὶ*, διὰ τῆς πρὸς τοὺς πλησίον ἀγάπης· ἀγάπης δὲ τῆς εἰλικρινοῦς καὶ καθαρᾶς, ἀλλ' οὐ τῆς ἐμπαθοῦς τε καὶ ῥυπαρᾶς, ἥτις λῃσταῖς ἂν καὶ τοῖς ἄλλοις κακούργοις ἐγγένοιτο.

Δημόσια Κεντρική Βιβλιοθήκη Βάρους

12 Θεὸν οὐδεὶς πώποτε τεθέαται. Ἐὰν ἀγαπῶμεν ἀλ-
λήλους, ὁ θεὸς ἐν ἡμῖν μένει, καὶ ἡ ἀγάπη αὐτοῦ
13 τετελειωμένη ἐστὶν ἐν ἡμῖν. Ἐν τούτῳ γινώσκομεν,
ὅτι ἐν αὐτῷ μένομεν, καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ
14 τοῦ πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν. Καὶ ἡμεῖς τε-
θεάμεθα καὶ μαρτυροῦμεν, ὅτι ὁ πατὴρ ἀπέσταλκε
τὸν υἱὸν σωτῆρα τοῦ κόσμου.

Εἴπομεν καὶ πρὸ τούτου, ὡς ἔθος τῷ μακαρίῳ τούτῳ τὰ αὐτὰ περὶ τῶν αὐτῶν ἀναλαμβάνειν, τοῦ τε ἕξιν βούλεσθαι τῶν λεγομένων τοῖς μαθητευομένοις περιποιεῖν, καὶ ἐπὶ τὸ τρανώτερον τὸν λόγον ἄγειν καὶ τελειώτερον· ἑτέρως γὰρ καὶ ἑτέρως ἐπιχειρῶν ἀπὸ τῶν ἐν τῷ πράγματι ἐνθεωρουμένων, καὶ οἷον τὸ ἐλλιπὲς τοῦ λόγου ἀναπληρῶν, τελεωτάτην τὴν τῶν λεγομένων ποιεῖται ἀπόδειξιν. Κατὰ ταύτην καὶ νῦν τὴν ἀγωγὴν χρώμενος τῷ λόγῳ, φησί· *Θεὸν οὐδεὶς πώποτε τεθέαται.* Ἐπεὶ γὰρ περὶ τῆς ἀγάπης, τῆς εἰς τοὺς ἀδελφούς, ποιούμενος τοὺς λόγους, τὸν θεὸν εἰς ὑπόδειγμα προήγαγε, δόντα τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ διὰ τὴν περὶ ἡμᾶς ἀγάπην εἰς θάνατον· ἀκόλουθον δὲ ἦν εἰπεῖν τινα· Καὶ πόθεν τοῦτο λέγεις περὶ πραγμάτων ἀθεάτων καὶ ἀνεφίκτων; καὶ διαβεβαιοῖς ἡμᾶς, οἷς μήπω τις ἔγνωκες; Συντρέχων οὖν τοῖς οὕτω λέγουσι, φησὶ καὶ αὐτὸς· Ὅτι θεὸν μὲν οὐδεὶς ἑώρακε πώποτε, σύμφημι καὶ αὐτός· ἀλλ' ἐκ τῆς εἰς ἀλλήλους ἀγάπης γινώσκομεν, ὅτι ὁ θεὸς ἐν ἡμῖν ἐστί. Καὶ καλῶς τοῦτο λέγει· πολλὰ γὰρ τῶν ἀθεάτων ἡμῖν ἐκ τῶν ἐνεργειῶν, ὅτι εἰσί, καταλαμβάνομεν. Λμέλει ὥσπερ οὐδὲ ψυχήν τις ἑώρακεν, ἀλλ' ἐκ τῶν ἐνεργειῶν γοῦν αὐτῆς καὶ τῶν κινημάτων κατανοεῖ, ὡς ἐνυπάρχει ἡμῖν· οὕτω καὶ τὴν εἰς ἡμᾶς αὐτοῦ ἀγάπην, ὡς διά τινος κινήσεως καὶ ἐνεργείας γινώσκομεν. Εἰ δὲ τοῦτο οὐκ ἔξω τοῦ εἰκότος, οὐδὲ ὁ θεῖος οὗτος ἀνὴρ παρὰ τὸ εἰκὸς ἐκ τῆς ἐνεργείας εἶναι τὸν θεὸν καὶ ἐν ἡμῖν δείκνυσι. Καὶ τίς ἡ ἐνέργεια; Ἡ εἰς τοὺς πλησίον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡμῶν καθαρὰ καὶ ἄδολος ἀγάπη. Αὕτη γὰρ καὶ ἐνεργὴς καὶ ἀνελλιπὴς ἐν τῷ καθαρὰ δηλονότι εἶναι. Τοῦτο τὸ γνώρισμα τῆς τε ἡμῶν ἐν αὐτῷ μονῆς, καὶ τῆς ἐν ἡμῖν ἐκείνου, καὶ τοῦτό φησιν, *ὅτι ἐκ τοῦ πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν*· ὁ γὰρ καθαρὸς καθαρὰ καὶ ἄχραντα παντὸς ῥύπου χαρίζεται. Ἐπεὶ οὖν διὰ τῆς καθαρᾶς ἀγάπης αὐτῷ κοινωνοῦμεν, ἐκ τούτου καὶ ἡμεῖς, φησὶν, οἱ κατὰ σάρκα τεθεαμένοι, αὐτὸν ἔγνωμεν, καὶ μαρτυροῦμεν, *ὅτι ὁ πατὴρ ἀπέσταλκεν τὸν υἱὸν αὐτοῦ σωτῆρα τοῦ κόσμου*. Ἀλλὰ καὶ πρὸς τῇ ἡμετέρᾳ γνώσει, καὶ αὐτὸς ἐξηγήσατο, τελειώτερον ἡμᾶς τῇ τοιαύτῃ ἐμβιβάζων γνώσει, ποτὲ μὲν λέγων· *Ἐξῆλθον ἀπὸ τοῦ πατρὸς, καὶ ἐλήλυθα εἰς τὸν κόσμον* (α)· τοῦτο περὶ τοῦ καταπέμψαι ὑπὲρ τῆς ἡμετέρας ἀγάπης ἀπ' οὐρανοῦ τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ εἰς τὸν κόσμον. Καὶ δι' ἑτέρων δὲ πάλιν τρανότερον· *Τοσοῦτον γάρ*, φησιν, *ἠγάπησεν ὁ θεὸς τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ μὴ ἀπόληται* (β)· καὶ· *Οὐκ ἦλθον, ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον* (γ). Ἔχομεν τοίνυν καὶ ἀπὸ τῆς αὐτοψίας αὐτῆς, φησι, καὶ ἀπὸ τῆς τοῦ μονογενοῦς ἐξηγήσεως, τοῦ ὄντος εἰς τὸν κόλπον τοῦ πατρὸς, ὡς ἐν εὐαγγελίοις εἴρηται (δ), καὶ ἀπὸ τῆς ἐνεργείας διὰ τῆς εἰς ἀλλήλους ἀγάπης, ὅτι ὁ θεὸς ἐν ἡμῖν, καὶ ἐκ τοῦ πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν, καὶ κοινωνοῦμεν αὐτῷ.

15 Ὃς ἂν ὁμολογήσῃ, ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ
θεοῦ, ὁ θεὸς ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν τῷ θεῷ.
16 Καὶ ἡμεῖς ἐγνώκαμεν καὶ πεπιστεύκαμεν τὴν ἀγά-
πην, ἣν ἔχει ὁ θεὸς ἐν ἡμῖν. Ὁ θεὸς ἀγάπη ἐστί,
καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ θεῷ μένει, καὶ ὁ
17 θεὸς ἐν αὐτῷ. Ἐν τούτῳ τετελείωται ἡ ἀγάπη

(α) Ἰωαν. ιϛ', 28. (β) Ἰωαν. Γ', 16. (γ) Ἰωαν. Γ', 17.
(δ) Ἰωαν. Α', 18.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μεθ' ἡμῶν, ἵνα παῤῥησίαν ἔχωμεν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ὅτι, καθὼς ἐκεῖνός ἐστι, καὶ ἡμεῖς ἐσμὲν
18 ἐν τῷ κόσμῳ τούτῳ. Φόβος οὐκ ἔστιν ἐν τῇ ἀγάπῃ, ἀλλ' ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον· ὅτι ὁ φόβος κόλασιν ἔχει· ὁ δὲ φοβούμενος, οὐ τετελείωται ἐν τῇ ἀγάπῃ.

Ὃς ἂν ὁμολογήσῃ, ὅτι Ἰησοῦς ἐστὶν ὁ υἱὸς τοῦ θεοῦ.] Τοῦτο πρὸς τὸ πρὸ βραχέος εἰρημένον ἀναφέρεται, τὸ, ὅτι· *Πᾶν πνεῦμα, ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα.* Ἐπεὶ γὰρ ἱκανῶς ἀπέδειξεν, ὅτι καὶ τέκνα εἰσὶ θεοῦ, καὶ ὁ θεὸς ἐν αὐτοῖς μένει· (ἀπέδειξε δὲ τοῦτο διὰ τῆς εἰς ἀλλήλους ἀγάπης, ἥτις, ὅτι ἐδόθη αὐτοῖς Πνεῦμα ἅγιον, ἤτοι, πνευματικὰ χαρίσματα, βεβαιοῦται·) ἐπαναφέρει πάλιν ἐπ' ἐκεῖνα τὸν λόγον, καί φησιν· *Ὃς ἐὰν ὁμολογήσῃ, ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ, ὁ θεὸς ἐν αὐτῷ μένει·* τοιοῦτό τι λέγων· Εἴρηκα ἀνωτέρω· Πᾶν πνεῦμα ὁμολογοῦν Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ θεοῦ εἶναι· προϊὼν δέ μοι ὁ λόγος, φησὶ, καὶ ἕτερόν τι ἐξέφηνε, καὶ τοῦτο τοίνυν προτίθημι· Ὅτι οἱ ὁμολογοῦντες ταῦτα, καὶ μένον ἔχουσιν ἐν ἑαυτοῖς τὸ πνεῦμα, ἤτοι τὸν θεὸν, καὶ τὰ τούτου πνευματικὰ χαρίσματα, καὶ αὐτοὶ ἐν τῷ θεῷ μένουσι. Καὶ τοῦτο οὐχ ὡς ἔτυχε φαμὲν, ἀλλὰ βεβαίᾳ γνώσει καὶ πίστει, διὰ τῆς εἰς ἀλλήλους ἀγάπης. *Ἀγάπης* δὲ μνημονεύσας, ἐπιφέρει καὶ πάντα τὰ περὶ ἀγάπης, ἅπερ φθάσας εἴρηκε, πίστιν πολλὴν τῷ περὶ ἀγάπης παρεχόμενος λόγῳ. *Ἐν τούτῳ τετελείωται ἡ ἀγάπη.*] Βούλομαι, φησιν, ἡμᾶς τετελειῶσθαι ἐν τῇ ἀγάπῃ, ἵνα παῤῥησίαν ἔχωμεν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, πρὸς τὸν ἐνανθρωπήσαντα δηλονότι, ὅτι καὶ αὐτός ἐστιν ὁ κρίνων κατὰ τὴν αὐτοῦ ἀπόφανσιν, τήν· Ὅτι *ὁ πατὴρ κρίνει οὐδένα· ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ* (α). Καὶ ὅτι πρὸς τὸν ἐνανθρωπήσαντα ἡ παῤῥησία

(α) Ἰωαν. Ε', 22.

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

ἡμῖν ἔσται, ἐδήλωσε διὰ τῶν ἑπομένων, εἰπών· *Ὅτι, καθὼς ἐκεῖνός ἐστι, καὶ ἡμεῖς ἐσμὲν ἐν τῷ κόσμῳ τούτῳ·* τοῦτο λέγων· Προαποδεδειγμένου, ὅτι ὁ θεὸς ἐν ἡμῖν, καὶ ἡμεῖς ἐν αὐτῷ, τὸ τέλειόν, φησι, καὶ ἑαυτοῖς ἐπιμαρτυρόμεθα τῆς ἀγάπης. Ὡς οὖν ἐκεῖνος ἦν ἐν τῷ κόσμῳ ἄμωμος καὶ καθαρός· διὸ καὶ ἔλεγεν· *Ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ εὑρήσει οὐδέν* (α)· οὕτω καὶ ἡμεῖς, φησι, ἐσόμεθα ἐν τῷ κόσμῳ. Τὸ γὰρ, *Ἐστὶ*, καὶ, *Ἐσμὲν*, ἤτοι κατὰ ἀντιχρονίαν κεῖται, ὡς τῇ Γραφῇ ἔθος, ἢ βαθύτερόν τι σημαίνει διὰ τούτου. Εἴρηκε γὰρ πολλάκις, ὅτι *ἡμεῖς ἐν τῷ θεῷ*, καὶ *ὁ θεὸς ἐν ἡμῖν*. Εἰ οὖν τοῦτο, ἁγνὸς δὲ ἐκεῖνός ἐστιν ἐν ἡμῖν, τουτέστιν, ἁγνείας ἡμῖν ὑφηγητὴς καὶ ὕπαρχος· οὕτω καὶ ἡμεῖς αὐτὸν περιφέρωμεν ἐν τῷ κόσμῳ τούτῳ ἁγνῶς καὶ καθαρῶς, τεθνεῶτες τῷ κόσμῳ, *πάντοτε τὴν νέκρωσιν αὐτοῦ ἐν τῷ σώματι ἡμῶν περιφέροντες* (β). Οὕτω δὲ διατεύοντές, φησι, παῤῥησιασόμεθά τε πρὸς αὐτὸν, καὶ φόβου παντὸς ἐκτὸς τότε ἐσόμεθα· τετελειωμένοι γὰρ ἐν τῇ ἀγάπῃ διὰ τῶν ἀγαθῶν ἔργων, πάῤῥω τοῦ φόβου ἐσόμεθα. Καὶ ἐπιφέρει τούτου πιστωτικὸν, τὸ· *Ὅτι ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον*. Ποῖον δὲ *φόβον*; Αὐτός φησιν, ὅτι τὸν κολαστικόν· ἔστι γάρ τινα καὶ ἀγαπᾶν διὰ φόβον τοῦ κολασθῆναι· οὗτος δὲ ὁ φόβος *οὐ τετελείωται*, τουτέστιν, οὐ τῆς τελείας ἐστὶν ἀγάπης. Ταῦτα εἰρηκὼς περὶ τῆς τελείας ἀγάπης, καὶ καταναγκαστικῶς δείκνυσιν, ὡς ὀφείλομεν ἀγαπᾶν τὸν θεὸν, ὅτι καὶ *αὐτός*, φησι, *πρῶτος ἠγάπησεν ἡμᾶς*. Ὀφείλομεν δὲ τὸν προκατάρχοντα ἡμῖν ἀγαθοῦ, σπουδαιότερον πρὸς τὴν ἀνταμοιβὴν τούτου ἐπείγεσθαι καὶ ἡμεῖς, ὥσπερ ἀνωτέρω διεξοδικώτερον ἡμῖν εἴρηται. Ἐζήτησαν δέ τινες, πῶς, τοῦ Δαυὶδ λέγοντος· *Φοβήθητε τὸν Κύριον πάντες οἱ ἅγιοι αὐτοῦ· ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν* (γ)· νῦν οὗτός φησιν· *Ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον*;

(α) Ἰωαν. ΙΔ', 30. (β) Β' Κορ. Δ', 10. (γ) Ψαλμ. ΑΓ', 10.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐ δή που γὰρ οἱ ἅγιοι τοῦ θεοῦ τετελε
οἷς τὸ φοβεῖσθαι προστάσσεται; Φαμὲν
ὁ φόβος· ὁ μὲν *προκαταρκτικὸς*, ὃς καὶ
τὴν κόλασιν, τοῦ προσιόντος θεῷ φοβουμ
μένα αὐτῷ δεινὰ, καὶ διὰ ταῦτα προσιό
καὶ οὗτος μὲν ὁ προκαταρκτικός· ὁ δὲ
μὲν τοιούτου ἀπήλλακται· διὸ καὶ *ἀγνὸ*
νων εἰς αἰῶνα αἰῶνος· *Ὁ φόβος γάρ,*
διαμένων εἰς αἰῶνα αἰῶνος (α)· τοῦ
ἀγνοῦ, οὔτε μονίμου ὄντος, ἀλλ' ἐν τῇ
ποντος. Τίς οὖν, καὶ διὰ τί ὁ τελειωτι
τελείως εἰς ἀγάπην ἀναληφθῆναι σπουδ
λείπειν τι αὐτῷ, ὧν εἰκὸς τὸν σφόδρα ἀγ
ἀγαπωμένῳ.

19 Ἡμεῖς ἀγαπῶμεν αὐτόν, ὅτι α
20 πησεν ἡμᾶς. Ἐάν τις εἴπῃ· Ὅτ
καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψ
μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτο
21 θεὸν, ὃν οὐχ ἑώρακε, πῶς δύν
ταύτην τὴν ἐντολὴν ἔχομεν ἀπ'
πῶν τὸν θεὸν, ἀγαπᾷ καὶ τὸν ἀ

Ὁ γνησίως ἀγαπῶν τὸν θεὸν, οὐ διὰ
λάσεων ποιεῖ τὰ θεάρεστα, ἀλλὰ τῷ τῆ
τῇ ἀγάπῃ τῇ πρὸς τὸν θεὸν, οὐ μὴν δὲ
βον ἑαυτὸν ἀσφαλιζόμενος, ὅς ἐστιν ἔρω
λιν ὁ φόβῳ τοῦ μὴ ἐμπεσεῖν εἰς κόλασιν
τῷ προτέρῳ· διὸ ἐπάγει· *Ὁ φόβος κόλ*
εἴπῃ· *Ὅτι ἀγαπῶ τὸν θεόν.*] Διαβιβασ
πην, ἀπό τε τοῦ θεοῦ πρὸς ἡμᾶς, καὶ ἡ
ταναγκαστικῶς ἀποδείξας, καὶ τοῦτο πρ

(α) Ψαλμ. ΙΗ, 10.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὕτως ὁ θεὸς ἠγάπησεν ἡμᾶς, καὶ ἡμεῖς ὀφείλομεν ἀλλήλους ἀγαπᾶν· νῦν αὖθις πρὸς τοῦτο ἀναφέρων τὸν λόγον, φησίν, ὅτι· Ἐπειδὴ χρεωστικῶς ἡμῖν ἀπόκειται τὸν ἀδελφὸν ἀγαπᾶν, ἐξ ὑποδείγματος τῆς τοῦ θεοῦ πρὸς ἡμᾶς ἀγάπης, ἣν καὶ ἀντεισφέροντες καὶ ἀνταποδιδόντες θεῷ, τὴν ὀφειλὴν ἀποπληροῦντες ἐσόμεθα· χρὴ ἀνυπερθέτως τὸν ἀδελφὸν ἀγαπᾶν, εἰς τελεώτατον γνώρισμα τῆς πρὸς θεὸν ἀγάπης. Εἰ γὰρ μὴ τοῦτο, οὐδὲ ἡ πρὸς θεὸν ἀγάπη ἡμῶν σωθείη, ὡς τῆς ὀφειλῆς τῆς πρὸς ἀλλήλους διαπιπτούσης, ἣν ἐκ τῆς πρὸς θεὸν ἀγάπης ἐσχήκαμεν. *Ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφόν.*] Ἐπιφέρει δὲ καὶ τούτου ἐναργέστατον λόγον εἰς ἔλεγχον τῶν ἐπιχειρούντων νοθεύειν τὴν θείαν ἀγάπην, τοιοῦτόν τι λέγων· Ἡ ἀγάπη πάντως ἐκ τῆς πρὸς ἀλλήλους συνίσταται συνηθείας· ἡ δὲ συνήθεια ἐπόμενον ἔχει τὸ ὁρᾶν τὸν ἀδελφὸν αὐτοῦ, καὶ ταύτῃ μάλιστα συνδεῖσθαι πρὸς τὴν ἀγάπην αὐτοῦ· ἐφελκυστικὸν γὰρ ὅρασις πρὸς ἀγάπην. Εἰ δὲ τοῦτο, ὁ τὸ μᾶλλον ἐφελκόμενον εἰς ἀγάπην παρ' οὐδὲν ποιούμενος, καὶ τὸν ἀδελφόν, ὃν ἑώρακε, μὴ ἀγαπῶν, πῶς τὸν θεόν, ὃν οὐχ ἑώρακε, φάσκων ἀγαπᾶν, ὃς μηδὲ συνήθης ἐστὶν αὐτῷ, μηδὲ αἰσθήσει μηδεμιᾷ ληπτός, ἀληθεύων φωραθείη; Εἰ τοῦτο οὖν τις ἀναισθυόμενος λέγοι, φησὶ, τὸν μὲν θεὸν ἀγαπᾶν, μισεῖν δὲ τὸν ἀδελφὸν, οὐ πρὸς οἷς τὴν ἀγάπην τὴν θείαν νοθεύει, ἔτι καὶ τῆς ἐντολῆς αὐτοῦ παραβάτης εὑρίσκεται; Ποίας; Τῆς λεγούσης· *Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις* (α). Ὁ οὖν τὸν θεὸν ἀγαπῶν, καὶ τούτου μαθητὴς διϊσχυριζόμενος εἶναι, ἀγαπᾷ

ΚΕΦΑΛΑΙΟΝ ς'.

Περὶ θεολογίας υἱοῦ ἐν δόξῃ πατρὸς, καὶ περὶ νίκης τῆς κατὰ τοῦ πονηροῦ διὰ πίστεως Ἰησοῦ Χριστοῦ εἰς ζωήν.

Κεφ. V. 1 Πᾶς ὁ πιστεύων, ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς, ἐκ τοῦ θεοῦ γεγέννηται· καὶ πᾶς ὁ ἀγαπῶν τὸν γεννήσαντα, ἀγαπᾷ καὶ τὸ γεγεννημένον ἐξ 2 αὐτοῦ. Ἐν τούτῳ γινώσκομεν, ὅτι ἀγαπῶμεν τὰ τέκνα τοῦ θεοῦ, ὅταν τὸν θεὸν ἀγαπῶμεν, καὶ τὰς 3 ἐντολὰς αὐτοῦ τηρῶμεν. Αὕτη γάρ ἐστιν ἡ ἀγάπη τοῦ θεοῦ, ἵνα τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν· καὶ αἱ 4 ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσίν· ὅτι πᾶν τὸ γεγεννημένον ἐκ τοῦ θεοῦ, νικᾷ τὸν κόσμον· καὶ αὕτη ἐστὶν ἡ νίκη ἡ νικήσασα τὸν κόσμον, ἡ πίστις ἡ- 5 μῶν. Τίς ἐστιν ὁ νικῶν τὸν κόσμον, εἰ μὴ ὁ πιστεύων, ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ;

Ταῦτα εἰρηκὼς, καὶ ἑτέροις πάλιν πιστοῦται τὸν λόγον, οὕτω πως κατασκευάζων· Εἰ ἐντολὴν ἐλάβομεν ἀπὸ τοῦ διδασκάλου, ἀλλήλους ἀγαπᾷν, πάντως, εἰ πιστεύομεν, ὅτι ὁ διδάσκαλος ἡμῶν Ἰησοῦς ἐστὶν ὁ Χριστὸς, (ὃς ἐν τούτῳ ἐςὶ Χριςὸς, ἐν τῷ θεὸς εἶναι καὶ ἄνθρωπος,) φυλάξωμεν καὶ τὰς ἐντολὰς αὐτοῦ, ὡς διδασκάλου, ὡς θεοῦ. Πιστεύοντες δὲ θεὸν αὐτὸν εἶναι, υἱοὶ αὐτοῦ χρηματίζομεν, καθὼς καὶ ἐν εὐαγγελίοις εἴρηται· *Ὅσοι δὲ ἔλαβον αὐτὸν*, τουτέστιν, ὅσοι ἐπίστευσαν εἰς αὐτὸν, *ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι* (α). Εἰ γεγεννήμεθα δὲ ἐξ αὐτοῦ, πάντως καὶ τὸ καθῆκον τῷ γεγεννηκότι ἐπιδειξόμεθα. Τί τοῦτο; Τὸ ἀγαπᾷν τὸν γεγεννηκότα, φύσει τούτου τοῖς τέκνοις πρὸς τοὺς πατέρας ἑπακολουθοῦντος· ἐπεί, φησι, πάντες οἱ πεπιστευκότες, ἐξ αὐτοῦ γεγεννήμεθα· εἰ

(α) Ἰωαν. Α', 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ ἐξ αὐτοῦ γεγεννήμεθα, ὀφειλέται ἐσμὲν καὶ διὰ τοῦτο ἀλλήλους ἀγαπᾷν, καὶ ὡς ἀδελφοί, καὶ ὡς ἐξ αὐτοῦ γεγεννημένοι. Ἐπιφέρει καὶ τούτου πίστιν, ὡς *ὁ ἀγαπῶν τὸν γεννήσαντα, ἀγαπᾷ καὶ τὸν γεγεννημένον ἐξ αὐτοῦ*. Εἶτα πάλιν ἀντιστρόφως χρῆται τῷ λόγῳ, καί φησιν· Ὅτι ἡ πρὸς τοὺς ἀδελφοὺς, ἤτοι τὰ τέκνα τοῦ θεοῦ, ἀγάπη, τὴν εἰς τὸν τεκόντα ἀγάπην βεβαιοῖ. Ἄνω μὲν γὰρ ἔλεγεν· *Ὁ ἀγαπῶν τὸν θεὸν, καὶ τὸν ἀδελφὸν αὐτοῦ ἀγαπᾷ*· νῦν δὲ ἀντιστρέψας, λέγει· *Ὅτι ὁ ἀγαπῶν τὰ τέκνα τοῦ θεοῦ, καὶ τὸν θεὸν ἀγαπᾷ*· καὶ δεῖγμα τῆς εἰς θεὸν ἀγάπης, τὴν εἰς τὸν ἀδελφὸν ἀγάπην τίθεται. Εἶτα τὴν εἰς θεὸν ἀγάπην, καὶ τῶν ἐντολῶν αὐτοῦ ποιητικήν φησι, καλῶς τοῦτο λέγων· *Ὁ γὰρ ἀγαπῶν με, αὐτός*, φησιν ὁ πατὴρ, *τὰς ἐντολάς μου τηρεῖ* (α). *Αὕτη γάρ ἐστιν ἡ ἀγάπη τοῦ θεοῦ*.] Ἐν ὑπερβατῷ ἀκουστέον τὸ προκείμενον οὕτως· Αὕτη γάρ ἐστιν ἡ ἀγάπη, ἵνα τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν· ὅτι πᾶν τὸ γεγεννημένον ἐκ τοῦ θεοῦ νικᾷ τὸν κόσμον. Τὸ δὲ, *Βαρεῖαι οὐκ εἰσὶ*, παρεμβέβληται. *Καὶ αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσίν*.] Οὐκ εἶπεν, ὥσπερ ὁ Χριστὸς, Ὅτι ὁ ζυγός μου ἐλαφρός ἐστι (β), καὶ αὐτὸς, Ὅτι αἱ ἐντολαὶ ἐλαφραί εἰσιν, ἀλλ', ὅτι *βαρεῖαι οὐκ εἰσί*· τῷ γὰρ ἀναγομένῳ κατ' ἀρετὴν, καὶ τὰ πάνυ βαρέα κοῦφα λογίζεται· ὥσπερ τῷ ἀποβεβληκότι τὴν πάντα κατορθοῦσαν τὰ καλὰ εὐρωστίαν, καὶ τὰ πάνυ ἐλαφρὰ βαρέα λογίζεται. Ἐπειδὴ γὰρ ἐδόκει τισὶ, τὰς ἐντολὰς τοῦ θεοῦ βαρείας εἶναι, ἅτε θεοῦ, διὰ τοῦτό φησιν, ὅτι *αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσί*. Τί γὰρ βαρὺ τὸ ἀγαπᾷν τὸν ἀδελφόν; Ἀλλὰ καὶ τὸ τὸν ἐν φυλακῇ ἐπισκέπτεσθαι τί βαρύ; Οὐ γὰρ ἐξαιρεῖσθαί φησι τὸν ἐν φυλακῇ, ὃ δυσχερὲς, ἀλλ' ἐπισκέπτεσθαι μόνον· οὐδὲ τὸν ἀσθενοῦντα ἀπαλλάττειν τῆς νόσου, ἀλλὰ μόνον ἐπισκέπτεσθαι· οὐδὲ τῷ πεινῶντι, πολυτελῆ τράπεζαν παρατιθέναι κελεύει, ἢ τῷ γυμνῷ

(α) Ἰωαν. ΙΔ', 21. (β) Ματθ. ΙΑ', 30.

Δημόσια Κεντρική Βιβλιοθήκη Θεσσαλονίκης

ἱμάτιον διδόναι περιττῇ ποικιλίᾳ κατεσκευασμένον· ἀλλὰ τὰ τὴν ἀναγκαίαν χρείαν παρεχόμενα, ἣν ὁ πεινῶν καὶ ὁ γυμνητεύων ἐπιζητεῖ. Οὕτω τὰ περὶ τούτων διοικησάμενος, ἐπιτίθησι τούτοις τοῖς ἤδη εἰρημένοις καὶ ἕτερον ἐπακτικὸν πρὸς μεταχείρισιν τῆς ἀγάπης. Τί τοῦτο; Τὴν νίκην. Φησὶ γὰρ, ὅτι διὰ τῆς πρὸς τὸν ἀδελφὸν ἀγάπης, τέκνα συνιστῶντες ἑαυτοὺς τοῦ θεοῦ, ἔχετε καὶ τοῦτο ἤδη τοῦ κατορθώματος τούτου ἐπακολούθημα, τὸ τὸν κόσμον νικᾶν· τὸ *γὰρ γεγεννημένον ἐκ τοῦ θεοῦ, νικᾷ τὸν κόσμον.* Εἶτα παρατίθησι καὶ τὴν νίκην, καὶ τὸ, δι' ὃ ἡ νίκη, τὴν πίστιν ἀμφότερον εἶναι λέγων, δηλονότι τὴν πρὸς τὸν θεὸν, ἥτις καὶ ἐκ τοῦ θεοῦ γεννηθεῖσα, ἐνίκησε πᾶσαν ἀπιστίαν, καὶ ἀπήλασε· καὶ οὔτε Ἰουδαῖος, οὔτε Ἕλλην, οὔτε αἱρετικὸς δύναταί τι πρὸς αὐτήν. Καὶ ἐπειδὴ ἡ πίστις οὐ ψιλὴ νικᾷ, ἀλλὰ μετὰ τοῦ ἔχοντος αὐτὴν, διὰ τοῦτο προστίθησι· *Καὶ τίς ἐστιν ὁ νικῶν τὸν κόσμον, εἰ μὴ ὁ πιστεύων, ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ;* Καὶ τίς ἐστὶν Ἰησοῦς οὗτος;

6 Οὗτός ἐστιν ὁ ἐλθὼν δι' ὕδατος καὶ αἵματος, Ἰη-
σοῦς ὁ Χριστός· οὐκ ἐν τῷ ὕδατι μόνον, ἀλλ' ἐν
τῷ ὕδατι καὶ τῷ αἵματι· καὶ τὸ πνεῦμά ἐστι τὸ
7 μαρτυροῦν· ὅτι τὸ πνεῦμά ἐστιν ἡ ἀλήθεια. Ὅτι
8 τρεῖς εἰσιν οἱ μαρτυροῦντες, τὸ πνεῦμα, καὶ τὸ ὕδωρ,
9 καὶ τὸ αἷμα· καὶ οἱ τρεῖς εἰς τὸ ἕν εἰσιν (1). Εἰ τὴν
μαρτυρίαν τῶν ἀνθρώπων λαμβάνομεν, ἡ μαρτυρία
τοῦ θεοῦ μείζων ἐστίν· ὅτι αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ
10 θεοῦ, ἣν μεμαρτύρηκε περὶ τοῦ υἱοῦ αὐτοῦ. Ὁ πιστεύων εἰς τὸν υἱὸν τοῦ θεοῦ, ἔχει τὴν μαρτυρίαν ἐν ἑαυτῷ· ὁ μὴ πιστεύων τῷ θεῷ, ψεύστην πεποίηκεν αὐτὸν, ὅτι οὐ πεπίστευκεν εἰς τὴν μαρτυρίαν, ἣν

(1) Παρ' ἄλλοις «Ὅτι τρεῖς εἰσιν οἱ μαρτυροῦντες ἐν τῷ οὐρανῷ, ὁ Πατὴρ, ὁ Λόγος, καὶ τὸ ἅγιον Πνεῦμα· καὶ οὗτοι οἱ τρεῖς ἕν εἰσι. Καὶ τρεῖς εἰσιν οἱ μαρτυροῦντες ἐν τῇ γῇ, τὸ πνεῦμα, καὶ τὸ ὕδωρ, καὶ τὸ αἷμα· καὶ οἱ τρεῖς εἰς τὸ ἕν εἰσιν.» Ἀλλ' ἀφήκαμεν τὸ κείμενον, ὡς εὑρήκαμεν παρὰ τῷ Οἰκουμενίῳ, καθ' ὃ καὶ ἡ ἑρμηνεία.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

11 μεμαρτύρηκεν ὁ θεὸς περὶ τοῦ υἱοῦ αὐτοῦ. Καὶ αὕτη ἐστὶν ἡ μαρτυρία, ὅτι ζωὴν αἰώνιον ἔδωκεν ἡμῖν ὁ θεὸς, καὶ αὕτη ἡ ζωὴ ἐν τῷ υἱῷ αὐτοῦ ἐστιν.
12 Ὁ ἔχων τὸν υἱὸν, ἔχει τὴν ζωήν· ὁ μὴ ἔχων τὸν υἱὸν τοῦ θεοῦ, τὴν ζωὴν οὐκ ἔχει.

Ἐπειδὴ τεκνώσεως ἐμνήσθη θεοῦ καὶ τόκου, εἰπὼν, *Πᾶς τὸ γεγεννημένον ἐκ τοῦ θεοῦ*· ταῦτα δὲ διὰ τοῦ ἁγίου βαπτίσματος ἡμῖν περιγίνεται, διὰ τοῦτό φησιν· *Οὗτός ἐστιν ὁ ἐλθὼν δι' ὕδατος καὶ αἵματος, Ἰησοῦς ὁ Χριστός.* Καὶ τίνος χάριν ἦλθεν; Ἀναγεννῶν ἡμᾶς καὶ υἱοὺς ποιῶν θεοῦ· καὶ γὰρ τοῦτο ὡς ἑπόμενον τῷ λόγῳ καὶ ἐξακούεται, ἵνα ᾖ οὕτω· *Καὶ πᾶς τὸ γεγεννημένον ἐκ τοῦ θεοῦ, νικᾷ τὸν κόσμον.* Καὶ πῶς ἐγεννήθη; Δι' ὕδατός, φησι, καὶ αἵματος· ὁ γὰρ ἐλθὼν Ἰησοῦς ὁ Χριστὸς, δι' ὕδατος ἀναγεννᾷ καὶ αἵματος. Προστίθησι δὲ πάλιν ἐπαναλαμβάνων τὸν λόγον· *Οὐκ ἐν τῷ ὕδατι, φάσκων, μόνον, ἀναγεννῶν δηλονότι, ἀλλ' ἐν τῷ ὕδατι καὶ τῷ αἵματι.* Βούλεται γὰρ πρῶτον δεῖξαι τοῦ υἱοθετοῦντος ἡμᾶς Χριστοῦ τὴν ἀνάδειξιν· ὅτι ὁ ἐν αὐτῷ ἄνθρωπος πρῶτος υἱοθετηθεὶς ὑπὸ θεοῦ, καὶ ἡμῖν διὰ τῆς ἑαυτοῦ υἱοθεσίας ἐχαρίσατο τὸ τοιοῦτον ἀξίωμα· ὃ καὶ κατὰ καιροὺς τρεῖς ἐξεφάνθη· ἐπὶ τοῦ βαπτίσματος ἐν τῷ Ἰορδάνῃ, ἄνωθεν τοῦ πατρὸς μαρτυροῦντος τὸν βαπτιζόμενον *υἱὸν ἀγαπητόν* (α). Τίς δέ; Ὁ ἐμβαίνων [εἰς] τὸ ὕδωρ, ἢ ὁ συνειλημμένος τῷ θεῷ Λόγῳ ἄνθρωπος, ὁ φαινόμενος τῷ κρυπτῷ· τούτῳ γὰρ καὶ ἔδει τὴν μαρτυρίαν γενέσθαι. *Διὰ τοῦ ὕδατος* οὖν, τουτέστιν, ἐν τῷ δι' ὕδατος βαπτίσματι, ἐξεφάνθη υἱὸς θεοῦ ὁ Ἰησοῦς διὰ τῆς τοῦ πατρὸς μαρτυρίας. Διὰ δὲ τοῦ *αἵματος*, ὅτε μέλλων σταυροῦσθαι ἔλεγε· *Δόξασόν με σὺ, πάτερ*· καὶ ἠνέχθη ἡ φωνή· *Καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω*, ἣν καὶ βροντὴν ἐνόμισαν οἱ ἀκούσαντες (β). Διὰ δὲ τοῦ *πνεύματος*, ὅτε ὡς θεὸς ἀνέστη

(α) Ματθ. Γ', 17. (β) Ἰωαν. ΙΒ', 28. 29.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκ νεκρῶν· θεοῦ γὰρ τοῦτο μάνου λοιπὸν, τὸ ἀνιστᾷν ἑαυτόν· τῇ δὲ τοῦ *πνεύματος* φωνῇ σημαίνεται ὁ θεός· ἐπεὶ καὶ *πνεῦμα ὁ θεός* (α). Τριῶν οὖν μαρτυρούντων, τοῦ βαπτίσματος, τοῦ σταυροῦ, τῆς ἀναστάσεως, τὴν τοῦ Ἰησοῦ υἱοθεσίαν, ἀναμφίλεκτος ἡ τοῦ Κυρίου υἱοθεσία· δι' ἧς υἱοθεσίας, καὶ ἡμῖν, ὡς ἀπαρχὴ τοῦ ὅλου ἀνθρωπείου φυράματος ὢν, ἐχαρίσατο τὸ υἱοὺς εἶναι θεοῦ. Καὶ τὰ τρία ταῦτα εἰς ἕνα τὸν Χριστόν εἰσι· τοῦτο γὰρ σημαίνει διὰ τοῦ εἰπεῖν· *Οἱ τρεῖς εἰς τὸ ἕν εἰσι*, τουτέστιν, εἰς τὴν περὶ τοῦ Χριστοῦ μαρτυρίαν. Ἰστέον δὲ, ὥς τινες τῶν Πατέρων τὸ *Πνεῦμα* οὐ διὰ τὴν ἀνάστασιν τοῦ Χριστοῦ ἐξειλήφασιν, ἀλλ' εἰς τὸν πατέρα, ὅτε ἐν τῷ Ἰορδάνῃ ἐβόησε τό· *Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός*· καθότι καὶ *πνεῦμα*, ὡς προειρήκαμεν, ὁ θεὸς λέγεται. Ταῦτα δὲ εἰπὼν, ἐπιφέρει πίστιν τῶν λεγομένων ἀπὸ τοῦ ἐλάττονος, οὕτως· *Εἰ τὴν μαρτυρίαν τῶν ἀνθρώπων* περί τινος ὁτουοῦν *λαμβάνομεν*, οὐ πολλῷ δικαιότερον λάβοιμεν τὴν ἀπὸ τοῦ θεοῦ, τοῦ μείζονος; Ἡ γὰρ, οὐχὶ αὕτη ἡ μαρτυρία περὶ τοῦ υἱοῦ αὐτοῦ, ἤτοι τοῦ Χριστοῦ, ἀπὸ τοῦ θεοῦ ἐστίν; *Ὁ πιστεύων οὖν εἰς τὸν υἱὸν τοῦ θεοῦ*, ὅτι θεός ἐστιν, ὡς υἱὸς θεοῦ, *ἔχει τὴν μαρτυρίαν ἐν αὐτῷ*, τουτέστιν, ἐν ἑαυτῷ πιστεύων, ὅτι καὶ αὐτὸς υἱοθέτηται διὰ τοῦ υἱοθετηθέντος Ἰησοῦ ὑπὸ θεοῦ. Ὁ μὴ πιστεύων δὲ, δυσὶν ἔνοχός ἐστι κακοῖς· *ἀπιστίας*, ψεύστην ποιῶν τὸν θεόν· ἀλλὰ καὶ ἑαυτὸν ἀποστερῶν υἱοθεσίας, καὶ διὰ τούτου καὶ τῆς *αἰωνίου ζωῆς*, ἣν ἐπηγγείλατο τοῖς υἱοθετουμένοις ὑπ' αὐτοῦ ὁ Χριστὸς, ἣν καὶ αὐτὸς ἔχει ἐν ἑαυτῷ, ὡς ἐν τῷ εὐαγγελίῳ γέγραπται· *Ἐν αὐτῷ ζωὴ ἦν* (β). Ὥστε ὁ ἔχων τὸν υἱὸν διὰ τοῦ *ἁγίου βαπτίσματος*, ἔχει καὶ τὴν ζωήν. *Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθημεν*, τουτέστι, κατὰ τὴν ἐντολὴν αὐτοῦ, *Χριστὸν ἐνεδυσάμεθα* (γ). Ὅστις δὲ μὴ ἔχει τὸν υἱὸν τοῦ θεοῦ διὰ τοῦ βαπτίσματος, οὐδὲ τὴν ζωὴν ἔχει, καὶ νενέκρωται·

(α) Ἰωαν. Δ', 24. (β) Ἰωαν. Α', 4. (γ) Γαλ. Γ', 27.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νεκροὺς γὰρ παραλαμβάνων ἡμᾶς τοῖς παραπτώμασιν, ἐγείρει διὰ τοῦ ἁγίου βαπτίσματος. Πῶς; Ὡς πολλάκις εἴρηται, ὅτι ὁ συνταφεὶς Χριστῷ διὰ τῆς ἐν τῷ βαπτίσματι καταδύσεως, οὗτος νεκρός ἐστι τῷ κόσμῳ, ἤτοι, ταῖς κοσμικαῖς ἐπιθυμίαις, καὶ οὐκέτι ἑαυτῷ, ἀλλὰ Χριστῷ ζῇ, κατὰ τὰς ἐντολὰς αὐτοῦ ἐν καινότητι ζωῆς περιπατῶν, καὶ παρείσδυσιν τῇ ἁμαρτίᾳ μηκέτι διδούς (α).

13 Ταῦτα ἔγραψα ὑμῖν τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα
τοῦ υἱοῦ τοῦ θεοῦ, ἵνα εἰδῆτε, ὅτι ζωὴν αἰώνιον
ἔχετε, καὶ ἵνα πιστεύητε εἰς τὸ ὄνομα τοῦ υἱοῦ
14 τοῦ θεοῦ. Καὶ αὕτη ἐστὶν ἡ παῤῥησία, ἣν ἔχομεν
πρὸς αὐτὸν, ὅτι, ἐάν τι αἰτώμεθα κατὰ τὸ θέλημα
15 αὐτοῦ, ἀκούει ἡμῶν· καὶ ἐὰν οἴδαμεν, ὅτι ἀκούει
ἡμῶν, ὃ ἂν αἰτώμεθα, οἴδαμεν, ὅτι ἔχομεν τὰ αἰ-
τήματα, ἃ ᾐτήκαμεν παρ' αὐτοῦ.

Ὡς ἐν ἐπιλόγῳ ἀνακεφαλαιοῦται, καί φησιν· Ἔγραψα ὑμῖν ταῦτα ὡς κληρονόμοις αἰωνίου ζωῆς· οὐκ ἂν γὰρ ταῦτα γραφείη τοῖς μὴ κατ' ἐλπίδα βιοῦσι τῆς αἰωνίου ζωῆς· ὅτι μηδὲ τὰ ἅγια διδόναι τοῖς κυσὶ, μηδὲ τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων ἀξιέπαινον ῥίπτειν (β). Ὡς οὖν κληρονόμοις τῆς αἰωνίου ζωῆς γράφων ταῦτα, ἐπαναλαμβάνει, ὡς εἰρήκαμεν, διὰ βραχέων ὑπομιμνήσκων αὐτοὺς τῶν εἰρημένων ἤδη. Πρῶτον, ὅτι δεῖ πιστεύειν ἀδιστάκτως *εἰς τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ*, τουτέστιν, εἰς τὴν ὑπ' ἐκείνου παραδοθεῖσαν ἡμῖν θεοσέβειαν· τοῦτο γὰρ βούλεται σημαίνειν *τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ*, ὡς φθάνομεν εἰρηκότες· ἧς ὁδοποιὸς ἡ τοῦ ἁγίου δηλαδὴ βαπτίσματος χάρις. Εἶτα, ὅτι σημεῖον ταύτης τῆς ἀδιστάκτου πίστεως οὐδέν ἐστιν ἄλλο ἢ ἡ παῤῥησία, ἣν διὰ τῆς ἀμώμου πίστεως εὑρίσκομεν πρὸς αὐτὸν, ὡς καὶ ἀνωτέρω εἰρήκαμεν. Καὶ πάλιν σημεῖον τῆς τοιαύτης παῤῥησίας, τὸ

(α) Ῥωμ. ς', 3. 4. (β) Ματθ. ζ', 6.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μὴ ἀστοχεῖν πάντων τῶν παρ' ἡμῶν αἰτουμένων τέθεικεν. Ἀλλ' ἐπειδὴ οὐ πάντων τῶν αἰτουμένων πάντες τυγχάνουσιν, οὐδὲ εἰσακούονται εἰς ἃ αἰτοῦσι, προστίθησι τὸ, *κατὰ τὸ θέλημα αὐτοῦ*, ὡς ὅγε παρὰ τὸ θέλημα τοῦ διδασκάλου αἰτῶν, οὐδὲ εἰσακουσθησόμενος, συνῳδὰ τῷ μακαρίῳ Ἰακώβῳ ἀποφαινόμενος· ἐπεὶ καὶ οὗτος· *Αἰτεῖτε*, φάσκει, *καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖτε* (α), οἱονεὶ ἀσυμφόρως ὑμῖν. Ἀντιστρέφων δὲ τὸ τοιοῦτον σημεῖον εἰς σαφέστερον γνώρισμά, φησι· *Καὶ ἐὰν οἴδαμεν, ὅτι εἰσακούει ἡμῶν εἰς πᾶν ὃ ἂν αἰτώμεθα, οἴδαμεν, ὅτι ἔχομεν τὰ αἰτήματα, ἃ ᾐτήκαμεν παρ' αὐτοῦ*, τοιοῦτό τι λέγων· Εἰ κατὰ τὸ θέλημα αὐτοῦ αἰτούμεθα, ἀκούει ἡμῶν· καὶ εἰ ἀκούει ἡμῶν εἰς ὃ ἂν αἰτώμεθα, οἴδαμεν, ὅτι κατὰ τὸ θέλημα αὐτοῦ ποιοῦμεν τὰ αἰτήματα ἡμῶν, καὶ ἔχομεν ἐν ἑαυτοῖς τὰ αἰτήματα, ἃ ᾐτήκαμεν. Ταῦτα δέ ἐστιν, *ἡ βασιλεία τοῦ θεοῦ καὶ ἡ δικαιοσύνη αὐτοῦ*· ἃ καὶ αἰτεῖν αὐτὸς ἡμῖν ἐνετείλατο (β). Ταῦτα δὲ εἰπὼν, καὶ ῥητῶς νῦν παρατίθεταί τι, ὧν αἰτεῖν ἡμᾶς βούλεται τῶν κατὰ τὸ θέλημα τοῦ θεοῦ.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ ἀντιλήψεως τοῦ ἁμαρτάνοντος ἀδελφοῦ διὰ προσευχῆς, καὶ περὶ τοῦ μὴ ἁμαρτάνειν· ἐν ᾧ, περὶ ἀποχῆς δαιμονικοῦ σεβάσματος.

16 Ἐάν τις ἴδῃ τὸν ἀδελφὸν αὐτοῦ ἁμαρτάνοντα ἁμαρτίαν μὴ πρὸς θάνατον, αἰτήσει, καὶ δώσει αὐτῷ ζωὴν, τοῖς ἁμαρτάνουσι μὴ πρὸς θάνατον. Ἔστιν ἁμαρτία πρὸς θάνατον· οὐ περὶ ἐκείνης λέγω,

(α) Ἰακ. δ', 3. (β) Ματθ. ς', 33.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

17 ἵνα ἐρωτήσῃ. Πᾶσα ἀδικία, ἁμαρτία ἐστί· καὶ ἔστιν
18 ἁμαρτία οὐ πρὸς θάνατον. Οἴδαμεν, ὅτι πᾶς ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ, οὐχ ἁμαρτάνει· ἀλλ' ὁ γεννηθεὶς ἐκ τοῦ θεοῦ τηρεῖ ἑαυτὸν, καὶ ὁ πονηρὸς
19 οὐχ ἅπτεται αὐτοῦ. Οἴδαμεν, ὅτι ἐκ τοῦ θεοῦ ἐσμὲν, καὶ ὁ κόσμος ὅλος ἐν τῷ πονηρῷ κεῖται.
20 Οἴδαμεν δὲ, ὅτι ὁ υἱὸς τοῦ θεοῦ ἥκει, καὶ δέδωκεν ἡμῖν διάνοιαν, ἵνα γινώσκωμεν τὸν ἀληθινόν· καὶ ἐσμὲν ἐν τῷ ἀληθινῷ, ἐν τῷ υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ. Οὗτός ἐστιν ὁ ἀληθινὸς θεὸς, καὶ ζωὴ ἡ αἰώ-
21 νιος. Τεκνία, φυλάξατε ἑαυτοὺς ἀπὸ τῶν εἰδώλων. Ἀμήν.

Ἐπεὶ πολύς ἐστι σχεδὸν δι' ὅλης τῆς ἐπιστολῆς τὴν εἰς τὸν ἀδελφὸν ἀγάπην ἐξυμνῶν, καὶ τοῦτο βούλεσθαι τὸν θεὸν, τὴν εἰς τὸν ἀδελφὸν ἀγάπην ἀνόθευτον τηρεῖν, τοῦτο εἶναί φησι νῦν ἓν τῶν θελημάτων αὐτοῦ καὶ τὸ κράτιστον, ἵνα, *ἐάν τις ἴδῃ τὸν ἀδελφὸν αὐτοῦ ἁμαρτάνοντα ἁμαρτίαν, μὴ πρὸς θάνατον, αἰτήσῃ, καὶ δώσει αὐτῷ.* Καὶ τί δώσει; *Ζωὴν αἰώνιον.* Τίσι; Τοῖς μὴ πρὸς θάνατον ἁμαρτάνουσιν. *Ἐάν τις ἴδῃ τὸν ἀδελφὸν αὐτοῦ ἁραρτάροντα.*] Τοῦτο ἓν τῶν θελημάτων ἐστί. Δικαιοσύνης γὰρ τὸ τῷ ἡμαρτηκότι ἀδελφῷ συναλγεῖν, καὶ συμπράττειν εἰς σωτηρίαν. *Ἔστιν ἁμαρτία πρὸς θάνατον.*] Τὸ ἑξῆς· *Ἔστιν ἁμαρτία πρὸς θάνατον, καὶ ἔστιν ἁμαρτία οὐ πρὸς θάνατον, οὐ περὶ τῆς πρὸς θάνατον λέγω, ἵνα αἰτήσῃ, ἀλλὰ περὶ τῆς μὴ πρὸς θάνατον.* Εἶτα διασαφεῖ τὸν λόγον, τὴν διαίρεσιν ποιούμενος τῆς πρὸς θάνατον ἁμάρτιας, καὶ τῆς μὴ πρὸς θάνατον. Ὡς γὰρ ἀπὸ γένους, τῆς ἁπλῶς ἁμαρτίας, ποιεῖ τὴν διαίρεσιν, καί φησι· *Πᾶσα ἀδικία, ἁμαρτία ἐστί,* τουτέστι, καὶ ἡ πρὸς θάνατον καὶ ἡ μὴ πρὸς θάνατον. Ἀλλὰ περὶ μὲν τῆς πρὸς θάνατον, *μὴ ἐρωτάτω,* φησὶν, ἤτοι, μὴ αἰτείτω· οὐ γὰρ εἰσακουσθήσεται· ὅτι κακῶς αἰτεῖ· περὶ τοῦ μηδεμίαν λέγων ἐπιδεικνυμένου ἐπιστροφήν· πρὸς θάνατον γὰρ αὕτη ἐστὶν ἁμαρτία μόνη, ἡ μὴ πρὸς μετάνοιαν ἀφο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρῶσα, ἣν καὶ Ἰούδας νοσήσας, τῷ αἰωνίῳ ὑπήχθη θανάτῳ. Ἀλλὰ καὶ οἱ μνησικακοῦντες, πρὸς θάνατον ἁμαρτάνουσιν· *Ὁ δοὶ γὰρ μνησικάκων εἰς θάνατον*, φησὶν ὁ Σολομών (α). Οὐδὲ γὰρ οὐδὲ οὗτοι μετανοοῦντες ἐπιστρέφουσι, μνησικακίας ἐχόμενοι, καὶ διατηροῦντες τὴν κατὰ τοῦ πλησίον ὀργήν· ἀλλὰ ἀμετάγνωστα ἁμαρτάνουσι. Ταῦτα δὲ δηλώσας, ἐπισημαίνεται λοιπὸν καὶ τίνων ἐστὶ τὸ πρὸς θάνατον ἁμαρτάνειν, καὶ φησιν, ὅτι ὁ υἱοθετηθεὶς ὑπὸ θεοῦ, οὐκ ἄν ποτε οὗτος οὔτε τὴν πρὸς θάνατον, οὔτε τὴν μὴ πρὸς θάνατον ἁμαρτίαν νοσήσῃ· ἅπας γὰρ ἑαυτὸν ἐκδοὺς τῷ ἐνοικοῦντι ἐν αὐτῷ διὰ τῆς υἱοθεσίας Χριστῷ, ἀνέπαφος διαμενεῖ ἁμαρτίας. Πλὴν, ἵνα μή τις οἰηθῇ πάντη τὴν φύσιν τὸν τοιοῦτον μεταπεποιῆσθαι, ὡς ἀνάλωτον εἶναι λοιπὸν τῇ ἁμαρτίᾳ, ἐπιφέρει τὸ, *τηρεῖ ἑαυτὸν*, ὡς εἴγε μὴ τηρῇ ἑαυτὸν καὶ φυλάσσῃ ἐκ τοῦ πονηροῦ, πάντως ἁμαρτησόμενος. Οὐ φύσει οὖν εἰς ἀναμαρτησίαν προβαίνει, φησίν, ἀλλ' ἐκ τῆς τοῦ θεοῦ μεγαλοδωρεᾶς· ὃς διὰ τοῦ υἱοθετῆσαι ἡμᾶς, ταύτης ἠξίωσε τῆς χάριτος, ἵνα, φυλάσσοντες ἡμᾶς καὶ τηροῦντες τὸ δώρημα τὸ ὑπ' αὐτοῦ ἡμῖν δωρηθὲν, καὶ τὸ μὴ ἁμαρτάνειν ἔχωμεν. Ἐπεὶ ἄλλως, φησὶ, τοῦ κόσμου ἐν τῷ πονηρῷ κειμένου· (λέγει δὲ *κόσμον*, τοὺς μὴ διὰ δεξιῶν ἔργων εἰς υἱοθεσίαν ἑαυτοὺς τοῦ θεοῦ μετατάξαντας·) οὐδὲν ἂν ἐκώλυε, τοῖς ἀπολλυμένοις συνεξετάζεσθαι ἡμᾶς· καθότι *ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος αὐτοῦ*, ὡς ἐπὶ τοῦ κατακλυσμοῦ ὁ θεὸς ἀπεφήνατο (α). Ἀλλ' ἐπεί, φησιν, *ὁ υἱὸς τοῦ θεοῦ ἥκει, καὶ δέδωκεν ἡμῖν διάνοιαν*, ἤτοι, διάγνωσιν τοῦ ἐνδιαθέτῳ γνώσει ἐπιγινώσκειν αὐτὸν ἀληθινὸν θεὸν, καὶ εἶναι ἐν αὐτῷ τῷ ἀληθινῷ υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ, ἔγνωμεν διὰ τῆς μεγαλοδωρεᾶς ταύτης, ὅτι *οὗτός ἐστιν ὁ ἀληθινὸς θεὸς, καὶ ζωὴ ἡ αἰώνιος*· καὶ γνόντες, μένομεν ἀνεπηρέαστοι ἐκ τοῦ πονηροῦ, καὶ τῶν σκανδά-

(α) Παροιμ. ΙΒ', 28. (α) Γεν. Η', 21.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λων αὐτοῦ. *Οὗτός ἐστιν ὁ ἀληθινὸς θεός.*] Κἀνταῦθα τὸ, *οὗτος*, ἀντὶ ἀναφορικοῦ ἄρθρου κεῖται. *Φυλάξατε ἑαυτοὺς ἀπὸ τῶν εἰδώλων.*] Ἐζήτησάν τινες· Εἰ πρὸς τελείους πιστοὺς ταῦτα γράφει, τίνος χάριν νῦν παρεγγυᾷ φυλάττεσθαι αὐτοὺς ἀπὸ τῶν εἰδώλων; Φαμὲν οὖν, ὡς, ἐπειδὴ ἐκκλησίᾳ ὅλῃ ταῦτα ἔγραφεν, ἥτις οὐ πᾶσα κεκριμένῳ λαῷ συνεπληροῦτο, ἀλλ' ἦν τις ἐν ταύτῃ καὶ νωθέστερον διακείμενος, πρὸς τούτους ταῦτα παρεγγυᾷ, τὸ εὐάλισθον αὐτῶν ὑφορώμενος.

ΤΕΛΟΣ,

ΣΥΝ ΘΕΩ, ΤΗΣ ΙΩΑΝΝΟΥ ΚΑΘΟΛΙΚΗΣ ΠΡΩΤΗΣ ΕΠΙΣΤΟΛΗΣ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Η
ΔΕΥΤΕΡΑ
ΙΩΑΝΝΟΥ ΚΑΘΟΛΙΚΗ
ΕΠΙΣΤΟΛΗ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ

ΙΩΑΝΝΟΥ ΚΑΘΟΛΙΚΗΣ

ΔΕΥΤΕΡΑΣ ΕΠΙΣΤΟΛΗΣ.

ΤΑΥΤΗΝ ὡς πρεσβύτερος γράφει κυρίᾳ καὶ τοῖς τέκνοις αὐτῆς. Ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη· Ὁρῶν τὰ τέκνα αὐτῆς καλῶς ἀναστρεφόμενα ἐν τῇ πίστει, καὶ πολλοὺς πλάνους περιερχομένους, καὶ λέγοντας, μὴ εἶναι τὴν παρουσίαν τοῦ Χριστοῦ ἐν σαρκὶ, γράφει τὴν ἐπιστολήν. Καὶ πρῶτον μὲν ἀποδέχεται αὐτῆς τὰ τέκνα, καλῶς περιπατοῦντα. Εἶτα δὲ διδάσκων, μὴ νεώτερον εἶναι τὸ καθ' ἡμᾶς μυστήριον, παραινεῖ πάλιν περὶ ἀγάπης, καὶ ἵνα μείνωσιν ἐν τῇ διδαχῇ τῇ παραδοθείσῃ αὐτοῖς. Καὶ λοιπὸν διδάσκει, ἀντίχριστον εἶναι τὸν λέγοντα, μὴ ἐν σαρκὶ ἐληλυθέναι τὸν Χριστόν. Παραγγέλλει δὲ, ὥστε τοὺς τοιούτους μὴ δέχεσθαί τινα εἰς οἰκίαν, μηδὲ λέγειν τοῖς τοιούτοις χαίρειν. Καὶ οὕτω τελειοῖ τὴν ἐπιστολήν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΙΩΑΝΝΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η

ΚΑΘΟΛΙΚΗ ΔΕΥΤΕΡΑ

ΕΠΙΣΤΟΛΗ.

ΠΡΟΟΙΜΙΟΝ.

1 Ο Πρεσβύτερος ἐκλεκτῇ κυρίᾳ καὶ τοῖς τέκνοις
αὐτῆς, οὓς ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ, (καὶ οὐκ ἐγὼ
μόνος, ἀλλὰ καὶ πάντες οἱ ἐγνωκότες τὴν ἀλή-
2 θειαν,) διὰ τὴν ἀλήθειαν τὴν μένουσαν ἐν ἡμῖν, καὶ
3 μεθ' ἡμῶν ἔσται εἰς τὸν αἰῶνα· ἔσται μεθ' ὑμῶν
χάρις, ἔλεος, εἰρήνη παρὰ θεοῦ πατρὸς, καὶ παρὰ
Κυρίου Ἰησοῦ Χριστοῦ, τοῦ υἱοῦ τοῦ πατρὸς, ἐν
ἀληθείᾳ καὶ ἀγάπῃ.

Τινὲς ᾠήθησαν ταύτην καὶ τὴν μετ' αὐτὴν ἐπιστολὴν, μὴ εἶναι Ἰωάννου τοῦ ἠγαπημένου, ἀλλ' ἑτέρου ὁμωνύμου τούτῳ· καθότι καὶ *πρεσβύτερον* ἑαυτὸν ἐν ταύταις γράφει, καὶ πρὸς γυναῖκα, καὶ πρὸς Γάϊον, ἕνα καὶ αὐτὸν, ὥσπερ καὶ τὴν γυναῖκα μίαν· ὅπερ οὐκατ' ἐπιστολὴν καθολικήν. Καὶ τὴν προγραφὴν δὲ ὅτι μὴ κατὰ τὴν πρώτην πεποίηται ἐπιστολήν· οὐ γὰρ ἐν ἐκείνῃ οὕτως ἀπήρξατο. Ἀλλὰ φαμὲν, ὅτι ἐν τῇ πρώτῃ οὐκ ἐποίησε τοῦτο, οὕτω προγράψας· οὐ γὰρ πρὸς ὡρισμένον ἔγραφε πρόσωπον, οὐδὲ πρὸς ἐκκλησίαν τόπων τινῶν, ὥσπερ ἐποίησεν ὁ μακάριος Πέτρος, ἀφωρισμένως πρὸς τοὺς ἐν τῇ διασπορᾷ ἐπισημαινόμενος Ἰουδαίους γράφειν, καὶ πρὸ τούτου ὁ θεῖος Ἰάκωβος, ταῖς δώδεκα φυλαῖς τῶν Ἰουδαίων ἀφοριζόμενος γράφειν· ἀλλὰ πᾶσι πιστοῖς κοινὸν ποιούμενος τὸν λόγον, ἐκκλη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σιάζουσι καὶ μὴ ἐκκλησιάζουσι, τὸν τῆς προγραφῆς παρέλιπε τύπον. *Πρεσβύτερον* δὲ ἑαυτὸν γράφει ἐνταῦθα καὶ οὐκ *ἀπόστολον*, οὐδὲ *δοῦλον Ἰησοῦ Χριστοῦ*, ὡς οἱ λοιποὶ ἀπόστολοι. *Ἀπόστολον* μὲν οὖν οὐ γράφει ἑαυτὸν, ἴσως ὅτι μὴ πρῶτος κατήγγειλεν ἐν τῇ Ἀσίᾳ τὸν λόγον, ἀλλὰ μετὰ Παῦλον, καὶ οὐ κατὰ πάροδον, ὥσπερ ἐκεῖνος, τὸν τοῦ εὐαγγελίου διατρέχων κύκλον· ἀλλὰ μένων ἐκεῖ, καὶ παρὼν παροῦσιν ἐκτίθεται τὸν λόγον. Ἀλλ' οὐδὲ *δοῦλον Ἰησοῦ Χριστοῦ*· ἐθάῤῥει γὰρ, διὰ τὸ ἄγαν ἠγαπῆσθαι, ἔξω τοῦ τῆς δουλείας εἶναι φόβου. *Πρεσβύτερον* δὲ μόνον ἑαυτὸν ἠξίωσε καλέσαι, ἤτοι ὅτι γηραιὸς ὢν ἤδη ἔγραψε ταύτας, ἢ ὅτι καὶ ἐπίσκοπον καλῶν ἑαυτὸν διὰ τοῦ πρεσβυτέρου, εἰωθότος κατ' ἐκεῖνο καιροῦ καὶ ἐπὶ τῶν ἐπισκόπων φέρεσθαι τοῦ ὀνόματος τοῦ πρεσβυτέρου, ὡς καὶ ἀπὸ τῶν Πράξεων δῆλον (α), ὧν ὁ μακάριος ἔγραψε Λουκᾶς, καὶ ἀπὸ τῆς τοῦ Πέτρου ἐπιστολῆς (β). Πρὸς δὲ γυναῖκα γράφων πιστὴν, οὐδὲν ὑπεστείλατο, ὅτι ἐν Χριστῷ Ἰησοῦ οὐκ ἄῤῥεν οὐδὲ θῆλυ οἶδε (γ). Πρὸς δὲ Γάϊον ἕνα γράφων, ἔχει Παῦλον Τίτῳ τε γράφοντα καὶ Τιμοθέῳ, καὶ πρὸς Φιλήμονα δὲ ἰδιώτην. Ταῦτα μὲν περὶ τῆς προγραφῆς. Δείκνυται δὲ ἀπὸ τῆς ἀπαγγελίας καὶ τῆς ἄλλης τοῦ λόγου οἰκονομίας τὸ γνήσιον τῶν ἐπιστολῶν. Ἐπεὶ κἀνταῦθα πολλάκις ἐπανάγει τὸν λόγον, τὰ αὐτὰ περὶ τῶν αὐτῶν λέγων, μετὰ τοῦ μικρᾶς παρεμπίπτειν ἀφορμῆς, καὶ ταύτῃ κατασφαλίζεσθαι τὸν λόγον. Δύο δὲ τῇ *ἐκλεκτῇ* ταύτῃ *κυρίᾳ* ἐπιμαρτυρεῖ· ἓν μὲν, τὸ ἐν ἀγάπῃ περιπατεῖν· ἕτερον δὲ, τὸ ἐκτρέπεσθαι τοὺς αἱρετικούς. *Ἐκλεκτὴν* δὲ, ἢ ἀπὸ τοῦ ὀνόματος, ἢ ἀπὸ τῆς περὶ τὴν ἀρετὴν φιλοτιμίας καλεῖ· ἣν καὶ *ἀγαπᾷν*, φησὶν, *ἐν ἀληθείᾳ*· καὶ οὐ μόνον αὐτὴν, ἀλλὰ καὶ πάντας τοὺς ὁμοτρόπους αὐτῇ, τοὺς τὴν τῷ ὄντι ἀλήθειαν ἔχοντας ἐν ἑαυτοῖς ἠδρασμένην· τοῦτο γὰρ σημαίνει διὰ τοῦ, *τὴν μένουσαν ἐν ἡμῖν*· τοῦτο δέ ἐστιν

(α) Πραξ. Κ', 17. 28. (β) Α' Πετρ. Ε', 1. 2. (γ) Γαλ. Γ', 28.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡ εἰς Χριστὸν πίστις. *Ἐν ἀληθείᾳ* δὲ ἀγαπᾷν λέγει· ἔστι γὰρ καὶ ἐπιπλάστως ἀγαπᾷν, στόματι, ὡς αὐτὸς οὗτος ἐν τῇ πρώτῃ ἐπιστολῇ περί τινων νωθρευομένων ἐδήλωσε πιςῶν (α). Εἰπὼν δὲ, *τὴν μένουσαν ἐν ἡμῖν*, οἷον, τὴν ἀληθῆ καὶ ἑδραίαν, καὶ μὴ κατεσχηματισμένην, ἐπήνεγκε τὸ, *Καὶ μεθ' ἡμῶν ἔσται εἰς τὸν αἰῶνα*, τὸ ἀναπόβλητον τοῦ χαρίσματος σημαίνων. Ἔστι γὰρ καὶ τοὺς ἡδρασμένους ἐπί τινος, πάλιν σαλευθῆναι, μὴ καλῶς τῇ ἑδραιότητι κεχρημένους. Τούτοις δὲ πάλιν ἐπιφέρει τὸ, *Ἔσται μεθ' ὑμῶν χάρις καὶ ἔλεος*, ἐμφαίνων τὰ ἀπὸ τῆς τελείας ἀγάπης ἐπανθοῦντα καλά. *Παρὰ θεοῦ δὲ πατρὸς*, φήσας, *καὶ παρὰ Κυρίου Ἰησοῦ Χριστοῦ*, ἐπήγαγε τὸ, *τοῦ υἱοῦ τοῦ πατρός*· μόνος γὰρ κυρίως οὗτος πατήρ. Διὸ καὶ Παῦλος· *Ἐξ οὗ πᾶσα πατριὰ*, φησιν, *ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται* (β). Καὶ πάλιν δὲ τὸ, *ἐν ἀληθείᾳ*, ἐπιφέρει, *καὶ ἀγάπῃ*, ἀσφάλειαν τῷ λόγῳ περιποιῶν καὶ γνώρισμα ἧς φησιν ἀγάπης.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Μετὰ τὸ προοίμιον, περὶ ὀρθοῦ βίου ἐν ἀγάπῃ θεοῦ, διὰ πίστεως εὐσεβοῦς, ἀμεταθέτου· ἐν ᾧ, ὅτι οὐ δεῖ αἱρετικὸν εἰσοικίζειν ἢ χαιρετίζειν ἐφ' ἁμαρτίᾳ.

4 Ἐχάρην λίαν, ὅτι εὕρηκα ἐκ τῶν τέκνων σου περι-
πατοῦντας ἐν ἀληθείᾳ, καθὼς ἐντολὴν ἐλάβομεν
5 παρὰ τοῦ πατρός. Καὶ νῦν ἐρωτῶ σε, κυρία,
οὐχ ὡς ἐντολὴν γράφων σοι καινὴν, ἀλλὰ ἣν εἴχο-
6 μεν ἀπ' ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους. Καὶ αὕ-
τη ἐστὶν ἡ ἀγάπη, ἵνα περιπατῶμεν κατὰ τὰς ἐν-

(α) Α' Ἰωαν. Γ', 18. (β) Ἐφεσ. Γ', 15.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τολὰς αὐτοῦ. Αὕτη ἐστὶν ἡ ἐντολή, καθὼς ἠκού-
7 σατε ἀπ' ἀρχῆς, ἵνα ἐν αὐτῇ περιπατῆτε. Ὅτι πολλοὶ πλάνοι εἰσῆλθον εἰς τὸν κόσμον, οἱ μὴ ὁμολογοῦντες Ἰησοῦν Χριστὸν ἐρχόμενον ἐν σαρκί· οὗτός ἐστιν ὁ πλάνος καὶ ὁ ἀντίχριστος.

Ἐχάρην λίαν, ὅτι εὕρηκα.] Καὶ γάρ ἐστιν, ὡς ἀληθῶς, χαρᾶς αἴτιον μεγίστης τὸ εὑρεῖν τινα ἀπροσκόπως ὁδεύοντα τὸν ἐν τῇ πίστει Χριστοῦ δρόμον *κατὰ τὴν ἐντολὴν αὐτοῦ*. Τίς δὲ ἡ ἐντολή; Ἡ περὶ ἧς ἐν εὐαγγελίοις ὁ Χριστός φησιν· *Ὁ ἀγαπῶν με, τὰς ἐντολάς μου τηρήσει* (α). *Πατέρα* δὲ νῦν τὸν Χριστὸν καλεῖ· ἐπεὶ καὶ πατήρ ἐστι τῶν διὰ τῆς οἰκονομίας αὐτῷ παρὰ τοῦ ἑαυτοῦ πατρὸς δοθέντων υἱῶν, καθὸ εἴρηται· *Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἃ μοι ἔδωκεν ὁ θεός* (β). Σκόπει δὲ καὶ τὸ γνήσιον τῆς ἐπιστολῆς ταύτης, ὅτι συμφωνεῖ διὰ τούτων τῷ ἐν τῇ πρώτῃ εἰρημένῳ, τῷ· *Καὶ οἴδαμεν, ὅτι ὁ ἀγαπῶν τὸν θεὸν, τὰς ἐντολὰς αὐτοῦ τηρεῖ* (γ). Ταὐτὸν δέ ἐστι τὸ *περιπατεῖν κατὰ τὰς ἐντολὰς*, τῷ τηρεῖν αὐτάς· πρακτικαὶ γὰρ αἱ ἀρεταὶ, καὶ κατὰ τὸ ἐνεργεῖσθαι ἔχουσι τὸ εἶναι. Ὥστε ὁ παυσάμενος τοῦ κατὰ ταύτας ὁδεύειν, οὐδὲ *τηρεῖ*, ἤτοι φυλάσσει αὐτάς. Τὸ *περιπατεῖν* δὲ, κατὰ προκοπὴν εἴρηται. Ὅσον γάρ τις κατ' ἀρετὴν ἐνεργεῖ, ἐπὶ τὰ πρόσω ἴεται, ἕξιν ἑαυτῷ περιποιῶν τοῦ καλοῦ πλείονα· ἄπειρος γὰρ καὶ ἀνελλιπὴς ἡ τῆς ἀρετῆς ὁδός. Κατὰ τοῦτο δὲ οἶμαι εἰρῆσθαι καὶ τό· *Εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι* (δ). Τῶν γὰρ δεδωρημένων ἡμῖν ὑπὸ τοῦ ἐνανθρωπήσαντος ἀγαθῶν τοσοῦτον τὸ μεγαλεῖον, ὡς καὶ ἀγγέλοις ἐφετὸν εἶναι θραχείαν τούτων λαβεῖν κατανόησιν· τοῦτο γὰρ τὸ, *παρακύψαι*, αἰνίσσεται. Ἔφεται δέ τις σωφρονῶν, οὐ τοῦ παυσομένου, ἀλλὰ τοῦ ἀεννάως προϊόντος, καὶ ἀκηράτῳ δόξῃ φαιδρυνομένου. Καὶ ἐπειδὴ τὸ ἀνεξάντλητον οὐχ οἷόν τε ὅλον περιλαβεῖν, ἀγαπητὸν κἂν ποσῶς γοῦν ἐν μετουσίᾳ τού-

(α) Ἰωαν. ΙΔ', 23. (β) Ἡσ. Η', 18. Ἑβρ. Β', 13.
(γ) Α' Ἰωαν. Β', 3. 4. 5. Γ', 24. (δ) Α' Πετρ. Α. 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

του γενέσθαι. Εἰρηκὼς δὲ, *Οὐχ ὡς ἐντολὴν γράφων σοι καινὴν*, σύμφωνον καὶ τοῦτο λέγει τοῖς ἐν τῇ πρώτῃ, καὶ ἅμα παριστῶν, ὡς τοῖς ἤδη ἐφωδευμένοις αὐτὴν παριστᾷ, καὶ ὧν πεῖραν ἔλαβον ἐκ τοῦ ἐνεργῆσαι κατ' αὐτὰ, ἀλλ' οὐ ξενίζουσι καὶ δυσκόλοις, ἵν' ἀποκναίηται τῷ ἀήθει τῆς ἐγχειρήσεως. *Οὐχ ὡς ἐντολὴν γράφων σοι καινήν.*] Προστίθησι δὲ καὶ τὸ τῆς ἐντολῆς ἔργον, *ἵνα ἀγαπῶμεν ἀλλήλους*· καὶ τὴν ἀγάπην ἐξηγεῖται, ὅτι αὕτη ἐν τῷ κατ' αὐτὴν πορεύεσθαι ἔχει τὸ εἶναι· καὶ τὴν ἐντολὴν πάλιν *τὴν ἀπ' ἀρχῆς* οὐκ ἄλλου τινὸς ἕνεκεν δεδόσθαι, εἰ μὴ ἵνα ἐν αὐτῇ περιπατῆτέ, φησιν, ἄνω καὶ κάτω τὰ αὐτὰ ῥέφων· καὶ διὰ μὲν τῆς ἀγάπης, τὸ ἀδιάσπαστον αὐτοῖς προμηθούμενος, καὶ μὴ πρὸς τοὺς πλάνους ἀποσχίζεσθαι τοὺς ἤδη ἐν τῷ κόσμῳ περιπατοῦντας, καὶ τὴν διὰ σαρκὸς ἐπιδημίαν τοῦ Κυρίου ἀθετοῦντας· διὰ δὲ τοῦ, *κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου περιπατεῖν τὴν ἀπ' ἀρχῆς*, τὴν πεπλανημένην τῶν αἱρετιζόντων δόξαν ἐμφανίζων πρόσφατον οὖσαν, καὶ παρακαλῶν, τῆς ἀπ' ἀρχῆς ἐντολῆς αὐτοὺς ἐχομένους, μὴ ὑπάγεσθαι τῇ ἀπάτῃ αὐτῶν. Καὶ γὰρ ἐνετείλατο ὁ Χριστὸς τοῖς μαθηταῖς περὶ τῶν πλάνων τούτων, λέγων· *Πολλοὶ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες· Ἐγώ εἰμι ὁ Χριστός· καὶ πολλοὺς πλανήσουσι. Μὴ οὖν πορευθῆτε ὀπίσω αὐτῶν* (α). Ταῦτας οὖν, φησὶ, τὰς ἐντολὰς τηροῦντας, κελεύει μὴ ἀπατᾶσθαι, ἀλλὰ τὸν ταῦτα λέγοντα, *ἀντίχριστον* ἡγεῖσθαι. *Οὗτός ἐστιν ὁ πλάνος καὶ ὁ ἀντίχριστος.*] Προσυπακουστέον τούτοις εἰς ἐντελεστέραν δήλωσιν, τὸ, Ὃς οὖν μὴ ταῦτα ὁμολογῇ, ἵνα εὐστόχως ἐπάγηται, *Οὗτός ἐστιν ὁ πλάνος καὶ ὁ ἀντίχριστος*· χωρὶς γὰρ τούτου, ἀσυνάρτητος ὁ λόγος, ὡς ἐκ πληθυντικοῦ εἰς ἑνικὸν μεταβαίνων. Οὗτός ἐστί, φησιν, ὁ ἀντίχριστος καὶ ὁ πλάνος. Εἰπὼν δὲ, *Οἱ μὴ ὁμολογοῦντες Ἰησοῦν Χριστὸν ἐρχόμενον ἐν σαρκὶ, ἀλλ' οὐκ ἐλθόντα*, ἐμφαίνοντός

(α) Ματθ. ΚΔ'. 5. Λουκ. ΚΑ'. 8.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐστιν, ὡς τοὺς ἀθετοῦντας λέγει τὴν δευτέραν τοῦ Κυρίου παρουσίαν· ἐπεὶ καὶ αὐτὸς ὁ Κύριος λέγων, *Πολλοὶ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου*, οὐ περὶ τῆς πρώτης αὐτοῦ φησι παρουσίας, ἀλλὰ περὶ τῆς δευτέρας. Ὅμως ἀληθεῖ λόγῳ, οἱ τὴν δευτέραν ἀθετοῦντες, καὶ τὴν πρώτην ἀποβάλλονται. Εἰ γὰρ ὁ ἐν σαρκὶ παραγενόμενος καὶ τὴν δευτέραν ἐπηγγείλατο, πάντως ὁ τὴν δευτέραν ἀθετῶν, καὶ τὴν πρώτην ἀθετεῖ. Εἰ γὰρ πιστεύει παραγενόμενον, καὶ τὴν ἐπαγγελίαν πιστὴν ἡγήσεται τοῦ παραγενομένου· εἰ δὲ τὴν ἐπαγγελίαν ἀθετεῖ, οὐδεὶς λόγος μηδὲ τὴν πρώτην αὐτὸν ἀπιστεῖν. Διὰ τοῦτο οἶμαι οὕτως ἐχρήσατο τῇ φωνῇ ταύτῃ ὁ ἠγαπημένος, *ἐρχόμενον*, εἰπὼν, ἀλλ' οὐκ, *ἐληλυθότα*, ἵνα τοὺς ἀμφοτέρας ἀρνουμένους τὰς παρουσίας τοῦ Κυρίου τὰς ἐν σαρκὶ περιλάβῃ.

8 Βλέπετε ἑαυτοὺς, ἵνα μὴ ἀπολέσωμεν, ἃ εἰργασά-
9 μεθα, ἀλλὰ μισθὸν πλήρη ἀπολάβωμεν. Πᾶς ὁ παραβαίνων, καὶ μὴ μένων ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ, θεὸν οὐκ ἔχει· ὁ μένων ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ,
10 οὗτος καὶ τὸν πατέρα καὶ τὸν υἱὸν ἔχει. Εἴτις ἔρχεται πρὸς ὑμᾶς, καὶ ταύτην τὴν διδαχὴν οὐ φέρει, μὴ λαμβάνετε αὐτὸν εἰς οἰκίαν, καὶ χαίρειν αὐτῷ
11 μὴ λέγετε. Ὁ γὰρ λέγων χαίρειν, κοινωνεῖ τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς.

Διαστέλλεται αὐτοῖς φυλάττεσθαι ἀπὸ τῶν ἀμφοτέρας ἀρνουμένων τὰς παρουσίας τοῦ Κυρίου· καὶ τὸ αἴτιον προστίθησιν· Ἵνα μὴ, φησὶ, διὰ τῆς πρὸς αὐτοὺς ἀνακράσεως, ἀπολέσητε, ἃ προειργάσασθε, ἀλλ' ἀνελλιπῆ τὸν μισθὸν ὑμῶν λάβητε. Ἀλλ' ἴσως ἐρεῖ τις τῶν τοιούτων· Τί δέ; Εἰ μὴ τὴν παρουσίαν πιστεύσω τοῦ Χριστοῦ τὴν ἐν σαρκὶ, διὰ δὲ ἀγαθοεργίας βιώσω, οὐ δύναμαι διὰ τῶν ἔργων τούτων μετὰ τῶν εὐσεβούντων συνταχθῆναι, οὐδὲ τὸν ὑπὲρ τούτων ἀπολαβεῖν μισθόν; Ταύτην τὴν ἀντίθεσιν προαναιρῶν ὁ ἀπόστολος, οὕτω φησίν· Ὅτι μηδεὶς οἰέσθω, ὅτι ὁ τὴν ἐν σαρκὶ ἐπιδημίαν τοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κυρίου ἀθετῶν δύναται ἢ ἔργων ἀμοιβὴν ἀπολαβεῖν τελείαν, ἥτις καὶ πιστοῖς ἀποφείλεται, ἢ ὅλως θεοσεβὴς νομισθῆναι. Ἀλλὰ πᾶς ὁ παραβαίνων τὴν ἐντολὴν αὐτοῦ, τοῦ Χριστοῦ δηλονότι παραγενομένου, καὶ μὴ μένων ἐν τῇ διδαχῇ αὐτοῦ, θεὸν οὐκ ἔχει. Εἰ γὰρ ὁ θεογνωσίαν ἥκων ἀνθρώπους τελείαν διδάξαι, οὗτος ἀθετούμενος ὁρῶτο, πῶς ἂν ἔτι θεοσεβὴς εἴη, ὁ τῶν θείων θεαμάτων τὸν ὑφηγητὴν ἀποσκορακίζων; Ἄθεος οὖν οὗτος· ὥσπερ ἀπεναντίας ἔνθεος καὶ θεοφιλὴς, καὶ πᾶν τὸ τῆς θεότητος ἔχων ἐν ἑαυτῷ πλήρωμα, πατέρα δηλαδὴ καὶ υἱὸν καὶ Πνεῦμα ἅγιον, ὁ ἡδρασμένος ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ. Αὐτὸς γὰρ περὶ μὲν τοῦ πατρὸς διδάσκει λέγων· *Πάντα ὅσα ἔχει ὁ πατὴρ, ἐμά ἐστι* (α)· καὶ πολλαχοῦ δὲ διδάσκει περὶ ἑαυτοῦ καὶ τοῦ πατρὸς, ὅτι ὁ μέν ἐστι πατὴρ, ὁ δὲ, υἱός. Περὶ δὲ τοῦ Πνεύματος, ὅταν λέγῃ· *Τὸ Πνεῦμα τὸ ἅγιον, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται* (β). Τελεώτερον δὲ τούτων ἡνίκα λέγει· *Βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος* (γ). Εἰ δὲ περὶ τοῦ πατρὸς μόνου καὶ τοῦ υἱοῦ εἴρηται ἐνταῦθα τῷ μαθητῇ τοῦ Κυρίου, οὐ μέντοι καὶ περὶ τοῦ ἁγίου Πνεύματος, μηδὲν σκανδαλισθῇς· περὶ γὰρ τούτου μόνου κατήπειγεν ἐνταῦθα εἰρῆσθαι νῦν, τοῦ πατρὸς, φημὶ, καὶ τοῦ υἱοῦ. Καὶ ταῦτα μὲν πρὸς τὸ παρὸν, ἵνα μὴ μακρολογῶμεν. [*Ὁ μένων ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ.*] *Μένει ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ*, ἤτοι τῇ εὐαγγελικῇ διδασκαλίᾳ, ὁ κατ' αὐτὴν φρονῶν καὶ πράττων, θεωρητικῶς ἅμα καὶ πρακτικῶς βιῶν· ὁ δὲ ταύτης ἀπάγων ἑαυτὸν, ἄθεος. Ὡς γὰρ ὁ δι' ἀκριβοῦς πολιτείας οἰκειῶν ἑαυτὸν τῷ θεῷ, ὥσπερ ὁ Ἀβραάμ· καθὸ καὶ ἤκουε παρ' αὐτοῦ· *Ἐγὼ θεὸς σός* (δ)· [ἔνθεος καὶ θεοφιλής·] οὕτως ὁ ἔξω τῆς ἐντολῆς τοῦ εὐαγγελίου βιοὺς, ἄθεος, ἑαυτὸν ἀποσχοινίσας

(α) Ἰωαν. Ις', 15. ΙΖ', 10. (β) Ἰωαν. ΙΕ', 26.
(γ) Ματθ. ΚΠ', 19. (δ) Γεν. ΙΕ'. Ἐξοδ. Γ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ ἔχειν θεόν. Ἀθέου δὲ τούτου ὄντος, τοῦ ἑαυτὸν, φημὶ, τῆς θείας ἀλλοτριώσαντος παιδείας, *ὁ μένων ἐν αὐτῇ, οὗτος καὶ τὸν πατέρα καὶ τὸν υἱὸν ἔχει·* περὶ γὰρ τοῦ τοιούτου καὶ ὁ υἱὸς ἔφη· *Ὅτι ἐλευσόμεθα παρ' αὐτὸν*, μετὰ τοῦ πατρὸς δηλονότι, *καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν* (α)· ἐκ γὰρ τῆς τῶν ἐντολῶν τηρήσεως, ναὸν ἑαυτὸν καὶ οἰκητήριον ἐποίησε θεοῦ, καὶ θεὸν ἔνοικον ἔχει (β). Διττοῦ δὲ ὄντος τοῦ ἔχειν θεόν· λέγεται γὰρ, *Ἔχειν θεὸν* καὶ τὰ κτίσματα πάντα· πρὸς ὃ καὶ Παῦλος εἴρηκεν· *Ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν* (γ)· τοῦτο δὲ κατὰ τὸν τῆς οὐσιώσεως εἴρηται τρόπον· ἕτερος δὲ τοῦ διὰ καλοκἀγαθίας θεραπεύοντος θεόν, πάλιν ἔχειν λεγομένου θεόν, καθ' ὃ σημαινόμενον, καὶ τοῦ *Ἀβραὰμ θεὸς* εἴρηται ὁ θεὸς, καὶ τοῦ *Ἰσαὰκ* (δ), καὶ ὅλως τῶν θεοφιλῶν Ἑβραίων· ἐπιστατέον τοῖς νῦν εἰρησομένοις· *Ὁ ἔχων τὸν υἱὸν, ἔχει καὶ τὸν πατέρα· ὁ γὰρ ἑωρακὼς τὸν υἱὸν*, ὡς καὶ αὐτός φησιν ὁ υἱὸς, *ἑώρακε τὸν πατέρα* (ε)· καὶ ἔμπαλιν· *Ἐγὼ γὰρ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοὶ*, ὁ αὐτός φησι Σωτήρ. Ὥστε καὶ ἐκ τούτου τὸ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ὁμοούσιον γινώσκεται. Εἰ δέ τις ἐρεῖ, ὅτι, κατὰ τοῦτο, καὶ ὁ τοὺς μαθητὰς δεχόμενος, ἔχει καὶ τὸν υἱὸν καὶ τὸν πατέρα· (φησὶ γὰρ καὶ περὶ τούτων ὁ Σωτήρ· *Ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται· ὁ δὲ ἐμὲ δεχόμενος, δέχεται τὸν ἀποστείλαντά με* (ζ)·) ἴστω ὁ τοιοῦτος κακῶς οὕτω λέγων, καὶ οὐχ ὃν δεῖ τρόπον ἐνεγκάμενος· περὶ γὰρ τῆς διδασκαλίας εἴρηται ταῦτα· ἐπεὶ ὁ δεξάμενος τοὺς ἀποστόλους συγκαταθέσει καὶ τὴν διδασκαλίαν αὐτῶν, ἐδέξατο δι' αὐτῶν καὶ τὸν πατέρα καὶ τὸν υἱὸν διδάσκοντας. Καὶ ἕτερος· Ἐπεὶ ὁ μένων ἐν τῇ διδαχῇ, ἔχει καὶ τὸν υἱὸν καὶ τὸν πατέρα· ἔμενον δὲ οἱ ἀπόστολοι ἐν τῇ διδαχῇ, ὡς καὶ κηρύσσειν αὐτήν· ὁ δεξάμενος οὖν αὐτοὺς, ναοὺς ὄντας θεοῦ,

(α) Ἰωαν. ΙΔ', 23.
(β) Α' Κορ. ς', 19. Β' Κορ. ς', 16.
(γ) Πραξ. ΙΖ', 28.
(δ) Ἐξοδ. Γ', 6. 15.
(ε) Ἰωαν. ΙΔ', 9. 10. 11.
(ζ) Ματθ. Ι', 40.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δι' αὐτοῦ τοῦ δέχεσθαι αὐτοὺς, ἔχει τὸν ἐν αὐτοῖς υἱὸν καὶ πατέρα. *Εἴτις ἔρχεται πρὸς ὑμᾶς.*] Ἐξασφαλίζεται τοὺς πρὸς οὓς ἡ ἐπιστολή. Εἴτις, φησὶ, μὴ μετὰ τῆς ὁμολογίας ταύτης ἔρχεται πρὸς ὑμᾶς, μὴ μόνον σκέπης παρ' ὑμῶν μὴ τυγχανέτω, ἀλλὰ μηδὲ προσρήσεως ἀξιούσθω· ἀκριβῶς ταῦτα λέγων, ὡς τῆς προσρήσεως ταύτης τοῖς ὁμοτρόποις ἡμῶν μόνοις καὶ ὁμοπίστοις ὀφειλομένης. Τίνι γὰρ χαίρειν εὐξόμεθα, ἀλλ' ἢ τοῖς ὁμοτρόποις καὶ ὁμοπίστοις; Ὥστε, εἰ τοῖς ἀσεβέσι προσενεχθείη παρ' ἡμῶν ἡ τοιαύτη πρόσρησις, πάντως ὡς ὁμοτρόποις καὶ πιστοῖς προσηνέχθη, καὶ κοινωνοὶ ἡμῶν ἐλήφθησαν διὰ τούτου, καὶ ἐπὶ τὸ ἑαυτῶν ἡμᾶς κατέσπασαν βάραθρον.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ἐπαγγελία παρουσίας αὐτοῦ ἐπ' ἐλπίδι πρὸς ὠφέλειαν.

12 Πολλὰ ἔχων ὑμῖν γράφειν, οὐκ ἠβουλήθην διὰ
χάρτου καὶ μέλανος· ἀλλὰ ἐλπίζω ἐλθεῖν πρὸς
ὑμᾶς, καὶ στόμα πρὸς στόμα λαλῆσαι, ἵνα ἡ χαρὰ
13 ἡμῶν ᾖ πεπληρωμένη. Ἀσπάζεταί σε τὰ τέκνα τῆς
ἀδελφῆς σου τῆς ἐκλεκτῆς. Ἀμήν.

Τὴν αἰτίαν τοῦ σύντομον ἐκθέσθαι τὴν ἐπιστολὴν, καὶ ἐνταῦθα καὶ ἐν τῇ μετὰ ταύτην, αὐτὸς ἐδίδαξε, τὸ ἐλπίζειν παραγενέσθαι, καὶ δι' αὐτοψίας τὰ ἐλλείποντα προσθεῖναι. Διὰ δὲ τοῦ προσθεῖναι, *Ἀσπάζεταί σε τὰ τέκνα τῆς ἀδελφῆς σου τῆς ἐκλεκτῆς*, βούλονταί τινες βεβαιοῦν, ὡς οὐ πρὸς γυναῖκα ἡ ἐπιστολὴ, ἀλλὰ πρὸς ἐκκλησίαν· περὶ οὗ οὐδὲν τῷ βουλομένῳ διενεχθείην.

ΤΕΛΟΣ,

ΣΥΝ ΘΕΩ, ΤΗΣ ΙΩΑΝΝΟΥ ΔΕΥΤΕΡΑΣ ΕΠΙΣΤΟΛΗΣ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Η
ΤΡΙΤΗ
ΙΩΑΝΝΟΥ ΚΑΘΟΛΙΚΗ
ΕΠΙΣΤΟΛΗ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ

ΙΩΑΝΝΟΥ ΚΑΘΟΛΙΚΗΣ

ΤΡΙΤΗΣ ΕΠΙΣΤΟΛΗΣ.

ΕΣΤΙΝ ἡ ἐπιστολὴ περὶ φιλοξενίας. Καὶ πρῶτον μὲν ἀποδέχεται τὸν Γάϊον, μαρτυρούμενον παρὰ πάντων ἐπὶ φιλοξενίᾳ· καὶ προτρέπει τῇ αὐτῇ προθέσει ἐμμένειν, καὶ προπέμπειν καὶ δεξιοῦσθαι τοὺς ἀδελφούς. Πάλιν τε αὐτοῦ μὲν τὴν προσφορὰν ἀποδέχεται, αἰτιᾶται δὲ Διοτρεφῆ, ὡς μήτε αὐτὸν παρέχοντα τοῖς πτωχοῖς, ἀλλὰ καὶ κωλύοντα τοὺς ἄλλους, καὶ πολλὰ φλυαροῦντα. Τοὺς δὲ τοιούτους λέγει ἀλλοτρίους εἶναι τῆς ἀληθείας, καὶ μηδὲ εἰδέναι τὸν θεόν. Δημήτριον δὲ συνίστησι, μαρτυρῶν αὐτῷ τὰ κάλλιστα.

ΕΤΕΡΩΣ Η ΥΠΟΘΕΣΙΣ.

Καὶ ταύτην τὴν ἐπιστολὴν γράφει, συνιστῶν τινὰς ἀδελφούς. Γράφει δὲ Γαΐῳ, καὶ μαρτυρεῖ τούτῳ φιλοξενίαν πολλὴν, ἣν καὶ μεγάλων ἐπαίνων ἀξιοῖ· τὸν γὰρ ἀγαθοποιοῦντα ἐκ τοῦ θεοῦ εἶναι λέγει. Πλεῖον δὲ αὐτὸν διεγείρει καὶ ἐξ ὧν διαβάλλει τὸν μὴ τοῦτο ἐγνωκότα ποιεῖν Διοτρεφῆ. Ἐπαινεῖ δὲ καὶ Δημήτριον, τὸ αὐτὸ πράσσοντα, καὶ μαρτυρίαν αὐτῷ παρέχεται πιστήν. Σύντομος δὲ αὕτη ἡ ἐπιστολὴ, διὰ τὴν προειρημένην ἐν τῇ πρώτῃ ἐπιστολῇ αἰτίαν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΙΩΑΝΝΟΥ τοῦ ΑΠΟΣΤΟΛΟΥ

Η

ΚΑΘΟΛΙΚΗ ΤΡΙΤΗ

ΕΠΙΣΤΟΛΗ.

ΠΡΟΟΙΜΙΟΝ.

1 Ὁ πρεσβύτερος Γαΐῳ τῷ ἀγαπητῷ, ὃν ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ.

Εἴρηται περὶ τούτου ἐν τῇ πρὸ ταύτης· καὶ νῦν δὲ τὰ αὐτὰ ἐπαναλαμβάνειν, παρέλκον καὶ περισσόν. *Ὃν ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ.*] Ἐν ἀληθείᾳ ἀγαπᾷ ὁ κατὰ Κύριον ἀγαπῶν ἐνδιαθέτῳ ἀγάπῃ, ὡς πολλάκις καὶ ἀνωτέρω εἴρηται.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Εὐχὴ ὑπὲρ τελειώσεως, καὶ εὐχαριστία ἐφ' ὁμολογίᾳ φιλοξενίας τῶν ἀδελφῶν διὰ Χριστόν· ἐν ᾧ, περὶ τῆς Διοτρεφοῦς φαυλότητος καὶ μισαδελφίας.

2 Ἀγαπητὲ, περὶ πάντων εὔχομαί σε εὐοδοῦσθαι καὶ
3 ὑγιαίνειν, καθὼς εὐοδοῦταί σου ἡ ψυχή. Ἐχάρην γὰρ λίαν, ἐρχομένων ἀδελφῶν καὶ μαρτυρούντων σου τῇ ἀληθείᾳ, καθὼς σὺ ἐν ἀληθείᾳ περιπατεῖς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

4 Μειζοτέραν τούτων οὐκ ἔχω χαράν, ἵνα ἀκούω τὰ
ἐμὰ τέκνα ἐν ἀληθείᾳ περιπατοῦντα.

Καθὼς εὐοδοῦταί σου ἡ ψυχή.] *Εὐοδοῦται* δὲ ἐν τῇ κατὰ
τὸ εὐαγγέλιον πολιτείᾳ. *Ἐν ἀληθείᾳ περιπατεῖς.*] Ἐν ἀλη-
θείᾳ περιπατεῖ ὁ κατὰ τὴν εὐαγγελικὴν ἁπλότητα περιπα-
τῶν. *Περιπατεῖν* δὲ, οὐ τὴν διὰ σκελῶν φησὶ κίνησιν, μιᾶς
οὔσης παντὶ πόδας ἔχοντι ζώῳ τῆς τοιαύτης ἐκ τόπου εἰς τό-
πον μεταβατικῆς πορείας· ἀλλὰ τὴν κατὰ τὰς ψυχικὰς ὁρμὰς
τεταγμένην καὶ σώφρονα πρόοδον, ἧς ὀλίγοι τυγχάνουσιν, οἳ
τὴν ἐπίγνωσιν ἔχοντες. *Μειζοτέραν τούτων.*] Τὸ, *μειζοτέραν*,
κατὰ ἀκρίβειαν τῆς Ἑλληνικῆς γλώσσης ἀδόκιμον, ὡς ἐπίτα-
σιν ἐπιτάσει προσπορίζον.

5 Ἀγαπητὲ, πιστὸν ποιεῖς, ὃ ἐὰν ἐργάσῃ εἰς τοὺς
6 ἀδελφοὺς καὶ εἰς τοὺς ξένους, οἳ ἐμαρτύρησάν
σου τῇ ἀγάπῃ ἐνώπιον ἐκκλησίας· οὓς καλῶς
7 ποιήσεις προπέμψας ἀξίως τοῦ θεοῦ. Ὑπὲρ γὰρ
τοῦ ὀνόματος ἐξῆλθον, μηδὲν λαμβάνοντες ἀπὸ
8 τῶν ἐθνῶν. Ἡμεῖς οὖν ὀφείλομεν ἀπολαμβάνειν
τοὺς τοιούτους, ἵνα συνεργοὶ γινώμεθα τῇ ἀληθείᾳ.

Πιστὸν ποιεῖς.] Ἀντὶ τοῦ, Ἄξιον πιστοῦ ἀνδρός. *Ὀφεί-
λομεν ἀπολαμβάνειν.*] *Ἀπολαμβάνειν*, ἀντὶ τοῦ, Ἀναλαμ-
βάνεσθαι, ὑποδέχεσθαι, ὡς καὶ τό· *Ὑπέλαβόν με ὡσεὶ λέων
ἕτοιμος εἰς θήραν* (α). Παιδεύει δὲ διὰ τούτου ἡμᾶς, μὴ
ἀναμένειν τοὺς δεομένους, πότε πρὸς ἡμᾶς ἔλθωσιν, ἀλλ'
αὐτοὺς ἐπιτρέχειν καὶ καταδιώκειν, ὡς ὁ Ἀβραὰμ καὶ ὁ Λὼτ (β).

9 Ἔγραψα τῇ ἐκκλησίᾳ· ἀλλ' ὁ φιλοπρωτεύων αὐ-
10 τῶν Διοτρεφὴς οὐκ ἐπιδέχεται ἡμᾶς. Διὰ τοῦτο,
ἐὰν ἔλθω, ὑπομνήσω αὐτοῦ τὰ ἔργα ἃ ποιεῖ, λό-
γοις πονηροῖς φλυαρῶν ἡμᾶς· καὶ μὴ ἀρκούμενος
ἐπὶ τούτοις, οὔτε αὐτὸς ἐπιδέχεται τοὺς ἀδελ-

(α) Ψαλμ. ιζ', 12. (β) Γεν. ιθ'. ιθ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φοὺς, καὶ τοὺς βουλομένους κωλύει, καὶ ἐκ τῆς
11 ἐκκλησίας ἐκβάλλει. Ἀγαπητὲ, μὴ μιμοῦ τὸ κακὸν, ἀλλὰ τὸ ἀγαθόν. Ὁ ἀγαθοποιῶν, ἐκ τοῦ θεοῦ ἐστίν· ὁ κακοποιῶν, οὐχ ἑώρακε τὸν θεόν.

Ὑπομνήσω αὐτοῦ τὰ ἔργα ἃ ποιεῖ.] Εἰ προστέτακται, μὴ ἀντιδιδόναι κακὸν ἀντὶ κακοῦ (α), πῶς οὗτος νῦν ἀπειλεῖ ταῦτα; Φαμὲν οὖν, ὡς ἐκείνῳ μὴ ἀντιδιδόναι ἡ ἐντολὴ αὕτη, τῷ εἰς ἡμᾶς αὐτοὺς μόνους ἁμαρτάνοντι· ἐπεὶ, εἰ ἡ πρὸς ἡμᾶς ἁμαρτία, καὶ εἰς τὴν πίστιν ἐμπόδιον φέρει, ἀνταποδοτέον τῷ τοιούτῳ, ὡς καὶ Παῦλος τῷ Ἐλύμᾳ, τὰς ὁδοὺς διαστρέφοντι Κυρίου (β). *Φλυαρῶν.*] Ἀντὶ τοῦ, λοιδορῶν, κακολογῶν, διασύρων. *Μὴ μιμοῦ τὸ κακόν.*] Μηδεμιᾶς οὔσης κοινωνίας φωτὶ πρὸς σκότος, μηδὲ συμφωνίας Χριστοῦ πρὸς Βελίαρ (γ), οὐ χρὴ τὸν ἀπὸ τῆς τοῦ Χριστοῦ ἐπιγνώσεως πεφωτισμένον, τῷ σκότῳ συμφύρεσθαι διὰ μιμήσεως τῶν ἀσεβούντων, ἤτοι τοῖς ἀσελγέσιν αὐτῶν ἔργοις. Ὡς γὰρ ὁ ἀγαθὰ, φησιν, ἐργαζόμενος ἐκ τοῦ θεοῦ ἐστι, καὶ τῷ τῆς ἐπιγνώσεως αὐτοῦ φωτὶ τὸν νοερὸν αὐτοῦ ὀφθαλμὸν κατηρτισμένος, καὶ διὰ ταῦτα ὅλος τε φῶς ὢν, καὶ ὁρᾷ τὸ ὄντως φῶς, τὸν θεὸν, καὶ ὁρᾶται ὑπὸ τῶν ἄλλων φωστὴρ ἐν τῷ κόσμῳ, λόγον ζωῆς ἐπέχων (δ)· οὕτω καὶ ὁ τὰ κακὰ ἐργαζόμενος, ἐν σκότῳ διαπορευόμενος, οὔτε αὐτὸς ὁρᾷν θεὸν δύναται, τουτέστι, τὰ τοῦ θεοῦ πράττειν, οὔτε ἄλλοις ὁρᾶσθαι κατευθύνων· ἀλλὰ μισητός ἐστιν ἅπασι καὶ ἐβδελυγμένος, κατὰ τὸ, *Ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην* (ε), σοφὸν λόγιον.

(α) Ῥωμ. ΙΒ', 17. (β) Πραξ. ΙΓ', 8—11. (γ) Β' Κορ. ϛ', 14-15.
(δ) Φιλιπ. Β', 15. 16. (ε) Ψαλμ. ΡΙΗ', 163.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ Δημητρίου, ᾧ μαρτυρεῖ τὰ κάλλιστα.

12 Δημητρίῳ μεμαρτύρηται ὑπὸ πάντων, καὶ ὑπ' αὐτῆς τῆς ἀληθείας· καὶ ἡμεῖς δὲ μαρτυροῦμεν, καὶ οἴδατε, ὅτι ἡ μαρτυρία ἡμῶν ἀληθής ἐστι.

Ὑπὸ πάντων.] Μεμαρτύρηται ὑπὸ πάντων, τῶν τὴν ἀλήθειαν δηλονότι ἐχόντων. *Καὶ ὑπ' αὐτῆς τῆς ἀληθείας.*] Τουτέστι, τοῦ ἐνεργοῦς λόγου. Εἰσὶ γάρ τινες, οἷς μαρτυρεῖται μὲν ἀρετὴ, κατεψευσμένη δὲ ἐπὶ ἀπράκτῳ λόγῳ. Εἰ δέ τις τὸ, *ὑπὸ πάντων*, καὶ ἐπὶ τῶν ἀπίστων ἐκλάβοι, διὰ τὸ περιληπτικὸν τοῦ, *πᾶς*, μορίου, οὐ κακῶς οὗτος ὑπολαμβάνων φωραθείη. Ἀπροσκόπους γὰρ εἶναι φησὶ Παῦλος τοὺς πιστοὺς σπεύδειν, καὶ Ἰουδαίοις καὶ Ἕλλησι, καὶ τῇ ἐκκλησίᾳ τοῦ θεοῦ, καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω (α).

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ ἀφίξεως αὐτοῦ πρὸς αὐτοὺς ἐν τάχει ἐπ' ὠφελείᾳ.

13 Πολλὰ εἶχον γράφειν, ἀλλ' οὐ θέλω διὰ μέλανος
14 καὶ καλάμου σοι γράψαι. Ἐλπίζω δὲ εὐθέως ἰδεῖν σε,
15 καὶ στόμα πρὸς στόμα λαλήσομεν. Εἰρήνη σοι. Ἀσπάζονταί σε οἱ φίλοι. Ἄσπάζου τοὺς φίλους κατ' ὄνομα.

Τὰ αὐτὰ καὶ ἐν τῷ τέλει τῆς δευτέρας ἐπιστολῆς.

(α) Α' Κορ. Ι', 32. 33.

ΤΕΛΟΣ,

ΣΥΝ ΘΕΩ, ΤΗΣ ΙΩΑΝΝΟΥ ΤΡΙΤΗΣ ΕΠΙΣΤΟΛΗΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Η
ΙΟΥΔΑ ΚΑΘΟΛΙΚΗ
ΕΠΙΣΤΟΛΗ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ

ΙΟΥΔΑ ΚΑΘΟΛΙΚΗΣ

ΕΠΙΣΤΟΛΗΣ.

ΤΑΥΤΗΝ τὴν ἐπιστολὴν γράφει τοῖς ἤδη πιστεύσασιν. Ἡ δὲ πρόφασις αὕτη· Παρεισελθόντων τινῶν, καὶ διδασκόντων, ἀδιάφορον εἶναι τὴν ἁμαρτίαν, καὶ ἀρνουμένων τὸν Κύριον, ἀνάγκην ἔσχε γράψαι καὶ ἀσφαλίσασθαι τοὺς ἀδελφούς. Καὶ πρῶτον μὲν παρακαλεῖ αὐτοὺς, ἀγωνίζεσθαι καὶ ἐμμένειν τῇ παραδοθείσῃ αὐτοῖς πίστει. Ἔπειτα ἀποκηρύττει τοὺς τοιούτους, ὡς πλάνους· καὶ παραγγέλλει, μηδεμίαν ἔχειν κοινωνίαν πρὸς τοὺς τοιούτους, εἰδότας, ὅτι οὐκ ἀρκεῖ τὸ κληθῆναι μόνον, ἐὰν μὴ καὶ ἀξίως περιπατήσωμεν τῆς κλήσεως. Καὶ γὰρ καὶ τὸν πρότερον λαὸν ἐξαγαγὼν ἐξ Αἰγύπτου ὁ Κύριος, μὴ ἐμμείναντα τῇ πίστει, ἀπώλεσε· καὶ ἀγγέλων δὲ, μὴ τηρησάντων τὴν ἰδίαν τάξιν, οὐκ ἐφείσατο. Δεῖ οὖν ἀπὸ τῶν τοιούτων ἀναχωρεῖν· καὶ γὰρ καὶ Μιχαὴλ ὁ ἀρχάγγελος, οὐχ ὑπήνεγκε τὴν βλασφημίαν τοῦ διαβόλου. Ἔσεσθαι γοῦν τὴν ἀπώλειαν αὐτῶν, ὡς Σοδόμων, διδάσκει. Εἶτα παραινεῖ εἰς τὰ ἤθη· καὶ ἐπευξάμενος αὐτοῖς βεβαιότητα τῆς πίστεως παρὰ τοῦ Κυρίου, τελειοῖ τὴν ἐπιστολήν.

Δημοσιοκτυτρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΙΟΥΔΑ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η

ΚΑΘΟΛΙΚΗ ΕΠΙΣΤΟΛΗ.

ΠΡΟΟΙΜΙΟΝ.

1 Ἰούδας, Ἰησοῦ Χριστοῦ δοῦλος, ἀδελφὸς δὲ Ἰα-
κώβου, τοῖς ἐν θεῷ πατρὶ ἡγαπημένοις (1), καὶ Ἰη-
2 σοῦ Χριστῷ τετηρημένοις κλητοῖς· ἔλεος ὑμῖν καὶ εἰ-
ρήνη καὶ ἀγάπη πληθυνθείη.

Ἰούδας.] Ὁ Ἰούδας οὗτος παρὰ μὲν τῷ Λουκᾷ, ἔν τε τῷ ἁγίῳ εὐαγγελίῳ (α) καὶ ἐν ταῖς Πράξεσιν (β), *Ἰούδας* ὀνομάζεται· παρὰ δὲ τῷ Ματθαίῳ (γ) καὶ Μάρκῳ (δ) Θαδδαῖος, ὁ καὶ Λεβ-βαῖος, ἀδελφὸς γνήσιος Ἰακώβου τοῦ ἀδελφοθέου, ὁ καὶ τὴν φωτιστικὴν καὶ δογμάτων ἔμπλεων τοῦ πνεύματος ἅπασιν ἐπιστείλας ἐπιστολήν. *Ἰησοῦ Χριστοῦ δοῦλος, ἀδελφὸς δὲ Ἰακώβου.*] Ἤρκεσεν αὐτῷ, τῷ παρόντι ἀποστόλῳ φημί, εἰς περιφάνειαν δόξης, μετὰ τὸ *δοῦλον* ἑαυτὸν ὀνομάσαι Χριστοῦ, καὶ ἀπὸ Ἰακώβου σεμνολογήσασθαι. Τὸ γὰρ τοῦ Ἰακώβου παρὰ πᾶσιν ἐπ' ἀρετῇ ἐξυμνούμενον, εὐπαραδεκτότερον εἰς τὴν διὰ λόγου διδασκαλίαν καθίστη ταῖς ἀκροαταῖς τοῦτον, εἴπερ ὁ γεννήσεως καὶ αἵματος κοινωνὸς οὐκ ἂν ἀπηλλοτριωμένος ὀρθείη καὶ τρόπων τοῦ, ᾧ κεκοινώνηκε τῆς συγγενείας, καὶ μάλιστα εἰ καὶ ὑφ' ἑνὶ δεσπότῃ Χριστῷ τελῶν, τὸν τῆς δου-λείας ζυγὸν ἰσόρρυπον τῷ ὁμαίμονι πρόκειται ἕλκειν. *Τοῖς ἐν θεῷ πατρὶ ἡγαπημένοις, καὶ Ἰησοῦ Χριστῷ τετηρημένοις*

(1) Κοινῶς, ἡγιασμένοις. (α) Λουκ. ς', 16.
(β) Πραξ. α', 13. (γ) Ματθ. ι', 3. (δ) Μαρκ. γ', 18.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κλητοῖς.] Τοῦ Κυρίου εἰρηκότος· *Οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ πατήρ μου ἑλκύσῃ αὐτόν* (α)· δείκνυσι τὸν λόγον ὁ μακάριος οὗτος ἀνὴρ ἐπαληθεύοντα νῦν· τοὺς γὰρ τῷ πατρὶ ἀγαπωμένους, τῷ Ἰησοῦ Χριστῷ τετηρῆσθαι φησί· διὸ καὶ *κλητοὺς* λέγει· οὐ γὰρ ἀφ' ἑαυτῶν, ἀλλ' ἀπὸ τοῦ πατρὸς ἔχουσι διὰ τοῦ ἑλκύσθαι καὶ τὸ κεκλῆσθαι. *Ἔλεον* δὲ καὶ *εἰρήνην* καὶ *ἀγάπην* αὐτοῖς ἐπεύχεται *πληθυνθῆναι*· *ἔλεον* μέν· ὅτι διὰ σπλάγχνα ἐλέους θεοῦ (β) ἀνεκλήθημέν τε καὶ ἀνελήφθημεν αὐτῷ εἰς ὑπηρέτας· *εἰρήνην* δέ· ὅτι καὶ ταύτην ἡμῖν ὁ αὐτὸς θεὸς, ὁ πατὴρ, ἐδωρήσατο, διὰ τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοὺς προσκεκρουκότας ἡμᾶς ἑαυτῷ καταλλάξας· *ἀγάπην* δέ· ὅτι διὰ τὴν πρὸς ἡμᾶς ἀγάπην ὁ μονογενὴς αὐτοῦ υἱὸς ἐκδέδοται ὑπὲρ ἡμῶν εἰς θάνατον. Ταῦτα οὖν ὑπερεκπερισσοῦ βραβευθῆναι αὐτοῖς εὔχεται, συνῳδὰ τῷ μακαρίῳ Δαυὶδ φθεγγόμενος· *Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε* (γ).

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ προσοχῆς τῆς εἰς Χριστὸν πίστεως διὰ τὴν ἐπανάστασιν τῶν ἀσεβῶν καὶ ἀσελγῶν ἀνδρῶν· ἐν ᾧ, περὶ μελλούσης αὐτῶν κολάσεως, καθ' ὁμοίωσιν τῶν πάλαι ἁμαρτωλῶν τε καὶ πονηρῶν.

3 Ἀγαπητοὶ, πᾶσαν σπουδὴν ποιούμενος γράφειν ὑμῖν περὶ τῆς κοινῆς σωτηρίας, ἀνάγκην ἔσχον γράψαι ὑμῖν, παρακαλῶν ἐπαγωνίζεσθαι τῇ ἅπαξ παραδο-
4 θείσῃ τοῖς ἁγίοις πίστει. Παρεισέδυσαν γάρ τινες ἄνθρωποι, οἱ πάλαι προγεγραμμένοι εἰς τοῦτο τὸ

(α) Ἰωαν. ς', 44. (β) Δουκ. Α', 78. (γ) Ψαλμ. ΛΕ', 11.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κρίμα, ἀσεβεῖς, τὴν τοῦ θεοῦ ἡμῶν χάριν μετατιθέντες εἰς ἀσέλγειαν, καὶ τὸν μόνον δεσπότην θεὸν καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀρνούμενοι.

Τὴν ὑπόθεσιν τῆς ἐπιστολῆς διὰ τούτων μηνύει, ὅτι προμηθείᾳ τῆς αὐτῶν σωτηρίας, τοῦ μὴ ἁλῶναι διὶ ἁπλότητα τοῖς μιαρωτάτοις αἱρετικοῖς, τοὺς παρόντας ἐκτίθεται λόγους, ὡσπερεὶ στίζων αὐτοὺς καὶ διαδήλους ποιῶν τοῖς ἀγνοοῦσι διὰ τῆς ἐκθέσεως τοῦ ἀσελγοῦς αὐτῶν βίου. Περὶ τούτων δὲ καὶ Πέτρος εἴρηκε μὲν (α), πλατύτερον δὲ καὶ διεξοδικώτερον οὗτος νῦν. *Προγεγραμμένους* δὲ αὐτοὺς λέγει· ὅτι καὶ Πέτρος καὶ Παῦλος περὶ αὐτῶν εἰρήκασιν, ὅτι ἐν ἐσχάτοις καιροῖς ἐλεύσονται πλάνοι τοιοῦτοι (β). Καὶ πρὸ τούτων δὲ αὐτὸς ὁ Χριστὸς, φάσκων· *Πολλοὶ ἐλεύσονται ἐπὶ τῷ ἐμῷ ὀνόματι, καὶ πολλοὺς πλανήσουσι. Μὴ οὖν πορευθῆτε ὀπίσω αὐτῶν* (γ). *Χριστιανοὺς* γὰρ ἑαυτοὺς ὀνομάζοντες, ἐπὶ τῷ ὀνόματι τούτῳ πολλοὺς ἀπατῶσι. Λέγει δὲ τοὺς ἀπὸ Νικολάου καὶ Οὐαλεντίνου καὶ Σίμωνος τῶν μιαρωτάτων καὶ ἀκαθάρτων. Οὗτοι γὰρ, γαστρίμαργοι ὄντες καὶ ἀκόλαστοι, ὑπεκρίναντο τὴν διδασκαλίαν τοῦ Χριστοῦ, ἵνα δι' αὐτῆς παρεισδυσιν εἰς τὰς οἰκίας εὔρωσι, καὶ αἰχμαλωτίσωσι γυναικάρια σεσωρευμένα ἁμαρτίαις (δ). Τελετὰς γάρ τινας πλασάμενοι νυκτερινὰς, κοίταις καὶ ἀσελγείαις ἑαυτοὺς ἐκδεδώκασι. Τὸ μὲν οὖν, *προγεγραμμένοι εἰς τοῦτο τὸ κρίμα*, ἀντὶ τοῦ, προεγνωσμένοι, φησί· τὸ δὲ, *μετατιθέντες τὴν τοῦ θεοῦ χάριν εἰς ἀσέλγειαν*, ἀντὶ τοῦ, μεταποιοῦντες, παραποιοῦντες, παραχαράττοντες ἀπὸ τῆς σωφροσύνης εἰς ἀσέλγειαν· ἀφ' οὗ καὶ ἀρνεῖσθαι συμβαίνει αὐτοὺς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Καὶ πῶς γὰρ οὐκ ἀρνοῦνται, οἱ διὰ τῆς τοῦ βίου ἀκαθαρσίας τὸν πάσης σωφροσύνης διδάσκαλον οἱονεί τινι διατόρῳ φωνῇ ἀπό-

(α) Β' Πετρ. Γ'. (β) Β' Τιμ. Γ', 12.
(γ) Ματθ. ΚΔ', 5. Λουκ. ΚΑ, 8. Μαρκ. ΙΓ', 6. (δ) Β' Τιμ. Γ', 6.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τομον ποιούμενοι; Τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος (α); *Παρακαλῶν, ἐπαγωνίζεσθαι.*] Ἐπαγωνίζεσθαι παρακαλεῖ τοὺς ἅπαξ τὸν Χριστὸν καταδεξαμένους σωτῆρα, καὶ τούτῳ πεπιστευκότας, τουτέστι, μὴ ἐκλελυμένως διατεθῆναι, ἀλλὰ συντείναντας ἑαυτοὺς, ἔτι μᾶλλον ἔχεσθαι τῆς περὶ τοῦτο σπουδῆς. Δεξάμενοι γὰρ τὸν τῆς ἐνανθρωπήσεως λόγον, εἰ λέγοιμεν ἕτερον μὲν εἶναι τὸν πρὸ αἰώνων ἐκ τοῦ πατρὸς, ἕτερον δὲ τὸν ἐπ' ἐσχάτων ἐκ τῆς μητρὸς καὶ κατ' ἰδίαν ὑπόσασιν, πῶς οὐκ ἂν ἀρνηθείημεν τὸν ἕνα Κύριον καὶ δεσπότην; Εἷς γὰρ Κύριος Ἰησοῦς καθ' ἕνωσιν οἰκονομικήν. Ὁ γὰρ πρὸ αἰώνων θεοῦ Λόγος καὶ θεὸς, εἰς τὴν τῆς θεότητος δόξαν ἀναφοιτῶσαν ἔχων τὴν σάρκα, ἣν ἀπὸ τῆς ἁγίας Παρθένου ἐξ ἀρχῆς συλλήψεως ἀνέλαβεν, εἷς καὶ ὁ αὐτός ἐστιν ἁπάντων δεσπότης.

5 Ὑπομνῆσαι δὲ ὑμᾶς βούλομαι, εἰδότας ὑμᾶς ἅπαξ
τοῦτο, ὅτι ὁ Κύριος λαὸν ἐκ γῆς Αἰγύπτου σώ-
σας, τὸ δεύτερον τοὺς μὴ πιστεύσαντας ἀπώλεσεν·
6 ἀγγέλους τε, τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν
ἀρχὴν, ἀλλὰ ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον, εἰς
κρίσιν μεγάλης ἡμέρας, δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον
7 τετήρηκεν· ὡς Σόδομα καὶ Γόμορρα, καὶ αἱ περὶ
αὐτὰς πόλεις, τὸν ὅμοιον τούτοις τρόπον ἐκπορ-
νεύσασαι, καὶ ἀπελθοῦσαι ὀπίσω σαρκὸς ἑτέρας,
πρόκεινται δεῖγμα, πυρὸς αἰωνίου δίκην ὑπέχουσαι.
8 Ὁμοίως μέντοι καὶ οὗτοι ἐνυπνιαζόμενοι, σάρκα
μὲν μιαίνουσι, κυριότητα δὲ ἀθετοῦσι, δόξας δὲ
9 βλασφημοῦσιν. Ὁ δὲ Μιχαὴλ ὁ ἀρχάγγελος, ὅτε
τῷ διαβόλῳ διακρινόμενος διελέγετο περὶ τοῦ
Μωϋσέως σώματος, οὐκ ἐτόλμησε κρίσιν ἐπενεγκεῖν
βλασφημίας, ἀλλ' εἶπεν· Ἐπιτιμήσαι σοι Κύριος.
10 Οὗτοι δὲ, ὅσα μὲν οὐκ οἴδασι, βλασφημοῦσιν· ὅσα

(α) Β' Κορ. ϛ', 15.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ φυσικῶς, ὡς τὰ ἄλογα ζῶα, ἐπίστανται, ἐν τούτοις φθείρονται.

Εἰρηκὼς τὴν ἀσέλγειαν τῶν ἀκαθάρτων Νικολαϊτῶν, καὶ Οὐαλεντινιανῶν, καὶ Μαρκιωνιςῶν, καὶ ὥσπερ ἐγκαύσει τινὶ ἐπισήμους αὐτοὺς ποιήσας ἀπὸ τῆς προσούσης αὐτοῖς βορβορότητος, ἐπάγει καὶ ταῦτα· *Ὅτι ὁ Κύριος λαὸν ἐκ γῆς Αἰγύπτου*, καὶ ἑξῆς· ὁμοῦ μὲν διὰ τούτων δεικνὺς, ὡς ὁ αὐτὸς θεὸς τῆς Παλαιᾶς ἐστι καὶ τῆς Νέας εἰσηγητής· ἀλλ' οὐχ ὡς οἱ μιαροὶ οὗτοι, ἄλλον μὲν τὸν τῆς Παλαιᾶς φάσκοντες, τιμωρητικὸν καὶ ὠμὸν, ἄλλον δὲ τὸν τῆς Νέας, προσηνῆ καὶ φιλάνθρωπον ἔφορον εἶναι θεόν· ἅμα δὲ καὶ ὡς οὐδὲ οἱ νῦν ἀτιμώρητοι μείνειαν, ὡς οὐδὲ οἱ ἐξ Αἰγύπτου. Διὰ μὲν τὴν ὑπερβάλλουσαν δύναμιν, καὶ τὴν πρὸς τοὺς πατέρας αὐτῶν ὁρκωμοσίαν, τοῦ θεοῦ τῆς Αἰγυπτιακῆς αὐτοὺς ἀπαλλάξαντος βίας, οὐ μέντοι καὶ παρανομήσαντες ἀτιμώρητοι διαμεμενήκασιν· ἀλλ' ἔδωκαν δίκας ἀξίας, οὐδὲν αὐτοὺς ὠφελήσαντος τοῦ πρὸς τοὺς αὐτῶν πατέρας τοῦ θεοῦ εὐμενοῦς, οὐδὲ τῆς τῶν θαυμάτων ὑπερφυοῦς διὰ τούτους ἐναργείας· ὡς οὐδὲ τοὺς ἐκπεπτωκότας ἀγγέλους, τοῦ ἀπὸ θεοῦ γενέσθαι, καὶ νοερᾷ φύσει τετιμῆσθαι· οὐδὲ τοὺς Σοδομίτας, τῆς μετὰ τοῦ Λὼτ συναυλίας. Ἀλλ' οἱ μὲν τὴν Ἐρυθρὰν θάλασσαν διὰ ξηρᾶς διελθόντες διὰ πίστεως, ὕστερον ἀπιστήσαντες, ἀπώλοντο· τοὺς δὲ τῆς ἀγγελικῆς ἀξίας λαχόντας τὸ τίμιον, ἐκ ῥᾳθυμίας μὴ ἐμμείναντας τῇ ἑαυτῶν ἀρχῇ, ἀλλ' ἀθετήσαντας τὴν δεδομένην αὐτοῖς δι' ἀγαθότητα ἐπουράνιον δίαιταν, *εἰς κρίσιν*, ἤτοι, εἰς κατάκρισιν, *μεγάλης ἡμέρας* τῇ τιμωρίᾳ τεταμίευκε· τοῦτο γὰρ καὶ νῦν τὸ, *τετήρηκε*, σημαίνει· καθὼ καὶ ὁ Χριστός φησι· Τὸ *ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ* (α). Καὶ δὴ καὶ οἱ Σοδομῖται τεκμήριον τοῦ ὑποδεξομένου αὐτοὺς ἀτελευτήτου πυρὸς πρόκεινται, *ὀπίσω σαρκὸς ἑτέρας ἀπελθόντες*, καὶ ἐκ-

(α) Ματθ. ΚΕ', 41.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πορνεύσαντες, τουτέστιν, ἐκκλίναντες· ὃ τὸ *πορνεύειν* σημαίνει. *Σάρκα* δὲ *ἑτέραν*, τὴν ἄῤῥενα φύσιν λέγει, ὡς μὴ πρὸς συνουσίαν γενέσεως συντελοῦσαν· ἡ γὰρ πρὸς συνουσίαν σὰρξ, τοῦ θήλεός ἐστι, κατὰ τὸ ὑπὸ τοῦ προπάτορος εἰρημένον· *Ὀστοῦν ἐκ τῶν ὀστέων μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου* (α)· ἡ δὲ τῶν ἀῤῥένων σὰρξ, *ἑτέρα*, ἤτοι, ἀλλοτρία τῆς συνουσίας, ὡς ἔφην. Πλὴν καὶ ἐπὶ τοῦ θήλεος, ἡ μὲν κατὰ νόμους, ἑνὶ μία, ἰδία σὰρξ καὶ οἰκεία· ἡ δὲ ἐκκεχυμένη καὶ δημοσία, ἑτέρα καὶ ἀλλοτρία, καὶ μικρῷ τῆς ἀῤῥενικῆς εἰς μίασμα λειπομένη. Εἰρηκὼς δὲ ταῦτα τὰ ὑποδείγματα, κατέλιπε τὸ ἀκόλουθον τούτοις ἐννοεῖν τὸν ἀκροατήν. Τί δὲ τοῦτο; Τὸ ἐπενεγκεῖν· Εἰ οὖν τούτοις οὕτως ἀπεχρήσατο, μηδὲν δυσωπηθεὶς τῇ προτέρᾳ αὐτῶν εὐκληρίᾳ, ἆρα τούτους, τοὺς νῦν ἀσελγοῦντας, ἐξαιρήσεται τὸ τὸν υἱὸν τοῦ θεοῦ δι' ἀνθρώπους εἰς τὸν κόσμον ἐλθεῖν, καὶ ἀνασχέσθαι ὑπὲρ τούτων ὕβρεων καὶ παθῶν πειρασθῆναι; Οὐκ ἂν εἴποι τις τοῦτο· κἂν γὰρ φιλάνθρωπός ἐστιν, ἀλλὰ καὶ δίκαιος ἀληθείᾳ· καὶ διὰ μὲν ἀληθῆ δικαιοσύνην, τῶν ἡμαρτηκότων οὐκ ἐφείσατο· διὰ δὲ φιλανθρωπίαν, πόρνας καὶ τελώνας εἰς τὴν βασιλείαν εἰσήγαγεν (β). Οὕτω τοῦ ἀκολούθου ὄντος, αὐτὸς παρῆκε, καὶ δι' ἃ μὲν προείπομεν, ἡ καὶ ὡς τῷ μακαρίῳ Πέτρῳ προειρημένου, ὅτε ἔλεγεν· *Εἰ γὰρ ὁ θεὸς ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφείσατο*, καὶ ἑξῆς (γ). Καὶ περὶ μὲν τούτων οὕτως. *Ὁμοίως μέντοι καὶ οὗτοι ἐνυπνιαζόμενοι.*] Τουτέστιν, Οὐδὲν ἀληθὲς ἐνθυμούμενοι, ἀλλ' ὡς ἐν ὕπνῳ φανταζόμενοι, ἤτοι τὰ ἐν κόσμῳ φρονοῦντες, καὶ ταῖς προσκαίροις φαντασίαις κεκαρωμένοι τὸν νοῦν, *τὴν σάρκα μιαίνουσι*. Τοῖς γὰρ τοιούτοις νύξ ἐστιν ὁ βίος, καὶ ἐγρηγορότες καθεύδουσι, καὶ ἐνύπνια βλέπουσι, τὰ ἅμα τῷ φανῆναι τέρποντα, καὶ δογματίζουσι δόγματα ἀσεβείας πλήρη. Ἤ οὕτως· Οὐδὲν ἀληθὲς ἐνθυμούμενοι, ἀλλ' ὡς ἐν ὕπνῳ φανταζόμενοι,

(α) Γεν. Β', 23. (β) Ματθ. ΚΑ', 31. 32. (γ) Β' Πετρ. Β', 4.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ δογματίζοντες δόγματα ἀσεβείας πλήρη· καὶ τὴν μὲν σάρκα, τουτέστι, τὸ ἡμέτερον σῶμα, μιαίνουσι, τοῦ πονηροῦ λέγοντες εἶναι δημιούργημα· κυριότητα δὲ ἀθετοῦσι, τουτέστι, τὴν μίαν θεότητα καὶ κυριότητα οὐχ ὁμολογοῦσιν, ἀρχὴν εἶναι τῶν πάντων, ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· ἀλλὰ θεοποιοῦσι τὴν ὕλην καὶ τὸ σκότος· καὶ ἕτερον μὲν ὑπάρχειν φασὶ τῆς παλαιᾶς Διαθήκης θεόν, πονηρόν τε καὶ τιμωρητικὸν καὶ αἵμασι χαίροντα· τῆς δὲ Νέας, ἕτερον, τὸν ἐν τοῖς ἀποστόλοις πᾶσι λαλήσαντα· οἳ καὶ δύο ἀρχὰς ἀντιτεταγμένας ἀλλήλαις, πονηράν τε καὶ ἀγαθήν, ἐφιστᾶσι πάσῃ τῇ κτίσει· καὶ ἀμφοτέρας λέγουσιν ἀγεννήτους· καὶ τὴν μὲν, ἐναντίαν εἶναι τῶν ἀγαθῶν· τὴν δὲ, τῶν κακῶν. Ὅπερ ἐξαιρέτως παρὰ τοὺς ἄλλους τῆς τοῦ Μάνεντος διανοίας ἀπόβρασμα γέγονεν· ἐξ οὗ τὸ πονηρὸν σμῆνος τῶν Μανιχαίων κατάγεται. Οἱ οὖν οὕτω ἔχοντες, καὶ τὴν κυριότητα ἀθετοῦντες, τουτέστι, τὸν ἕνα καὶ μόνον Κύριον καὶ ἐπὶ πάντων θεὸν, ἀναγκαίως καὶ τὰς δόξας βλασφημοῦσιν, ἤτοι, τὰ δόγματα τῆς εὐσεβείας. Ἤ, κυριότητα ἀθετοῦσι, τουτέστι, τὴν κυριότητα τοῦ κατὰ Χριστὸν μυστηρίου ἀθετοῦσι, καὶ ἐν τάξει μυστηρίων ἀγγελικῶν [ἴσως, εὐαγγελικῶν] τὰς ἑαυτῶν ἀσεβείας καὶ δόξας ἐκτελοῦσι· δόξας δὲ βλασφημοῦσι, τουτέστι, τὴν παλαιὰν Διαθήκην καὶ τὴν Νέαν, ὡς Παῦλος φησίν· *Εἰ γὰρ τὸ καταργούμενον διὰ δόξης, πολλῷ μᾶλλον τὸ μένον ἐν δόξῃ·* καὶ πάλιν· *Εἰ γὰρ ἡ διακονία τῆς κατακρίσεως δόξα, πολλῷ μᾶλλον ἡ διακονία τῆς δικαιοσύνης δόξα* (α). Ἤ καὶ δόξας, τὰς ἐκκλησιαστικὰς ἀρχάς φησιν, ἃς βλασφήμουν, ὡς ἔστι καὶ ἀπὸ τῆς τρίτης Ἰωάννου τοῦ ἠγαπημένου ἐπιστολῆς μαθεῖν, ἐν οἷς φησὶ τὸν Διοτρεφῆ, *λόγοις πονηροῖς καταφλυαρεῖν αὐτῶν* (β). Ἐπεὶ δὲ βλασφημίας ἐμνήσθη, σωφρονίζων οὐκ αὐτοὺς μόνους, ἀλλὰ καὶ πάντας ἀνθρώπους, καθαρὰς ἔχειν τὰς γλώσσας τοῦ τοιούτου κακοῦ, καὶ μηδὲ κατὰ τῶν ἀξίων βλασφημίας τούτῳ κεχρῆσθαι, φησίν· *Ὁ δὲ Μιχαὴλ ὁ ἀρχάγγελος*, καὶ ἑξῆς· ὡσεὶ ἔλεγεν· Ὡς οὗτοι μὲν προχείρως καὶ ἀκρατῶς κέχρηνται κατὰ πάντων τῇ βλασφημίᾳ· οὐ χρὴ δὲ τοῦτο γίνεσθαι, ὅπου γε οὐδὲ τοὺς ἀξίους βλασφημίας δίκαιον βλασφημεῖν, ὡς δῆλον ἀπὸ τοῦ ἀρχαγγέλου Μιχαήλ. Παρὸν γὰρ αὐτῷ κρινομένῳ μετὰ τοῦ διαβόλου περὶ τοῦ Μωϋσέως σώματος βλασφημῆσαι τὸν διάβολον διὰ τὴν ἀναίδειαν

(α) Β' Κορ. Γ', 9. 11. (β) Γ' Ἰωαν. 10.

Διεύθυνση Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτοῦ, τοῦτο οὐκ ἐποίησεν, εἰ μὴ τό· *Ἐπιτιμήσαι σοι μόνον ὁ θεὸς*, διάβολε, ἐπήνεγκεν αὐτῷ. Εἰ δὲ ὁ ἀρχάγγελος οὐδὲ ἀνδρὸς βλασφημουμένου ἤνεγκε, πῶς οὗτοι τὸν πάντων θεὸν βλασφημεῖν ἁπλῶς τολμῶσι; Ἢ οὕτως· Εἰ γὰρ ὁ ἀρχάγγελος οὕτως, οὐκ ἐν δίκῃ ἂν ἀνδρὸς ἀδελφοῦ καὶ ὁμογενοῦς βλασφημίας συμπλέκοιμεν. Καὶ ταῦτα μὲν περὶ τούτων. Ἡ δὲ περὶ τοῦ Μωϋσέως σώματος κρίσις ἐστὶν αὕτη· Λέγεται τὸν Μιχαὴλ τὸν ἀρχάγγελον τῇ τοῦ Μωϋσέως ταφῇ δεδιηκονηκέναι, τοῦ διαβόλου τοῦτο μὴ καταδεχομένου, ἀλλ' ἐπιφέροντος ἔγκλημα αὐτῷ διὰ τὸν τοῦ Αἰγυπτίου φόνον (α), ὡς αὐτοῦ ὄντος τοῦ Μωϋσέως, καὶ διὰ τοῦτο μὴ συγχωρεῖσθαι αὐτῷ τυχεῖν τῆς ἐντίμου ταφῆς. Ἢ καὶ διὰ τούτου τὸ πᾶσιν ἀνθρώποις ἐποφειλόμενον μετὰ τὴν ἀπὸ τοῦ σώματος ἔξοδον λογοθέσιον σημαίνειν βουλόμενος ὁ ἀπόστολος, καὶ ὅτι αὐτὸς εἴη ὁ Παλαιᾶς καὶ Καινῆς διαθήκης θεὺς, τοῦτο προφέρει νῦν. Δεῖξαι γὰρ βουλόμενος ὁ θεὸς τοῖς τότε παχύτερον διακειμένοις ἀνθρώποις διὰ τοῦ φανεροῦ τὸ ἀφανές, ὅτι μετὰ τὴν ἐνθένδε ἀπαλλαγὴν ταῖς ἡμετέραις ψυχαῖς ἀνθίσταται ὁ διάβολος μετὰ τῶν ἑαυτοῦ πονηρῶν δαιμόνων, ἐγκόψαι βουλόμενος τὴν ἐπὶ τὰ ἄνω πορείαν αὐτῶν· (καὶ ὁ μὲν ἀνθίσταται· οἱ δὲ ἀγαθοὶ θεοῦ ἄγγελοι συμμαχοῦσιν αὐταῖς, ὡς καὶ ὁ μακάριος Ἀντώνιος τεθέαται·) ταῦτα τότε πραχθῆναι συνεχώρει. Πλὴν τὸν Μιχαὴλ τότε, τὸν διάβολον ἀποσοβῆσαι μὲν, μὴ μέν τοι ἐξουσιαστικῶς ἐπιτιμῆσαι, ἀλλὰ τῷ Κυρίῳ τῶν ὅλων παραχωρῆσαι τὴν κρίσιν, καὶ εἰπεῖν· *Ἐπιτιμήσαι σοι ὁ θεὸς*, διάβολε. *Οὗτοι δὲ, ὅσα μὲν οὐκ οἴδασι, βλασφημοῦσιν.*] Ὁ μὲν Μιχαὴλ, φησιν, οὕτως· οὐδὲ κατὰ ἀνδρὸς, ἤτοι τοῦ Μωϋσέως, ἠνέσχετο βλασφημίας· οὗτοι δὲ περὶ δογμάτων, ἃ οὐκ οἴδασι, βλασφήμους συντιθέασι λόγους· ὅσα δὲ φυσικῇ ὁρμῇ ἀδιακρίτως, ὡς τὰ ἄλογα ἐπίστανται ζῶα, ταῦτα μεταδιώκουσιν, ὡς ἵπποι θηλυμανεῖς ἢ χοῖροι.

(α) Ἐξοδ. Β', 12.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ταλανισμὸς αὐτῶν ἐπὶ τῇ πλάνῃ καὶ δυσσεβείᾳ καὶ ἀσελγείᾳ καὶ βλασφημίᾳ καὶ ἐπιπλάστῳ ὑποκρίσει τῆς εἰς ἀπάτην δωροδοκίας.

11 Οὐαὶ αὐτοῖς· ὅτι τῇ ὁδῷ τοῦ Κάϊν ἐπορεύθησαν,
καὶ τῇ πλάνῃ τοῦ Βαλαὰμ μισθοῦ ἐξεχύθησαν, καὶ
12 τῇ ἀντιλογίᾳ τοῦ Κορὲ ἀπώλοντο. Οὗτοί εἰσιν ἐν
ταῖς ἀγάπαις ὑμῶν σπιλάδες, συνευωχούμενοι, ἀφό-
βως ἑαυτοὺς ποιμαίνοντες· νεφέλαι ἄνυδροι, ὑπὸ
ἀνέμων παραφερόμεναι· δένδρα φθινοπωρινὰ, ἄκαρ-
13 πα, δὶς ἀποθανόντα, ἐκριζωθέντα· κύματα ἄγρια
θαλάσσης, ἐπαφρίζοντα τὰς ἑαυτῶν αἰσχύνας·
ἀστέρες πλανῆται, οἷς ὁ ζόφος τοῦ σκότους εἰς
αἰῶνα τετήρηται.

Ὁδῷ τοῦ Κάϊν.] Τουτέστι, διὰ τῆς ἀδελφοκτονίας (α). Καὶ γὰρ καὶ αὐτοὶ, τοιαῦτα διδάσκοντες τοὺς ἀδελφοὺς, ἤτοι τοὺς ὁμογενεῖς ἀνθρώπους, ἀποκτιννύουσιν αὐτοὺς ταῖς πονηραῖς αὐτῶν διδασκαλίαις. Ἢ ἐπειδὴ διὰ τῆς μυσαρᾶς αὐτῶν σπερμοσφαγίας τὸν δυνάμει ἄνθρωπον καὶ ἀδελφὸν ἀποκτιννύουσιν, ὃν ἡ τοῦ σπέρματος τελεσφορία ἤνεγκεν ἂν εἰς βίον (1). Ἀλλὰ καὶ τῷ Βαλαὰμ καὶ τῷ Κορὲ αὐτοὺς παραβάλλει· τῷ μὲν Βαλαὰμ, ὅτι, ὡς ἐκεῖνος κέρδους ἕνεκα ἦλθε καταράσασθαι τὸν λαὸν τοῦ θεοῦ (α), εἰ καὶ τὴν γλῶσσαν αὐτοῦ εἰς εὐλογίαν ἔτρεψεν ὁ θεὸς, οὕτω καὶ αὐτοὶ ταῦτα πράττουσι· τῷ δὲ Κορὲ, ὅτι καὶ αὐτοὶ, ὡς ἐκεῖνος, διδασκαλικὸν ἀξίωμα, ἀνάξιοι ὄντες, ἥρπασαν (β). *Οὗτοί εἰσιν ἐν ταῖς ἀγάπαις ὑμῶν.*] Ἦσαν ἔτι κατὰ τὸν χρόνον ἐκεῖνον ἐν ταῖς ἐκκλησίαις γινόμεναι τρά-

(α) Γεν. Δ', 9.

(1) Ὅ,τι λέγει ἐνταῦθα ὁ ἑρμηνευτὴς ἀναφέρεται εἰς τὰ ἐν Αἰρέσει ἕκτῃ, ἢ καὶ εἰκοστὴ ἕκτη, κατὰ τῶν γνωστικῶν παρὰ τοῦ ἁγίου Ἐπιφανίου λεγόμενα.

(α) Αριθ. Κεφ. ΚΒ'. (β) Αριθ. Κεφ. Ις'.

Δημοσιοκεντρική Βιβλιοθήκη Βέροιας

πεζαι, ὡς καὶ Παῦλός φησιν ἐν τῇ πρὸς Κορινθίους (α)· ἃς καὶ *ἀγάπας* ἐκάλουν. Ἐν ταύταις, φησί, συνέρχονται, οὐ διὰ χρείαν τὴν ἐν ταύταις γινομένην, ἀλλ' ἵνα καιρὸν εὕρωσι, ψυχὰς ἀσηρίκτους δελεάζειν, ὡς καὶ Πέτρος φησὶν ἐν τῇ δευτέρᾳ ἐπιστολῇ (β). Τὸ δὲ, *Ἀφόβως ἑαυτοὺς ποιμαίροντες*, ἤτοι πρὸς τὸ, *σπιλάδες*, συντακτέον, ἵνα ᾖ τὸ νόημα οὕτω· *Σπιλάδες ἀφόβως συνευωχούμενοι*, τουτέστι, Μηδένα φόβον τοῖς συνδείπνοις προσδοκῶσιν, ἐξαίφνης ὥσπερ σπιλάδες ἐπάγοντες αὐτοῖς τὸν ὄλεθρον τῶν ψυχῶν· ἢ πρὸς τὸ, *ποιμαίροντες*, τὸ, *ἀφόβως ἑαυτοὺς*, συνάπτοντες, τοιοῦτον εὑρήσομεν νόημα· *Ἀφόβως ἑαυτοὺς ποιμαίροντες*· ἤτοι, Οὐ δεδιότες τὸ ἀπὸ τοῦ μὴ ἐπίστασθαι ποιμαίνειν κρίμα· ἀλλὰ τυφλοὶ τυφλοὺς ὁδηγοῦντες, καὶ εἰς βόθυνον, τὸ τοῦ Κυρίου ἐρεῖν, μετὰ τῶν ποιμαινομένων ἐμπίπτοντες (γ). *Σπιλάσι* δὲ αὐτοὺς παρεικάζει, καὶ *ἀνύδροις νεφέλαις*, καὶ *δένδροις φθινοπωρινοῖς*, καὶ *κύμασιν ἀγρίοις*, καὶ *ἄστροις πλανήταις*. Ἃ γὰρ ἐκείνοις ὑπάρχει κατὰ φύσιν, ταῦτα τούτοις κατὰ προαίρεσιν. Αἵ τε γὰρ *σπιλάδες* τοῖς πλέουσιν ὀλέθριοι, ἀπροσδοκήτως ἐπιγινόμεναι, ὡς καὶ αὐτοὶ τοῖς συνδείπνοις ἀνέλπιστον κακὸν ἐπιφέροντες· αἵ τε *ἄνυδροι νεφέλαι* ὑπὸ ἀνέμων ἐλαυνόμεναι, οἷς ἂν τόποις ἐπενεχθῶσιν, οὐκ ἀναψύχουσι τῷ ὄμβρῳ· (οὐ γὰρ ἔχουσιν·) ἀλλὰ ζόφον αὐτοῖς ἀπεργάζονται. Ὡσαύτως καὶ οὗτοι, οὐ λόγῳ σωτηριώδει τὰς ψυχὰς ἄρδουσι τῶν ἐντυγχανόντων, ἀλλὰ ζοφοῦσι ταῖς μιαρωτάταις αὐτῶν εἰσηγήσεσιν, ἐλαυνόμενοι τοῖς τῶν δαιμόνων πονηροῖς ἐπιτηδεύμασιν. Ἀλλὰ καὶ τὰ *φθινοπωρινὰ δένδρα*, δὶς ἀποθνήσκοντα, ἔν τε τῇ τοῦ καρποῦ αὐτῶν ἀποβολῇ, καὶ ἐν τῇ τῶν φύλλων ἀπορροῇ· (ξηρὰ γὰρ δοκεῖ τότε, τοῦ καλλους ἐστερημένα, τῆς ἀπό τε τοῦ καρποῦ ἀγλαΐας, καὶ τῆς τῶν φύλλων ἀνθηρᾶς εὐπρεπείας·) αὐτοῖς τι κατάλληλον πάσχει· δὶς γὰρ καὶ οὗτοι ἀποθνήσκουσι, τὸν ἑαυτῶν καρπὸν ἀποβαλλόμενοι διὰ τῆς σπερμοσφαγίας, καὶ τὴν ἀπὸ τῆς σώφρονος πολιτείας εὐκοσμίαν ἀφαιρούμενοι. Διὸ καὶ ἐκριζοῦνται ἀπὸ τοῦ παραδείσου τοῦ Κυρίου τῆς ἐκκλησίας, καὶ ἔξω ῥιπτούμενοι τούτου, συλλέγονται τῷ αἰωνίῳ πυρί. Ποίαν γὰρ ἕξει στάσιν ἢ ῥίζαν, ὁ διὰ τὸν τῆς ἡδονῆς συρφετὸν ὑπὸ πάντων ὑβελυσσόμενος; *Ἀστέρες* καὶ *πλανῆται* χρηματίζουσι καὶ αὐτοί, οὐχ ὅτι τῷ τῆς πίστεως ἡμῶν στερεώματι μεταπρέποντες, τὸν τῆς δικαιοσύνης ἥλιον Χριστὸν ἔχουσι δι' αὐτῶν

(α) Α' Κορ. ΙΑ'. 18—22. (β) Β' Πετρ. Β', 14. (γ) Ματθ. ΙΕ', 14.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

προερχόμενον, καὶ τὰς τῶν ἀρετῶν ὥρας ἀποτελοῦντα, καὶ ζωογονοῦντα τοὺς κατὰ ταύτας τεταγμένους πιστούς· ἀλλ' ὅτι δοκοῦντες εἰς ἄγγελον φωτὸς μετασχηματίζεσθαι, ὡς ὁ προκατάρχων αὐτῶν πονηρὸς δαίμων, ἀπεναντίας μόνον τῶν τοῦ Κυρίου φέρονται δογμάτων, οἷς καὶ ζοφοῦσι τοὺς προσπελάζοντας, καὶ ζόφον τὸν αἰώνιον ἑαυτοῖς ἐκπορίζονται. Ἀλλὰ καὶ *κύμασιν ἀγρίοις* παρεικασθέντες, τὴν πρὸς αὐτὰ ὁμοιότητα οὐκ ἀναίνονται· μανικῶς γὰρ καὶ αὐτοὶ καὶ ἀκατασχέτως ταῖς κατὰ τοῦ θεοῦ βλασφημίαις ἐλαυνόμενοι ὑπὸ τῶν τῆς πονηρίας πνευμάτων, ἐπαφρίζουσι τὰς ἑαυτῶν αἰσχύνας, εἰς ἀφρὸν ἀποτελευτῶντες μετὰ τὸν κόμπον τῆς βλασφημίας, ἐκ τῆς τοῦ βίου αὐτῶν ἀνυποστάτου καὶ εὐδιαλύτου αἰσχρότητος. Τοιοῦτος γὰρ ὁ πρὸς ὃν παρεικάσθησαν ἀφρὸς τῶν κυμάτων.

14 Προεφήτευε δὲ καὶ τούτοις ἕβδομος ἀπὸ Ἀδὰμ
Ἐνὼχ, λέγων· «Ἰδοὺ, ἦλθε Κύριος ἐν ἁγίαις μυ-
15 ριάσιν αὐτοῦ, ποιῆσαι κρίσιν κατὰ πάντων, καὶ
ἐξελέγξαι πάντας τοὺς ἀσεβεῖς αὐτῶν περὶ πάντων τῶν ἔργων ἀσεβείας αὐτῶν, ὧν ἠσέβησαν, καὶ
περὶ πάντων τῶν σκληρῶν, ὧν ἐλάλησαν κατ' αὐ-
16 τοῦ ἁμαρτωλοὶ ἀσεβεῖς (1).» Οὗτοί εἰσι γογγυσταί, μεμψίμοιροι, κατὰ τὰς ἐπιθυμίας αὐτῶν πορευόμενοι· καὶ τὸ στόμα αὐτῶν λαλεῖ ὑπέρογκα, θαυμάζοντες πρόσωπα, ὠφελείας χάριν.

Εἰρηκὼς τὰ προεφοδευόμενα ἡμῖν, ἐπιφέρει καὶ τὸν Ἐνὼχ, τὴν ἀποκειμένην αὐτοῖς προφητεύοντα ὑπὸ τοῦ θεοῦ κάκωσιν, ἐν τῇ ἐσχάτῃ δηλονότι τοῦ θεοῦ δικαιοκρισίᾳ. *Καὶ ἐξελέγξαι πάντας τοὺς ἀσεβεῖς.*] *Ἀσεβὴς* ἁμαρτωλοῦ διαφέρει· καθὸ ὁ μὲν ἀσεβὴς, περὶ θεὸν ἔχει τὸ πλημμελές· ὁ δὲ ἁμαρτωλὸς, περὶ τὰ κατὰ τὸν βίον πραττόμενα τοῦ τῆς δικαιοσύνης σκοποῦ ἀστοχεῖ. Μετὰ δὲ ταῦτα, ἀφέμενος τοῦ τῶν ἀσεβῶν ὁμοιώματος, ἤδη καὶ εἰς αὐτόχρημα τῆς κατ' αὐτῶν ἐνδείξεως χωρεῖ, *γογγυστὰς* αὐτοὺς καὶ *μεμψιμοίρους* καλῶν. Ἔστι δὲ *γογγυστὴς* μὲν, ὁ ὑπ' ὀδόντα καὶ ἀπαρρησιάστως τῷ

(1) « Σημειωτέον, ὅτι καὶ ἐν τοῖς χρόνοις Μωϋσέως ἦσαν καὶ ἄλλαι βίβλοι, αἳ νῦν εἰσιν ἀπόκρυφοι, ὡς δηλοῖ καὶ ἡ τοῦ Ἰούδα ἐπιστολὴ· ὅπου διδάσκει καὶ περὶ τοῦ Μωϋσέως σώματος, καὶ ἔνθα μέμνηται ὡς ἐκ παλαιᾶς Γραφῆς· « Ἰδοὺ, Κύριος ἥξει, καὶ τὰ ἑξῆς. » Ἀπολιναρίου σχολιὸν ἐν τῇ ὑπὸ Ν. Θεοτόκου ἐκδεδομένῃ σειρᾷ Τομ. Δ'. Σελ. 1314.

δυσαρεστουμένῳ ἐπιμεμφόμενος· *μεμψίμοιρος* δὲ, ὁ πάντα καὶ ἀεὶ σκώπτειν ἐπιτηδεύων. Γογγυσταὶ δὲ καὶ μεμψίμοιροι οὗτοι οἱ μιαροί, φησιν· οὐ γὰρ ἔχουσι παῤῥησίαν τῇ διδασκαλίᾳ ἑαυτῶν δι' αἰσχρότητα χρήσασθαι· οὐ γὰρ ἀκίνδυνον δημοσιεύειν τὴν μετὰ ἀσεβείας καὶ βλασφημίας ἀσέλγειαν. *Μεμψίμοιροι* δὲ, ὡς τὰ τῶν ἄλλων καὶ τὰ τῆς ἀληθείας διαβάλλοντες, ἵνα τὰ οἰκεῖα κακὰ δῆθεν καὶ ἀσελγήματα συστήσωσιν. Ὅπερ δὲ περὶ τοῦ Βαλαὰμ εἴρηκεν, ὅτι *μισθοῦ* καὶ οὗτοι, ὡς ἐκεῖνος, *ἐξεχύθησαν*, νῦν σαφέστερόν φησιν· ὅτι *πρόσωπα θαυμάζουσιν ὠφελείας χάριν*· *θαυμάζειν* μὲν, τὸ κολακικῶς αὐτοὺς χρῆσθαι τοῖς ἐν τέλει λέγων· *ὠφέλειαν* δὲ, τὸ κέρδος.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ ἀσφαλείας αὐτῶν ἐπὶ τῇ πίστει, συμπαθείας τε καὶ φειδοῦς εἰς τὸν πλησίον ἐπὶ σωτηρίᾳ ἐν ἁγιασμῷ· εὐχὴ ὑπὲρ αὐτῶν εἰς ἁγιασμὸν καὶ παῤῥησίαν καθαρὰν σὺν δοξολογίᾳ θεοῦ.

17 Ὑμεῖς δὲ, ἀγαπητοὶ, μνήσθητε τῶν ῥημάτων τῶν
προειρημένων ὑπὸ τῶν ἀποστόλων τοῦ Κυρίου ἡ-
18 μῶν Ἰησοῦ Χριστοῦ· ὅτι ἔλεγον ὑμῖν, ὅτι ἐν ἐσχάτῳ χρόνῳ ἔσονται ἐμπαῖκται, κατὰ τὰς ἑαυτῶν
19 ἐπιθυμίας πορευόμενοι τῶν ἀσεβειῶν. Οὗτοί εἰσιν οἱ ἀποδιορίζοντες, ψυχικοί, πνεῦμα μὴ ἔχοντες.
20 Ὑμεῖς δὲ, ἀγαπητοὶ, τῇ ἁγιωτάτῃ ὑμῶν πίστει ἐποικοδομοῦντες ἑαυτοὺς, ἐν Πνεύματι ἁγίῳ προσ-
21 ευχόμενοι, ἑαυτοὺς ἐν ἀγάπῃ θεοῦ τηρήσατε, προσδεχόμενοι τὸ ἔλεος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ
22 εἰς ζωὴν αἰώνιον. Καὶ οὓς μὲν ἐλεεῖτε διακρινό-
23 μενοι· οὓς δὲ ἐν φόβῳ σώζετε, ἐκ πυρὸς ἁρ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πάζοντες (1)· μισοῦντες καὶ τὸν ἀπὸ τῆς σαρκὸς
24 ἐσπιλωμένον χιτῶνα. Τῷ δὲ δυναμένῳ φυλάξαι αὐ-
τοὺς (2) ἀπταίστους, καὶ στῆσαι κατενώπιον τῆς
25 δόξης αὐτοῦ ἀμώμους ἐν ἀγαλλιάσει, μόνῳ σοφῷ
θεῷ, σωτῆρι ἡμῶν, δόξα καὶ μεγαλωσύνη, κράτος
καὶ ἐξουσία, νῦν καὶ εἰς πάντας τοὺς αἰῶνας. Ἀμήν.

Μνήσθητε *τῶν ῥημάτων τῶν προειρημένων ὑπὸ τῶν ἀποστόλων.*] Τῶν ὑπὸ Πέτρου ἐν τῇ δευτέρᾳ ἐπιστολῇ (α), καὶ ὑπὸ Παύλου ἐν πάσῃ σχεδὸν ἐπιστολῇ (β). Ἐκ τούτου δὲ δῆλον, ὅτι ἔσχατον μετὰ τὸ παρελθεῖν τοὺς ἀποστόλους ἔγραφε ταῦτα ὁ Ἰούδας. *Οὗτοί εἰσιν οἱ ἀποδιορίζοντες.*] Ἰδοὺ, ἕτερον ἔγκλημα τῶν μιαρωτάτων τούτων ἀνθρώπων. Οὐ γὰρ αὐτοὶ μόνοι, φησὶν, ἀπόλλυνται, ἀλλὰ καὶ τοὺς τῆς ἐκκλησίας ἀποσυλῶσι τροφίμους· (τοῦτο γὰρ τὸ, *ἀποδιορίζοντες*, βούλεται αὐτῷ σημαίνειν·) τουτέστιν, ἔξω τῶν ἐκκλησιαστικῶν ὅρων ποιοῦντες, ἤτοι τῶν τῆς πίστεως, ἢ καὶ αὐτοῦ τοῦ ἱεροῦ τῆς ἐκκλησίας σκηνώματος. Σπήλαια γὰρ λῃστῶν τὰς ἑαυτῶν συναγωγὰς ἀποδείξαντες, ἀπὸ μὲν τῆς ἐκκλησίας ἀπάγουσιν, ἑαυτοῖς δὲ προσάγουσι. Ποιοῦσι δὲ τοῦτο, *ψυχικοὶ* ἄνθρωποι ὄντες, τουτέστι, κατὰ τὴν τοῦ κόσμου συμπεριφορὰν ζῶντες. Εἴπομεν γὰρ ἤδη, ὅτι *ψυχὴν* πολλάκις καὶ τὴν ζωὴν εἰώθε καλεῖν ἡ θεία Γραφὴ, ὡς ἐν Ἰώβ· *Πάντα, ὅσα ἔχει ἄνθρωπος, δώσει ὑπὲρ τῆς ψυχῆς αὐτοῦ* (γ), εἴτουν τῆς ζωῆς αὐτοῦ· οὓς καὶ Παῦλός φησι *ψυχικοὺς ὄντας, μὴ δύνασθαι δέχεσθαι τὰ τοῦ πνεύματος τοῦ θεοῦ* (δ). Ψυχικοὶ τοίνυν ὄντες, καὶ ψυχικῇ χρῶνται διδασκαλίᾳ· περὶ ἧς εἴρηται· *Οὐκ ἔστιν αὕτη ἡ σοφία ἄνωθεν ἀπὸ τοῦ πατρὸς τῶν φώτων καταβαίνουσα, ἀλλ' ἐπίγειος, δαιμονιώδης* (ε), πνεῦμα μὴ ἔχουσα θεῖον λαλοῦν. *Ὑμεῖς δὲ, ἀγαπητοί.*] Ἐκεῖνοι μὲν οὖν οὕτω, φησὶν· *Ὑμεῖς δὲ τῇ ἁγιωτάτῃ ὑμῶν πίστει ἐποικοδομοῦντες ἑαυτοὺς*, ἤτοι, ἑαυτοὺς ἀνακτώμενοι ἐν Πνεύματι ἁγίῳ, τουτέστι, κατὰ τὴν τοῦ ἁγίου Πνεύματος διδασκαλίαν τὰς ἑαυ-

(1) Παρ' ἄλλοις, Καὶ οὓς μὲν ἐλέγχετε διακρινομένους· οὓς δὲ σώζετε ἐκ πυρὸς ἁρπάζοντες· οὓς δὲ ἐλεεῖτε ἐν φόβῳ· καὶ εἰς τὴν ἀνάγνωσιν ταύτην ἀναφέρεται ἡ ἑρμηνεία τοῦ Οἰκουμενίου.

(2) Παρ' ἄλλοις, ὑμᾶς.

(α) Β' Πετρ. Γ', 3. (β) Α' Τιμ. Δ', 1. Β' Τιμ. Γ', 1. 2.

(γ) Ἰὼβ Β', 4. (δ) Α' Κορ. Β', 14. (ε) Ἰακ. Γ', 15.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν ἀθροίσεις ἐν ταῖς προσευχαῖς ὑμῶν ποιούμενοι, *ἑαυτοὺς ἐν ἀγάπῃ θεοῦ τηρήσατε*, τουτέστιν, ἑαυτοὺς διαφυλάττετε, τὸν ἀπὸ τοῦ Κυρίου προσδεχόμενοι ἔλεον, τὸν εἰς τὴν ἐσχάτην ἡμέραν τῆς αἰωνίου ζωῆς βραβευόμενον ὑμῖν. Κἀκείνους δὲ, εἰ μὲν ἀποδιίστανται ὑμῶν· (τοῦτο γὰρ σημαίνει τὸ, *διακρίνεσθαι·*) *ἐλέγχετε*, τουτέστι, φανεροῦτε τοῖς πᾶσι τὴν ἀσέβειαν αὐτῶν· εἰ δὲ πρὸς ἴασιν ἀφορῶσι, μὴ ἀπωθεῖσθε, ἀλλὰ τῷ τῆς ἀγάπης ὑμῶν ἐλέῳ προσλαμβάνεσθε, σώζοντες ἐκ τοῦ ἠπειλημένου αὐτοῖς πυρός. Προσλαμβάνεσθε δὲ μετὰ τοῦ ἐλεεῖν αὐτοὺς καὶ μετὰ φόβου, περισκεπτόμενοι μήπως ἡ πρόσληψις τούτων, ἀμελῶς ὑμῶν τὰ πρὸς αὐτοὺς διακειμένων, λύμης ὑμῖν γένηται αἰτία, τῶν ἤδη ἐστηριγμένων κλεπτομένων ὑπ' αὐτῶν εἰς τὴν αὐτὴν τῆς ἀσεβείας αὐτῶν ἀνάχυσιν· εὐζήλωτον γὰρ ἡ κακία. Ἔστω οὖν ἡ πρόσληψις αὐτῶν, φησίν· ἀλλὰ μετὰ φόβου προσίεσθε αὐτοὺς, ἤτοι μετὰ περισκέψεως, καὶ τῷ ἐλέῳ τῷ πρὸς αὐτοὺς συνεπέσθω τὸ μῖσος, τὸ πρὸς τὰ μιαρὰ αὐτῶν ἔργα, μισούντων ὑμῶν καὶ ἐδελυσσομένων *καὶ τὸν ἀπὸ τῆς σαρκὸς αὐτῶν ἐσπιλωμένον*, ἤτοι, μεμιασμένον αὐτῶν, *χιτῶνα*, ὡς τῇ πρὸς τὴν αὐτῶν σάρκα προσψαύσει, καὶ αὐτοῦ ἐδελυροῦ χρηματίζοντος. Ἡ προσλαμβάνοντες αὐτοὺς τῷ φόβῳ τῆς μελλούσης κολάσεως, ἐλέους ἀξίους ὁρᾶσθαι μετανοοῦντας παρασκευάζετε. Ταῦτα εἰπὼν, εὐχῇ λοιπὸν ἐπισφραγίζει τὴν ἐπιστολήν.

ΤΕΛΟΣ,

ΣΥΝ ΘΕΩ, ΤΗΣ ΙΟΥΔΑ ΚΑΘΟΛΙΚΗΣ ΕΠΙΣΤΟΛΗΣ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας



Απ. δοση Κεντρικη ΒΙΒΛΙΟΘΗΚΗ Βέροιας